This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Digitized by Google

UNIVERSITEITSBIBLIOTHEEK GENT

Digitized by Google

*XXXIX. Y. 133.

2 Vol.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Calci secundi tomi annectuntur notae
M. Ae. Porti, quae plerumque desiderantur.

Digitized by Google

Claſs. 931

ΕΥΡΙΠΙΔΗΣ.

EVRIPIDIS TRAGOEDIÆ XIX.

Accedit nunc recens vigeſimæ, cui DANAE nomen, initium, e vetuſtis Bibliothecæ Palatinæ membranis,

GRAECE *iunctim* & LATINE.

Latinam interpretationem M. ÆMILIVS PORTVS, F. P. C. F. *paſſim ita correxit & expoliuit, ut noua facie, nitidoq; cultu nunc primum in lucem prodeat.*

Carminum ratio ex GVL. CANTERO diligenter obſeruata, additis eiuſdem in totum Euripidem NOTIS.



Ex libris Sebaſtiani Tengnageln IC. Biblioth. et Conſiliar. Imperator.

Heidelbergæ, typis Hieronymi Commelini, ANNO CIƆ IƆ XCVII.

Digitized by Google

Digitized by Google

dementur, & propter ſuam feritatem, ac in hominis figura deteſtandam immanitatem, ad belluas amandentur, vt feræ cum feris ferinam vitam degant. Quot igitur, quantisque laudibus in cælum ſunt extollendi, quos nec generis nobilitas, nec diuitiæ, nec honores, nec amplitudo, nec dignitas, in qua fauore cæleſti ſe collocatos vident, a Philoſophiæ, a Poeſeôs, & Eloquentiæ ſtudiis auertit? Hæc ego cum in aliis perpaucis, quos noui, tum vero (N. & A. V.) in te vehementer admiror, quem omnes iis virtutibus ornatiſſimum eſſe lætantur, quæ generoſos, & illuſtres viros decent, qui tantam in Palatinatu perſonam ſuſtinent, vt ſuorum conſiliorum prudentia Sereniſſimo, & Illuſtriſſimo Principi fideliter inſeruiant, Principi, qui verus eſt Patriæ parens, qui ſua cunctis exoptatiſſima præſentia, vultusque clementiſſimi ſerenitate, & ſplendore non ſolum hanc Academiam, vrbem, & populos auguſtiſſimi Principis imperio ſubiectos: ſed & vicinas Germaniæ nationes cum maxima lætitia ſerenat, ac illuſtrat.

Hæc fecerunt, vt meam totius Euripidis Latinam verſionem, tui nominis Amplitudini cenſuerim dicandam. Quem enim poetam vel ipſius oraculi Delphici teſtimonio ſcimus fuiſſe τοῦ σοφοῦ Σοφοκλέους σοφώτερον, quem etiam omnium poetarum longe γνωμικώτατον, καὶ πολιτικώτατον, cum ἀνδρὶ σοφωτάτῳ, πολιτικωτάτῳ, καὶ δὴ καὶ φιλομουσοτάτῳ, καὶ φιλανθρωποτάτῳ conuenire iudicaui. Quamobrem (Nobiliſſime, & Ampliſſime vir) ſiue poetæ carmen, & operis excellentiam ſpectes, ſiue beneficiorum acceptorum memoris animi candorem intuearis, hoc perexiguum εὐχαριστίας monumentum humanitati, virtutique tuæ debitum, & a me obſeruantiæ cauſa nunc oblatum accipies eadem alacritate, qua corpore quidem abſens, at mente præſens offero. Vale Nobiliſſime & Ampliſſime vir,

Digitized by Google

Muſiſque fortiter fauere pergens, me nouum clientem tuæ Amplitudini addictum amare, tuoque patrocinio tueri benigne digneris. Ego vero Deum Opt. Max. orabo ſuppliciter, vt tuam Amplitudinem nobis incolumen, omnique bonorum genere circumſeptam quam diutiſſime conſeruet. Scriptum Heidelbergæ Calend. Sept.

1597.

GVLI-

Digitized by Google

Nobiliſſ. & ampliſſ. viro,

D. GEORGIO LVDOVICO AB HVTTEN,

Sereniſſimi Principis, Electoris Palatini intimo Conſiliario, D. ac Patrono ſuo plurimum obſeruando

ÆMILIVS PORTVS FR. P. CR. F. S. P. D. P. Q. F. O.

MVLTA *ſunt (Nobiliſſime, & Ampliſſime vir) quæ requiruntur in iis, qui Rempub. adminiſtrare, vel Principibus inſeruire cupiunt, vt fungantur officio, quod vtilitatem, decus, & gloriam afferat non ſolum ipſis: ſed etiam, idq; præcipue, Dominis, quibus operam ſuam nauant: at in primis pietas, & Artium liberalium ſcientia. Quid enim boni, quid honeſti, quid glorioſi ab impiis, & imperitis hominibus expectari poteſt? At vbi pietas regnat, vbi ſapientiæ ſtudia florent, ibi pax, ibi felicitas floret, & regnat. Huc vero bonarum literarum auſpiciis, ductuq; peruenitur. Ideo qui ſapiunt, vt honoribus, quibus ornantur, ſe dignos reddant, vtq; ſibi comparent ea, quæ priuatam, publicam rem legitimis rationibus augent, exornant, & beatiorem faciunt, ſacra, quinetiam profana ſcripta ſemper in manibus habent, volutant, legunt, meditantur, & laborum, moleſtiarum, atq; periculorum immunes, in his per otium con-*

templantur quidquid politicis, quidquid aulicis, quidquid bellicis viris ad politicas, aulicas, bellicasque res perite, feliciterque tractandas eſt neceſſarium. Quamuis autem hiſtoria nobis ad hæc paranda non minimum ſit ſubſidium: poeſis tamen ad hæc ipſa conſequenda vſum non minorem affert. Sed quorundam μιλαγχολώντων importunas, barbarasque voces iam mihi videor audire. Quid nobis tuam poeſin, quid tuos poetas obtrudis? Quid hæc poetarum inania figmenta nobis tantopere commendas? Solis ſacræ ſcripturæ libris, ac optimis quibusque profanorum Hiſtoricorum, Iuriſconſultorum, Oratorum, & Philoſophorum operibus indigemus, vt mores, vitamque totam formemus, & ad certam regulam dirigamus, vnde tandem ad optatum ſperatæ felicitatis portum appellamus. Poetæ cum ſuis poematis longum valeant. Poetas, & eorum poeſin pueris, mulierculis, & otioſis hominibus relinquimus, vt pabulo ſolas aures verborum lenociniis paſcente delectentur: Nos ſeria ſectamur, nos magna quadam pectore concepimus, magna molimur. Ad Magiſtratus, ad Præturas, ad Imperia capeſſenda properamus. In Principum, in Regum, in Cæſarum aulis verſari decreuimus, vt dignitatem, ac autoritatem adipiſcamur, quam domi, quam foris omnes ita ſuſpiciant, vt omnia ex noſtri nutus arbitrio pendere credant, ac proinde noſtram amicitiam captare, gratiamque ſibi conciliare ſtudeant.

Sic autem nobis, poſteriſque noſtris ampliſſimas opes, & potentiam nullo tempore delendam quæremus: ſic ad immortalitatem noſtri nominis claritati viam ſternemus. Vt autem quod affectamus, facilius aſſequamur, iis vtimur auxiliis, de quorum fide minime dubitamus. Poeſin vero, quæ nihil præter concinnam

certis

Digitized by Google

GVLIELMI CANTERI
IN EVRIPIDEM PROLEGOMENA.

QVONIAM duo quædam ſunt a nobis in hoc poeta præſtita, ſtudioſe lector, cuius vtrunque ſit generis, quantique momenti, breuiter explicandum arbitror. Primum igitur mendis infinitis tum leuioribus tum grauioribus ſcatentem poetam ſic emaculauimus, vt paucos in tota re literaria ſcriptores repertum iri, quibus tantundem remedii ſit adhibitum, putem. Id porro totum fere noſtro deberi ingeniolo, multæque & attentæ Euripidis lectioni non difficulter fatebor: veruntamen aliquantum nos adiuuerunt & quæ Henricus Stephanus nuper ex antiquis codicibus in huius poetæ partem poſteriorem contulit, quæq; ante annos aliquot Ioannes Brodæus in eandem annotat. quanquam vterque quod pace tantorum virorum dixerim, non raro poetam, quem corrigere vult, corrumpit, idque ea fere de cauſa, quod carminum rationem haberet in cognitam. huius enim notitia ſæpe nos ad locos aliquot emendandos, & lacunas etiam deprehendendas, quę adhuc feſellerant, quaſi manu duxit. Secundo igitur loco, quod hactenus pro difficillimo ac propemodum deſperato fuit habitum, præſtitimus, vt carminum rationem in hoc ſcriptore denſiſſimis tenebris inuolutam clariſſima luce donaremus. quæ res cum per ſe præclara poteſt haberi: tum ad poetam recte intelligendum, & menda tollenda; mirum quantum conducit. Hoc porro totum quoq; nobis fere deberi, non iniuria quis dixerit. nam quæ in duas primas Euripidis tragœdias, & partem tertiæ ſunt a grammaticis de metris conſcripta, nec plena ſemper ſunt, nec vera: remq; per ſe ſatis obſcuram ſæpe obſcuriorem reddunt. quod idem etiam Sophocli viuueniſſe video, multoq; magis Æſchylo primo: ideoq; in his etiam duobus veram carminũ rationem olim, ſi videbitur, proponemus. Maximum vero cõtulit adiumentum Hephæſtio grammaticus, qui tribus chartis, vt eſt in prouerbio, poematum ſpecies, carminumque genera recenſuit. Eum quia nos fere ſecuti ſumus, quid ab illo hac de re præſcriptũ fuerit, quomodoq; nos ad poetam noſtrum hæc

appli-

applicuerimus, referemus. Hanc igitur tradidit poematum diuiſionem Hephæſtio. Poemata, inquit, alia ſunt Κατὰ στίχον, alia Syſtematica, alia Miſta, alia Communia. Κατὰ στίχον dicuntur, quæ vno eodemq; conſtant carminis genere, vt Ilias, vt Odyſſea: nec tantum carminis, ſed etiam coli, vel commatis. Vt enim verſus dicitur, qui tres vel quatuor ſyzygias habet, ita colum duas tantum habet, easque non plenas comma. Syſtematica dicuntur, quæ vero carminum genere in vnum congeſta conſtant. Eſt enim Syſtema duorum vel plurium carminis generum congeries, ſiue ſint ea diſſimilia, vt fere ſemper, ſiue etiam ſimilia, vt ſunt Auſonii diſticha, quas hactenus Catoni vulgus aſſcripſit. Miſta dicuntur, quæ partim Κατὰ στίχον ſunt, partim Syſtematica. huius generis tragœdiæ ſunt, in quibus Iambi poeſim Κατὰ στίχον efficiunt, reliqua Syſtematicam. Communia denique dicuntur, quæ & Κατὰ στίχον, & Syſtematica ſunt. huius generis, quæ modo nominaui, ſunt Catonis diſticha. nam & eorum carminis genere ſunt omnia, & bina cernuntur ſingula. Syſtematica porro ſex generum ſunt. vel enim Κατὰ σχέσιν ſunt, vel Ἀπολελυμένα, vel Μετρικὰ ἄτακτα, vel E ſimilibus, vel Myſta ſyſtematica, vel Communia ſyſtematica. Κατὰ σχέσιν dicuntur, quæ inter ſe reſpondent. atque hæc rurſum ſex generum ſunt. Vel enim Monoſtrophica ſunt, vel Epodica, vel Κατὰ περικοπὴν ἀνομοιομερῆ, vel Antithetica, vel Miſta κατὰ σχέσιν, vel Communia κατὰ σχέσιν. Monoſtrophica ſunt, quę vna Stropha conſtant. qualia ſunt Anacreontis & Alcæi carmina. Epodica ſunt, quæ ſimilibus Syſtematibus diſſimile adiunctum habent. id ſi in fine ponatur, vocantur Epodica, generis nomine. ſi in principio, Proodica. ſi in medio, Meſodica. Et Epodica quidem ſunt fere Pindarica omnia. ternario numero conſtantia. veruntamen nihil prohibet etiam quinario & ſeptenario vti (nam quinarii exemplum eſt in Hecuba chorus Σὺ μὲν ὦ πατρὶς Ἰλιάς. ſeptenarii in Æſchyli Agamemnone chorus, Διὸς πλαγὰν ἔχουσ' εἰπεῖν) Proodica vero nondum vlla reperi, nec vera Meſodica. Κατὰ περικοπὴν ἀνομοιομερῆ ſunt, quę poſt variorum ſyſtematum congeriem ſiue Pericopam, aliam p- ri per totum reſpondentem ſubiunctam habent: ſic vt ir. terutra quidem congerie ſint inter ſe ſyſtemata diſſimili. verum vtraque ſimilibus conſtent partibus. Talia ſunt in Oreſte Μυκηνίδες ὦ φίλαι. Ponitur enim prior congeries

primæ

Digitized by Google

certiſque numeris conſtrictam verborum ſuauitatem habet, quæ nihil præter fabellas, & ægrorum ſomnia nobis miniſtrat, nullis precibus ſolicitabimus, vt nobis inutilem opem ferat.

O non ferendam innati ſtuporis, & cæcitatis inſcitiam! Quid? Nonne Herodotus, Thucydides, Ariſtoteles, Demoſthenes, Æſchines, Strabo, & alii ſexcenti tam Græci, quam Latini ſcriptores, Hiſtorici, Philoſophi, Theologi, Iuriſconſulti, Medici, Oratores, Geographi, & qui de militari diſciplina libros conſcripſerunt, quorum autoritate vos niti iactatis, paſſim Homeri, Heſiodi, & aliorum poetarum exemplis, & teſtimoniis vtuntur, vt rei veritatem confirment, horumque ſpoliis ſua ſcripta ditent, atque magnifice decorent? Quot etiam de Patribus, quorum pietatem, atque doctrinam, omnes ſine controuerſia prædicant, idem feciſſe conſtat? Horum nomina ſi recenſere vellem, me dies citius, quam oratio deficeret. Sed vt breuitati ſeruiam, vnicum afferam exemplum, quod barbarorum hominum, & ab omni humaniore cultu alienorum inſaniam, arrogantiam, & impudentiam refellet, contundet, confringet. Quid enim de fideliſſimo, ac beatiſſimo illo Dei ſeruo, Paulo Apoſtolo, Cenſores iſti Catone ſeueriores ſentient? Quid de eo dicent? An hunc etiam vt rerum imperitum, vt ineptum, ac profanum hominem ſuis ſuffragiis confidenter damnabunt? Et tamen ille θεόσδοτος, καὶ θεόπνευστος Apoſtolus poetas lectitauit, poetarum carminibus, & autoritate ſuam ſententiam ſæpius eſt tutatus. Nonne Actorum Apoſtolicorum capite decimo-ſeptimo, verſu 28. Arati carmen affert, vt nos Dei genus eſſe, nos in eo viuere, nos in eo moueri, & eſſe, nos ab eo creatos,

vitam, motum, omnia vitæ commoda, omnes vitæ delectationes accepiſſe probet? Nonne idem vt Chriſtianos ad vitia fugienda adhortetur, hunc Menandri Græcum verſum vſurpat,

Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί; id eſt,
Corrumpunt mores bonos colloquia mala.

Quam ſententiam Tertullianus ad vxorem ſcribens, Latinis verbis, Latinæ comœdiæ licentiam ſecutus, ita vertit,

Bonos corrumpunt mores congreſſus mali.

Nonne idem Cretenſium mores perſtringens, eosq; mendaciis, fraudibus, violentiæ, rapinis, otio, gulæ, ventri, fœdisq; voluptatibus nimium deditos eſſe demonſtrans, Epimenidis poetæ Cretenſis carmine rem probat?

Κρῆτες, ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

An igitur ſummis quidem, ſanctiſſimisq; viris poetas legere, poetarum autoritate, ſententiis, argumentis, teſtimoniis, & exemplis in maximi momenti rebus vti glorioſum fuerit, nobis vero, qui nullo modo cum ipſis conferendi ſumus, vitio vertetur, ſi tantorum virorum veſtigia ſequamur? Hinc mature faceſſant, qui nec ipſi nos docere poſſunt, nec pati volunt nos ab aliis ea diſcere, quorum documentis melius, feliciusq; viuamus. Hîc tamen poeſeôs ἐγκώμιον *inſtituere non ſtatuimus, ne rem actam agere, neve aquam in Oceanum ferre, & meridianis horis, cælo nullis nubibus tecto, in ſplendidiſſima ſolis luce lucernam accendere videamur. Illud tantum dicam, quod ipſa veritas dictat. Qui poeſin contemnunt, iidem ſacra ſcripta contemnunt, iidem omnia Moſis, Dauidis, Salomonis, & aliorum Prophetarum, vatumq; Deo gratiſſimorum diuina carmina, quæ venerandam numinis ſupremi Maieſtatem, immenſam erga nos beneficentiam, & miracula celebrant, impie condemnant, digniq; ſunt, qui viciſſim ab omnibus mortalibus contemnantur, & condemnentur,*

Digitized by Google

primæ ſtrophæ, primi ſyſtematis, ſecundæ ſtrophæ, ſecundi ſyſtematis, tertiæ ſtrophæ, tertii ſyſtematis, quod in Euripide tamen deſideratur. Sequitur poſterior congeries antiſtrophæ primæ, antiſyſtematis primi, antiſtrophæ ſecundæ, antiſyſtematis ſecundi, antiſtrophæ tertiæ, antiſyſtematis tertii. veruntamen hic ordo nonnunquam confunditur. Ceterum huius generis in Euripide multa ſunt, in Sophocle permulta, nulla in Æſchylo. Antithetica ſunt, quæ in vario carminis genere, primum vltimo, ſecundum penultimo, ac reliquum ſimiliter inter ſe reſpondens habent. cuius generis eſt Ouum Simmiæ. Miſta κατὰ χέσιν ſunt, quæ partim Epodica ſunt, verbi gratia, partim Monoſtrophica Communia Κατὰ χέσιν ſunt, quæ hoc quidem modo diſpoſita, verbi gratia, ſunt Epodica, illo vero Monoſtrophica. Nunc ad alteram ſpeciem vt veniamus, Ἀπολελυμένα dicuntur, quæ certum carminis genus nullum habent. earur ſum vel Ἄστροφα ſunt, vel Ἀνομοιόστροφα, vel Ἄτμητα. Ἄστροφα ſunt, quæ tam paucos verſus habent, vt Stropham complere non poſſe videantur. Ἀνομοιόστροφα ſunt, quæ aliquibus interiectis interrumpuntur ea ſi duo ſunt, vocantur Επερόστροφα, ſi plura, Ἀλλοιόστροφα. huius generis illa ſunt in Hecuba, Ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι. in his enim Strophæ quinque inter ſe diſſimiles, interiectis ſyſtematibus, cernuntur. quod quidem carminis genus ſolus de tragicis vſurpat Euripides. Ἄτμητα ſunt. quæ vt ſecari poſſe videntur, ita nullum ſecandi dant ex ſe ſignum. Tertiam ſpeciem conſtituunt Μετρικὰ ἄτακτα, quæ nullam habent inter ſe ſimilitudinem. qualis fertur Homeri Margites fuiſſe, poema perlepidum. Tales in Euripide ſunt chori duo, alter ſub finem Iphigeniæ Tauricæ Εὔπαις ὁ Λατοῦς γόνος. alter primus Herculis furentis. Male enim his chorus in Oedipo Colon. Sophoclis Ὅστις τοῦ πλέονος μέρους & chorus in Phœniſſis Euripidis Τύριον οἶδμα λιποῦσ' ἔβαν a grammaticis annumerantur, cum vterque ſit nobis epodicus Quarto loco ſunt E ſimilibus dicta, quæ pedum quidem ſunt eorundem, certum autem numerum non habent quales Anapæſti ſunt. ea quoq; vel Ἀπεριόριστα ſunt, vel Κατὰ περιορισμοὺς ἀνίσους Et illa quidem ſunt, quæ ad finem vſque ſunt inter ſe ſimilia: hæc autem, quibus aliquid nonnunquam breuius interiicitur. Horum exemplum illuſtre præbet Hecubæ initium, quo loco ad Chorum illa verba

facit.

Digitized by Google

facit. Sequuntur Miſta ſyſtematica, quæ partim Κατὰ ςίχον ſunt, verbi gratia, partim E ſimilibus. Vltima recenſentur Communia ſyſtematica, quæ hoc quidem modo diſpoſita, verbi gratia, ſunt E ſimilibus, illo autem Κατὰ ςίχον. Atque hæc fere ſunt, quæ de poematum & carminum generibus Hephæſtio tradidit, obſcure quidem ab illo præſcripta, verum a nobis exemplis illuſtrata. Iam vt hæc ad tragicos & Euripidem noſtrum applicemus, multas partes in paucas contrahemus; & quæ ſuperflua ſunt, nec in vſum cadunt, reſecabimus. Omnia igitur tragicorum ſyſtemata cōſtant verſibus vel Similibus, vel Diſſimilibus, vel Similiter diſſimilibus. Similes verſus voco Iambos, & Anapæſtos, quos E ſimilibus appellat Hephæſtio, ſub quibus etiam trochaicos & hexametros licet comprehendere. Diſſimiles verſus conſtituunt vel Μονοςροφικὰ, vel Ἀνομοιόςροφα. Μονοςροφικὰ voco, quæ Hephæſtio Μετρικὰ ἄτακτα dixit. ea ſi breuiora ſunt, συςήματα nude vocantur. Ἀνομοιόςροφα eodem ab illo donantur nomine. Similiter diſſimiles deniq; vel Ἀντιςροφικὰ conſtituunt, vel Ἐπῳδικὰ, vel Περικόμματα. Ἀντιςροφικὰ voco, cum ſtrophis antiſtrophæ reſpondent. Ἐπῳδικὰ ſunt apud Hephæſtionem eodem nomine. Περικόμματα voco, quæ ille Κατὰ περικοπὴν ἀνομοιομερῆ dixit. His igitur ſeptem generibus omnia comprehendi poſſe, quæ ad carminum rationem in tragicis explicandam pertinent, exiſtimo. neque nos aliis vtemur in Euripide toto nominibus, verū ſingulis verſuum ſpeciebus ſuum præfigemus indicem, ac vel Ἰάμβους, vel Ἀναπαίςους, vel Μονοςροφικὰ, vel Ἀνομοιόςροφα, vel Ἀντιςροφικὰ, vel Ἐπῳδικὰ, vel Περικόμματα vocabimus. Poteram huc etiam adiicere ſigna, quæ vocant grammatici, paragraphos, coronidas, ac ſimilia. verum hæc quoniam ad poetas intelligendos perperam faciunt, &, quæ nunc ſunt a nobis præſtita, ſatis hoc tempore fore putamus; curioſius illa perſcrutari non ducimus operæprecium.

Digitized by Google

ΕΥΡΙΠΙΔΟΥ
ΤΡΑΓΩΔΙΩΝ
ὀνόματα.

ΕΚΑΒΗ	HECVBA
ΟΡΕΣΤΗΣ	ORESTES
ΦΟΙΝΙΣΣΑΙ	PHOENISSÆ
ΜΗΔΕΙΑ	MEDEA
ΙΠΠΟΛΥΤΟΣ	HIPPOLYTVS
ΑΛΚΗΣΤΙΣ	ALCESTIS
ΑΝΔΡΟΜΑΧΗ	ANDROMACHE
ΙΚΕΤΙΔΕΣ	SVPPLICES
ΙΦΙΓΕΝΕΙΑ ΕΝ ΑΥΛΙΔΙ	IPHIGENIA IN AVLIDE
ΙΦΙΓΕΝΕΙΑ ΕΝ ΤΑΥΡΟΙΣ	IPHIGENIA IN TAVRIS
ΡΗΣΟΣ	RHESVS
ΤΡΩΑΔΕΣ	TROADES
ΒΑΚΧΑΙ	BACCHÆ
ΚΥΚΛΩΨ	CYCLOPS
ΗΡΑΚΛΕΙΔΑΙ	HERACLIDÆ
ΕΛΕΝΗ	HELENA
ΙΩΝ	ION
ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ	HERCVLES FVRENS
ΗΛΕΚΤΡΑ.	ELECTRA.

Digitized by Google

ARGVMENTVM

HVIVS FABVLAE.

Capta Troia, Græci cum inde ſoluiſſent, ad oppoſitam in Thracia Cherrhoneſum appulerunt, cui Polymeſtor imperabat. Ibi honorarium Achilli tumulum excitauerunt, in Troia ſepulto. Cæterum commoratis aliquot ibi dies, quos rebus ſuis conſtituendis dabant, atq; iam abituris Achillis imago ſuper tumulo apparuit, & eorum diſceſſum inhibuit, poſtulans vt ſibi honoris cauſa darent filiam Priami Polyxenam, quæ ei ante a patre eius fuerat pacta, cuiusq; gratia erat a Paride & Deiphobo ſagittis confixus, peracturo ſponſalia Priamo. Itaq; Græci beneficia eius memoria repetentes, honoremq; hunc eius virtuti deferentes, Polyxenam ad ſepulcrum Herois immolandam decreuerunt. Miſerunt porro Vlyſſem Laertæ filium ad matrem puellæ Hecubam, vt & puellam adduceret, & matri facunda (cuius erat rei artifex) oratione perſuaderet, ne filiæ amiſſione ſe afflictaret. Vlyſſes vbi eo acceſſit, Polyxenam offendit eius conatui opitulantem, matriq; perſuadentem, magis ipſius ex re fore vt moriatur, quam vitam ſe indignam toleret. Mactata filia, ancillam ſuam ad littus miſit Hecuba, aquam, qua cadauer Polyxenæ ablueretur, allatum. Hæc Polydorum ibi iacentem reperit. Etenim Polymeſtor cognito Troiam eſſe captam, puerum hunc occiderat, atq; in mare abiecerat, vt ipſe aurum poſſideret, quod vna cum puero Priamus pater eius clam miſerat ſuperioribus temporibus, cū iam imminere Ilio periculum ſentiret. Erat autem ea vis auri, quæ ad reſtituendum Priami genus poſſet ſufficere. Hunc Polydorum itaq; in littore iacentem ancilla vt inuenit, peplo inuolutum ad Hecubam attulit. Quæ cum cadauer Polyxenæ eſſe putaret, nondum reuelatum, ſimulatque Polydorum eſſe intellexit, magnum dolorem animo concepit: Polymeſtorem vero vt vlciſceretur, hoc aſtu eſt vſa. Communicata prius cum Agamemnone ſententia, ancillam ſuam ad Polymeſtorem mittit, eum

cum

Digitized by Google

Η ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΟΥΤΩΣ ΕΧΕΙ.

Μετὰ τὴν Τροίας ἅλωσιν ἄραντες οἱ Ἕλληνες, καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χερρονήσῳ τῆς Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν. οὗ δὴ καὶ κενοτάφιον ἔχουσιν Ἀχιλλεῖ, ἐν Τροίᾳ ταφέντι. διατρίψαντες δὲ ἐκεῖ ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου, ἐπέχει τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν καὶ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρός. δι' ἣν καὶ ὑπὸ Πάριδος καὶ Δηιφόβου τοξευθεὶς ὄλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληρῶσαι ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν ὧν εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι, καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος. ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε παρθένον λάβῃ, καὶ τῇ ποικιλίᾳ τῶν λόγων, τοιοῦτος γὰρ ἦν ὁ ἀνήρ, πείσῃ Ἑκάβην, μὴ δυσχερῶς φέρειν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. ἐλθὼν οὖν Ὀδυσσεὺς, τήν τε κόρην συναιρομένην εὗρεν αὐτῷ τῆς σπουδῆς, καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτῇ πρέπει ἢ τὸ ζῆν παρ' ἀξίαν. σφαγείσης δὲ τῆς παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον. ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν, ἔρριψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρότερον Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα τὸ Ἴλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν, καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. ὡς οὖν τοῦτον εὗρεν ἡ δούλη κείμενον ἐπ' ἀκταῖς, ἀνελομένη, καὶ τῷ πέπλῳ εἰλίξασα, κομίζει πρὸς τὴν Ἑκάβην, καὶ ἣ τὸν τῆς Πολυξένης νεκρὸν πρὶν ἐκκεκαλύφθαι τοῦτον, εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τε εἶχε, καὶ ὅπως ἀμυνεῖται Πολυμήστορα, μηχανᾶται δὲ τοιόνδε. κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι, πέμπει τὴν αὐτῆς δούλην ὡς Πολυμήστορα, αὐτὸν

Digitized by Google

τε καὶ τὰ τέκνα πρὸς ἑαυτὴν μετακαλεσαμένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν, ὅτι Πολύδωρος εὕρηται παρὰ ταῖς ἀκταῖς, καὶ ἅμα καί τισιν ὑποκλαπεὶς μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. Ἑκάβη δὲ πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυροὺς κεκρυμμένους ὑπ' αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγει δὲ καὶ τῆς σκηνῆς ἔνδον εἰποῦσα, ὡς αὐτῇ καὶ ἕτερ' ἄττα αὐτῷ δώσει χρήματα, μεθ' ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκρυπτο δὲ εἴσω πλείστης γυναικῶν ὄχλος· σὺν αἷς τοῦτον εἰσελθόντα Ἑκάβη, ὀφθαλμῶν τε στερεῖ, καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασαμένου, Ἑκάβη περιεγένετο, ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ χάριν, καὶ οὐχ ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον χοῦσα καὶ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Θράκης Χερρονήσῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων, συμμαχησασῶν τῇ Ἑκάβῃ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Πολυδώρου εἴδωλον.
Ἑκάβη.
Χορὸς ἐκ Τρῳάδων αἰχμαλωτίδων.
Πολυξένη.
Ὀδυσσεύς.
Ταλθύβιος.
Θεράπαινα Ἑκάβης.
Ἀγαμέμνων.
Πολυμήστωρ.

Προλογίζει δὲ ὁ Πολύδωρος.

cum liberis eius ad ſe accerſens, cum eo de re neceſſaria ſe communicaturam indicans. Hic inſcius Polydori cadauer in littore repertum, ſimulq; aliis inductus fraudibus, præſto adfuit. Hecuba ideo vocatum dicere, vti theſauros, quos ipſa Ilii abſcondiſſet, ei indicaret: hominem in tabernaculum ſuum introducere, nimirum ibi rem apertura, ac alias item datura, quas ſecum Troia attuliſſet, pecunias. Erat intus abdita mulierum ingens copia: harum auxilio Hecuba intro adducti oculos excludere, liberosq; eius necare. Rei iudicio inde ad Agamemnonem delato, cum de nece Polydori multa fingeret Polymeſtor, Hecuba coram conuicit, eum auri cauſa, non eorum quæ prætendebat, puero manus attuliſſe: iudicauitq; ſecundum ipſam Agamemnon.

Scena fabulæ fingitur eſſe in Cherrhoneſo Thracica, quæ eſt e regione Troiæ poſita. Chorus conſtat captiuis Troianis mulieribus, quæ Hecubæ ferunt auxilium.

PERSONÆ HVIVS
fabulæ ſunt hæ:

Polydori vmbra.
Hecuba.
Chorus Troadum captiuarum.
Polyxena.
Vlyſſes.
Talthybius.
Ancilla Hecubæ.
Agamemnon.
Polymeſtor.

Prologum autem agit Polydorus.

Digitized by Google

EVRIPIDIS

HECVBA.

Venio defunctorum latebra & caliginis portis
Relictis, (vbi Pluto in ſedibus collocatus eſt
ſeorſim a diis
Polydorus, Hecubæ filius *filiæ* Ciſſei
Priamiq; patris:qui me, poſtquam Troianorũ vrbem
Periculum inuaſit haſta ne caderet Græca,
Metuens, clam emiſit ex Troiana terra
Polymeſtoris ad domum Thracii hoſpitis,
Qui præſtantiſſimam Cherrhoneſiam plagam
Seminat,equeſtrem populum regens haſta.
Multum vero mecum auri emittit occulte
Pater: vt ſi quando Ilii mœnia caderent,
Viuentibus filiis non eſſet penuria victus.
Minimus autem natu erã Priamidarum,quã etiam ob
Clam emiſit,neq; enim ferre arma, [rem me ex terra
Neque haſtam potis eram puerili brachio.
Quamdiu quidem igitur terræ recti ſtabant termini,
Turresque illæſæ Troianæ erant terræ,
Hectorque frater meus feliciter rem gerebat haſta:
Bene apud virum Thracem,patrium hoſpitem
Alimentis quaſi quiſpiã ſurculus,creſcebã miſer.
Poſtquam vero Troia,Hectoriſque periit
Anima, & paternus focus euerſus eſt,
Ipſe vero ad aram Deo ædificatam cadit
Mactatus Achillis a filio ſanguinario:
Interficit me auri miſerum gratia
Hoſpes paternus: & quum interfeciſſet, in procellas
Abiecit,vt ipſe aurum in domo haberet. [maris
Iaceo autem in littore,interdum in maris æſtu
Multis circuitibus vndarum agitatus,
Indeflet⁹,inſepult⁹. nũc vero ꝓpter matrẽ charam
Hecubam proſilio,corpore relicto meo,
Tertiam iam lucem verſans in ſublimi,

Quamdiu

Digitized by Google

ΕΥΡΙΠΙΔΟΥ

ΕΚΑΒΗ.

ΙΑΜΒΟΙ.

Ἥκω, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπὼν, ἵν' ἅδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός· ὅς μ' ἐπεὶ Φρυγῶν πόλιν
Κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
Δείσας, ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς,
Πολυμήστορος πρὸς δῶμα Θρηκίου ξένου.
Ὃς τὴν ἀρίστην Χερρονησίαν πλάκα
Σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
Πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν' εἴποτ' Ἰλίου τείχη πέσοι,
Τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
Νεώτατος δ' ἦν Πριαμιδῶν, ὃ καί με γῆς
Ὑπεξέπεμψεν. οὔτε γὰρ φέρειν ὅπλα,
Οὔτ' ἔγχος οἷός τ' ἦν, νέῳ βραχίονι.
Ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
Πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς ηὐτύχει δορὶ,
Καλῶς παρ' ἀνδρὶ Θρηκὶ πατρῴῳ ξένῳ,
Τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
Ἐπεὶ δὲ Τροία θ', Ἕκτορός τ' ἀπώλετο
Ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
Αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
Σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
Κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
Ξένος πατρῷος, καὶ κτανὼν, ἐς οἶδμ' ἁλὸς
Μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
Κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντου σάλῳ,
Πολλοῖς διαύλοις κυμάτων φερόμενος,
Ἄκλαυστος, ἄταφος. νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ' ἐρημώσας ἐμὸν,
Τριταῖον ἤδη φέγγος αἰωρούμενος,

Ὅσον περ ἐν γῇ τῇδε Χερρονησίᾳ
Μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα,
Πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες, ἥσυχοι
Θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρηϊκίας χθονός.
Ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
Κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν,
Πρὸς οἶκον εὐθύνοντας εἰναλίαν πλάτην.
Αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
Τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
Καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
Ἔσται πρὸς ἀνδρῶν. ἡ πεπρωμένη δ' ἄγει
Θανεῖν ἀδελφὴν τὴν ἐμὴν τῇδ' ἡμέρᾳ.
Δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
Μήτηρ, ἐμοῦ τε, τῆς τε δυστήνου κόρης.
Φανήσομαι γὰρ ὡς τάφου τλήμων τύχω,
Δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
Τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
Τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
Τοὐμὸν μὲν οὖν, ὅσονπερ ἤθελον τυχεῖν,
Ἔσται. γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ. περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
Φεῦ ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων,
Δούλειον ἦμαρ εἶδες. ὡς πράσσεις κακῶς,
Ὅσονπερ εὖ ποτ'. ἀντισηκώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἑκά. Ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων,
Ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον
Νῦν, Τρῳάδες, ὑμῖν, πρόσθεν δ' ἄνασσαν.
Λάβετε, φέρετε,
Πέμπετ', ἀείρετέ μου δέμας,
Γεραιᾶς χειρὸς προσλαζύμεναι.
Κἀγὼ σκολιῷ σκίπωνι χερὸς
Διερειδομένα, σπεύσω βραδύπουν
Ἤλυσιν ἄρθρων προτιθεῖσα.
Ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
Τί ποτ' αἴρομαι ἔννυχος οὕτω
Δείμασι, φάσμασιν, ὦ πότνια χθὼν (
Μελανοπτερύγων μᾶτερ ὀνείρων,

ἀπο-

Digitized by Google

Quamdiu in terra hac Cherrhoneſia
Mater mea infelix ex Troia adeſt.
Omnes vero Achiui naues tenentes, quieti
Sedent in littore huius Thraciæ terræ.
Pelei namque filius ſuper tumulum apparens
Continuit Achilles totum exercitum Græcum
Domum verſus dirigentes marinum remum.
Petit vero ſororem meam Polyxenam
Tumulo charam victimam & honorarium accipere:
Et potietur hoc, neque indonatus amicis
Erit a viris. fatum vero impellit
Mori ſororem meam hac die.
Duorum vero liberorum duo cadauera aſpiciet
Mater, meumque, & huius infelicis puellæ.
Apparebo enim, vt ſepulturam infelix conſequar,
Ancillæ ante pedes in vndis,
Nã ab illis quibus eſt poteſtas apud inferos impetraui
Vt tumulo potirer & in manus matris inciderem.
Meum igitur, quantum volebam conſequi,
Erit. ſed ab anu procul ſecedam
Hecuba. profert enim ipſa pedem ſub tentorium
Agamemnonis, phantaſma metuens meum.
Ah mater quæ ex regiis ædibus,
Seruilem diem vidiſti, vt *tam* infeliciter agis
Quam feliciter olim. at te, æquo libramine vſus,
Perdit deorum aliquis pro priſtina felicitate.

Hecuba.

Ducite ô puellæ anum ante domum,
Ducite erigentes conſeruam
Nunc, Troianæ, vobis, ante vero reginam.
Prehendite, geſtate,
Deducite, attollite meum corpus
Senilem manum apprehendentes.
Et ego curuo ſcipione manum
Annixa accelerabo tardigradum
Greſſum articulorum promouens.
O fulgur Iouis, ô tenebroſa nox,
Quid tandem excitor de nocte ſic
Terroribus, ſpectris? ô veneranda terra
Nigras alas habentium mater ſomniorum,

Abominor

Abominor nocturnam viſionem,
Quam de filio meo
Qui ſeruatur in Thracia,
De Polyxenaque chara
Filia, per inſomnia vidi.
Vidi enim terribile viſum,
Didici, cognoui.
O terreni dii ſeruate filium meum,
Qui ſolus domus ancoraque meæ
Niualem Thraciam incolit
Hoſpitis paterni ſub tutela.
Erit aliquid nouum,
Veniet aliquod carmen lugubre luctuoſis.
Non vnquam mea mens ſic indeſinenter
Horruit, metuit.
Vbi tandem diuinam Heleni animam
Aut Caſandræ aſpiciam, ô Troades,
Vt mihi interpretentur ſomnia?
Vidi enim variam ceruam
Lupi cruento vngue mactatam.
Ex meis genibus auulſam per vim
Miſerabiliter. Et hoc terriculamentum mihi
Venit ſuper ſummum tumuli verticem
Spectrum Achillis.
Petebat vero munus, calamitoſarum
Quamdam Troadum.
A mea igitur, a mea hoc filia
Auertite dii, ſupplico.

Cho. Hecuba ſedulo ad te fugi
Herilia tentoria deſerens,
Vbi ſorte data ſum & ordinata
Serua, ex vrbe abacta
Iliade, haſtæ acie,
Haſta capta ab Achiuis,
Nihil malis leuans,
Sed nuntii onus portans
Grande, tibique mulier præco dolorum.
Nam in Achiuorum pleno concilio
Dicitur decretum eſſe, tuam filiam Achilli
Victimam fieri. Tumulum namq; quum aſcendiſſet,

Scit

Ἀποπέμπομαι ἔννυχον ὄψιν.
Ἂν περὶ παιδὸς ἐμοῦ
Τοῦ σωζομένου κατὰ Θρήκην,
Ἀμφὶ Πολυξείνης τε φίλης
Θυγατρὸς, δι' ὀνείρων εἶδον.
Εἶδον γὰρ φοβερὰν ὄψιν,
Ἔμαθον, ἐδάην.
Ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὸν,
Ὃς μόνος, οἴκων ἄγκυρά τ' ἐμῶν,
Τὴν χιονώδη Θρήκην κατέχει,
Ξείνου πατρῴου φυλακαῖσιν.
Ἔσται τι νέον.
Ἥξει τι μέλος γοερὸν γοεραῖς.
Οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
Φρίσσει, ταρβεῖ.
Ποῦ ποτε θείαν Ἑλένου ψυχὰν,
Ἢ Κασάνδρας ἐσίδω Τρῳάδες,
Ὥς μοι κρίνωσ' ὀνείρους;
Εἶδον γὰρ βαλιὰν ἔλαφον
Λύκου αἵμονι χαλᾷ σφαζομέναν,
Ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ
Οἰκτρῶς. καὶ τόδε δεῖμά μοι
Ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
Φάντασμ' Ἀχιλλῆος.
Ἤιτει δὲ γέρας, τῶν πολυμόχθων
Τινὰ Τρῳϊάδων.
Ἀπ' ἐμᾶς οὖν ἀπ' ἐμᾶς τόδε παιδὸς
Πέμψατε, δαίμονες, ἱκετεύω.
Χο. Ἑκάβη, σπουδῇ πρὸς σ' ἐλιάσθην,
Τὰς δεσποσύνους σκηνὰς προλιποῦσα
Ἵν' ἐκληρώθην καὶ προσετάχθην
Δούλη, πόλεως ἀπελαυνομένα.
Τῆς Ἰλιάδος λόγχης αἰχμῇ,
Δοριθήρατος πρὸς Ἀχαιῶν,
Οὐδὲν παθέων ἀποκουφίζουσ',
Ἀλλ' ἀγγελίας βάρος ἀραμένα.
Μέγα, σοί τε γύναι κῆρυξ ἀχέων.
Ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
Λέγεται δόξαι, σὴν παῖδ' Ἀχιλλεῖ
Σφάγιον θέσθαι. τύμβου δ' ἐπιβὰς,

οἷα

Οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις,
Τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
Λαίφη προτόνοις ἐπερειδομένας,
Τάδε θωΰσσων,
Ποῖ δὴ Δαναοὶ τὸν ἐμὸν τύμβον
Στέλλεσθε ἀγέραστον ἀφέντες;
Πολλῆς δ' ἔριδος συνέπεσε κλύδων·
Δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
Στρατὸν αἰχμητὴν, τοῖς μὲν διδόναι
Τύμβῳ σφάγιον· τοῖς δ' οὐχὶ δοκοῦν.
Ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν,
Τῆς μαντιπόλου βάκχης ἀνέχων
Λέκτρ' Ἀγαμέμνων.
Τὼ Θησείδα δ' ὄζω Ἀθηνῶν
Δισσῶν μύθων ῥήτορες ἦσαν.
Γνώμῃ δὲ μιᾷ συνεχωρείτην,
Τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
Αἵματι χλωρῷ. τὰ δὲ Κασσάνδρας
Λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλλείας
Πρόσθεν θήσειν ποτὲ λόγχης.
Σπουδαὶ δὲ λόγων κατατεινομένων
Ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων
Κόπις, ἡδυλόγος, δημοχαριστὴς,
Λαερτιάδης πείθει στρατιὰν,
Μὴ τὸν ἄριστον Δαναῶν πάντων,
Δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν,
Μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
Στάντα φθιμένων,
Ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
Τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
Ἥξει δ' Ὀδυσσεὺς ὅσον οὐκ ἤδη,
Πῶλον ἀφέλξων σῶν ἀπὸ μαζῶν,
Ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
Ἀλλ' ἴθι ναοὺς, ἴθι πρὸς βωμούς.
Ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων.
Κήρυσσε θεοὺς τούς τ' οὐρανίδας,
Τούς θ' ὑπὸ γαῖαν. ἢ γάρ σε λιταὶ
Διακωλύσουσ' ὀρφανὸν εἶναι
Παιδὸς μελέας, ἢ δεῖ σ' ἐπιδεῖν

Digitized by Google

Scis quando aureis apparuit cum armis,
Pontigradas vero continuit rates
Vela rudentibus ſuffulta habentes,
Hæc clamans:
Quonam Græci meum tumulum
Proficiſcimini inhonoratum relinquentes?
Magnæ vero contentionis orta eſt tempeſtas:
Sententia vero proceſſit diuerſa in Græcorum
Exercitu bellicoſo: illis quidem vt daretur
Tumulo victima, illis vero non videbatur.
Erat vero quidem tuum ſtudens bonum
Fatidicæ bacchæ qui habet
Thalamum Agamemnon.
Theſidæ vero, rami Athenarum,
Duorum ſermonum autores erant:
Sententia autem vna conueniebant,
Achilleum tumulum coronandum eſſe
Sanguine virenti. Caſandræ vero
Torum non dicebant Achilleæ
Præponendum eſſe vnquam haſtæ.
Studia vero ſermonum controuerſorum
Erant paria quodammodo, priusquam verſutus
Rhetor, ſuauiloquus, gratiam populi captans,
Laertiades perſuadet exercitui,
Non optimum Græcorum omnium
Seruiles propter victimas repellere:
Ne quis dicat apud Proſerpinam
Stans ex mortuis,
Quod ingrati Danai erga Danaos
Mortuos pro Græcis
Troiæ ex campis diſceſſerint.
Veniet vero Vlyſſes iamiam
Puellam abſtracturus tuis a mammis,
Exque anili manu abducturus:
Sed vade ad templa, abi ad altaria
Accide Agamemnonis ſupplex ante genua:
Inuoca deos, & eos qui ſunt in cælo,
Et eos qui ſunt ſub terra. Aut enim te preces
Prohibebunt orba ne ſis
Filia miſera, aut oportet te aſpicere

Digitized by Google

Ad tumulum cadentem cruentatam
Sanguine virginem ex aurifero
Collo, flumine nigricante.
Hec. Heu me miſeram, quidnam vociferabor?
Quam vocem, quem luctum?
Infelix, ob miſeram ſenectutem,
Seruitutem hanc non tolerandam,
Non ferendam. Hei mihi mihi,
Quis defendit me? quæ gens?
Quæ vero vrbs?
Interiit ſenex, interierunt liberi.
Qua, an hac an illac
Ibo? vbi ſedebo? vbi quis deorum
Aut dæmonum auxiliator?
O mala quæ attuliſtis Troades,
O mala quæ attuliſtis nocumenta.
Extinxiſtis, perdidiſtis: non amplius mihi
Vita grata in luce.
O calamitoſe duc me
Pes, ſis dux anui
Ad hanc aulam, ô nata, ô filia
Afflictiſſimæ matris
Egredere, egredere domo, audi matris
Vocem ô filia, vt agnoſcas
Qualem qualem
Audio famam de tua vita.
Pol. Ah mater mater quid clamas? quid noui
Nuntians ex ædibus me quaſi auem
Cum terrore hoc euolare feciſti?
Hec. Hei mihi filia.
Pol. Quid me appellas ominoſa voce? proœmia mihi mala.
Hec. Hei hei tuæ vitæ.
Pol. Eloquere, ne celes diu.
Metuo metuo mater,
Quid tandem ingemiſcis?
Hec. O filia, filia miſeræ matris
Pol. Quid hoc dicis?
Hec. Mactare te Argiuorum communi
Vrget ad tumulum ſententia
Pelidæ ſoboles

Pol.

Τύμβου προπετῆ φοινισσομένην
Αἵματι παρθένον, ἐκ χρυσοφόρου
Δειρῆς, νασμῷ μελαναυγεῖ.
ἑκά. Οἴ 'γὼ μελέα. τί ποτ' ἀπύσω;
Ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
Δειλαία, δειλαίου γήρως,
Δουλείας τᾶς οὐ τλατᾶς,
Τᾶς οὐ φερτᾶς. ὤμοι μοι.
Τίς ἀμύνει μοι; ποία γέννα;
Ποία δὲ πόλις;
Φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
Ποίαν ἢ ταύταν ἢ κείναν,
Στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν
Ἢ δαιμόνων ἐπαρωγός.
Ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες,
Ὦ κάκ' ἐνεγκοῦσαι πήματα,
Ἀπωλέσατ', ὠλέσατ'. οὐκέτι μοι
Βίος ἀγαστὸς ἐν φάει.
Ὦ τλάμων ἄγησαί μοι
Πούς, ἄγησαι τᾷ γραίᾳ
Πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
Δυστανοτάτας ματέρος,
Ἔξελθ' ἔξελθ' οἴκων. ἄϊε ματέρος
Αὐδάν ὦ τέκνον, ὡς ἴδῃς
Οἵαν οἵαν
Ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.
πολ. Ἰὼ μᾶτερ μᾶτερ, τί βοᾷς; τί νέον
Κηρύξασ', οἴκων μ' ὥστ' ὄρνιν
Θάμβει τῷδ' ἐξέπταξας;
ἑκά. Ὤι μοι τέκνον.
πολ. Τί με δυσφημεῖς, φροίμιά μοι κακά;
ἑκά. Αἰαῖ σᾶς ψυχᾶς.
πολ. Ἐξαύδα, μὴ κρύψῃς δαρόν.
Δειμαίνω δειμαίνω μᾶτερ,
Τί ποτ' ἀναστένεις;
ἑκά. Ὦ τέκνον, τέκνον μελέας ματρός.
πολ. Τί τόδ' ἀγγέλλεις;
ἑκά. Σφάξαι σ' Ἀργείων κοινὰ
Συντείνει πρὸς τύμβον γνώμα
Πηλείδᾳ γέννα.

πολ.

Digitized by Google

πολ. Οἴμοι μᾶτερ, πῶς φθέγγῃ
Ἀμέγαρτα κακῶν;
Μάνυσόν μοι μάνυσόν μοι μᾶτερ.
ἑκά. Αὐδῶ παῖ δυσφήμους φάμας,
Ἀγγέλλουσ' Ἀργείων δόξαι
Ψήφῳ, τᾶς σᾶς περί μοι ψυχᾶς.
πολ. Ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,
Ὦ δυστάνου μᾶτερ βιοτᾶς,
Οἵαν οἵαν αὖ σοι λώβαν ἐχθίσταν,
Ἀρρύταν τ' ὦρσέ τις δαίμων.
Οὐκ ἔτι σοι παῖς ἅδ'. οὐκ ἔτι δὴ
Γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω.
Σκύμνον γάρ μ' ὥς τ' οὐριθρέπταν
Μόσχον δειλαία δειλαίαν
Εἰσόψει χειρὸς ἀναρπαστὰν
Σᾶς ἀπὸ λαιμότομόν τ' Ἀΐδᾳ
Γᾶς ὑποπεμπομέναν σκότον·
Ἔνθα νεκρῶν μέτα
Ἁ τάλαινα κείσομαι.
Καὶ σὲ μὲν μᾶτερ δύστανε
Κλαίω πανοδύρτοις θρήνοις.
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν
Τ' οὐ μετακλαίομαι· ἀλλὰ θανεῖν μοι
Ξυντυχία κρείσσων ἐκύρησεν.

ΙΑΜΒΟΙ.

χο. Καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημαίνων ἔπος.
ὀδ. Γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ,
Ψῆφόν τε τὴν κρανθεῖσαν. ἀλλ' ὅμως φράσω·
Ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
Σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
Ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
Τάσσουσιν εἶναι. θύματος δ' ἐπιστάτης,
Ἱερεύς τ' ἐπέστη τοῦδε, παῖς Ἀχιλλέως.
Οἶσθ' οὖν ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ,
Μήτ' εἰς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί.
Γίνωσκε δ' ἀλκὴν, καὶ παρουσίαν κακῶν
» Τῶν σῶν. σοφόν τοι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.
ἑκά. Αἶ, αἶ, παρέστηχ' ὡς ἔοικ' ἀγὼν μέγας,
Πλήρης στεναγμῶν, οὐδὲ δακρύων κενός.

Κἀγὼ

Pol. Hei mihi mater vt refers
Immenſa mala?
Indica mihi, indica mihi mater.
Hec. Loquor filia infandam famam:
Nuntiant Argiuorum decretum eſſe
Calculo de tua mihi vita.
Pol. O grauia patiens, ô omnino infelix,
O miſeræ mater vitæ:
Qualem qualem rurſus tibi noxam infeſtiſſimã
Infandamque excitauit quiſpiam dæmon.
Non amplius tibi filia hæc, non amplius ſane
Senectuti miſeræ miſera ſimul ſeruiam.
Catulam enim me tanquam, aut montipaſtam
Vitulam miſera miſeram
Videbis manu abreptam
Tua; decollatamque Plutoni
Terræ miſſam ſub tenebras:
Vbi cum mortuis
Infelix iacebo.
Et te quidem mater miſera
Deploro perquam lamentabilibus fletibus:
Meam autem vitam, probrum & cladem
Nihil deploro, ſed mori mihi
Caſus melior contigit.

Chorus.

Et quidem Vlyſſes venit celeritate pedis,
Hecuba, nouum aliquod tibi ſignificaturus verbum.
Vl. O mulier exiſtimo quidẽ te ſcire ſententiam exercitus
Calculumque qui obtinuit: attamen dicam.
Viſum eſt Græcis filiam tuam Polyxenam
Mactare ad excelſum aggerem Achillei ſepulcri.
Nos vero comites & adductores puellæ
Ordinarunt eſſe: ſacrificii vero præfectus
Sacerdosque ſtatutus eſt huius filius Achillis.
Scis igitur quid facies? neque auellaris vi,
Neque ad manuum certamen congrediaris mecum:
Sed agnoſce vires & præſentiam malorum
„ Tuorum. Scitũ eſt, etiam in malis ſapere quę oportet.
Hec. Ah, ah, inſtat (vt videtur) certamen ingens,
Plenum gemituum, nec lacrymarum inane.

Et ego enim nõ mortua ſum vbi me oportuerat mori,
Neque perdidit me Iupiter: nutrit vero vt videam
Malis mala alia maiora infelix ego.
Si vero licet ſeruis liberos
Non acerba neque cor mordentia
Percontari, te quidem interrogari oportebit,
Nos vero audire qui quærimus hæc.
Vl. Licet, interroga: tempus enim non inuideo.
Hec. Scis quando veniſti Ilii explorator
Lacero amictu, deformis: & ab oculis
Mortis guttæ tuam irrigabant barbam?
Vl. Noui. non enim *hæc res* extremũ pectoris attigit mei.
Hec. Agnouit vero te Helena, & ſoli nuntiauit mihi?
Vl. Meminimus in periculum nos veniſſe magnum.
Hec. Attigiſti vero genua mea humilis exiſtens?
Vl. *Et quidem* adeo vt immoreretur in tua veſte manus [mea.
Hec. Seruaui *te* igitur emiſique ex terra?
Vl. Adeo vt aſpiciam lucem ſolis hanc.
Hec. Quid ſane dicebas ſeruus meus exiſtens tum?
Vl. Moltorum ſermonum inuenta, vt non morerer.
Hec. Annon ergo iniurius es hiſce conſiliis,
Qui ex me bene paſſus es, qualia dicis te paſſum eſſe:
Facis vero nihil nobis bene: ſed male quantum potes?
„ Ingratum veſtrum genus, quicunque populares
„ Sectamini honores: vtinã non cognoſcamini mihi:
„ Qui nihil penſi habetis amicos lædere
„ Si multitudini ad gratiam dicatis aliquid.
Verum quidnam ſophiſma hoc prætexentes
Aduerſus hanc puellam calculum tulerunt mortis?
Vtrum fatum ipſos induxit homines interficere
Ad tumulum, vbi mactare boues magis decet:
An eos qui interfecerunt, viciſſim interficere volens,
Aduerſus hanc Achilles iure intendit cædem?
Atqui nullum ipſi hæc fecit malum.
Helenam illum petere oportet ſepulcro victimã:
Illa enim perdidit ipſum ad Troiam ducens.
Si vero captiuam oportet aliquam ſelectam mori,
Pulchritudine excellentem, non noſtrum hoc:
Helena enim forma *eſt* præſtantiſſima,
Iniurioſaque non minus quã nos eſſe cõperta eſt.

Digitized by Google

Κἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ' ἐχρῆν θανεῖν.
Οὐδ' ὤλεσέ μιν Ζεύς, τρέφει δ', ὅπως ὁρῶ
Κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
Εἰ δ' ἐστὶ τοῖς δούλοισι τοὺς ἐλευθέρους
Μὴ λυπρὰ, μηδὲ καρδίας δηκτήρια
Ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
Ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
ὀδυ. Ἔξεστ'. ἐρώτα, τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ἑκά. Οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
Φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;
ὀδυ. Οἶδ'. οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ἑκά. Ἔγνω δὲ σ' Ἑλένη, καὶ μόνη κατεῖπέ μοι.
ὀδυ. Μεμνήμεθ' εἰς κίνδυνον ἐλθόντες μέγαν.
ἑκά. Ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ὀδυ. Ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
ἑκά. Ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;
ὀδυ. Ὥστ' εἰσορᾶν φέγγος ἡλίου τόδε.
ἑκά. Τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;
ὀδυ. Πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
ἑκά. Οὔκουν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φὴς παθεῖν,
Δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
» Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
» Ζηλοῦτε τιμὰς, μηδὲ γινώσκοισθέ μοι,
» Οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
» Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Εἰς τήνδε παιδὶ ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Εἰς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρὴ τάφῳ προσφάγματα·
Κείνη γὰρ ὤλεσέ νιν, εἰς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη.
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧττον ηὑρέθη.

Τῷ μὲν δικαίῳ, τόνδ' ἁμιλλῶμαι λόγον.
Ἃ δ' ἀντιδοῦναι δεῖ σ' ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φῄς, χερὸς,
Καὶ τῆσδε γεραιᾶς προσπίτνων παρηίδος.
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
Μηδὲ κτάνητε. τῶν τεθνηκότων ἅλις.
Ταύτῃ γέγηθα, κἀπιλήθομαι κακῶν.
Ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχή.
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
,, Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών.
,, Οὐδ' εὐτυχοῦντας, εὖ δοκεῖν πράξειν ἀεί.
,, Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι.
,, Τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
Ἀλλ', ὦ φίλον γένειον, αἰδέσθητί με.
Οἴκτειρον. ἐλθὼν δ' εἰς ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε,
Βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
,, Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος,
,, Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
Τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
,, Πείσει. Λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
,, Κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.
χο. Οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
Κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.
ὀδυ. Ἑκάβη [illegible] μηδὲ τῷ θυμουμένῳ
Τὸν [illegible] φρενί.
Ἐ[illegible] τύχουν,
[illegible] λέγω.
[illegible] σομαι,
[illegible] ῳ στρατοῦ
[illegible] ξαιτουμένῳ.
[illegible] πολλαὶ πόλεις,
[illegible] θυμος ὢν ἀνὴρ
[illegible] κακιόνων πλέον.
[illegible] ἄξιος τιμῆς, γύναι,
[illegible] Ἑλλάδος κάλλι[illegible]

Οὐκουν

Ex æquitate quidem, hoc ſermone tecum contendo.
Quæ vero rependere oportet te repetente me,
Audi. Tetigiſti meam (quemadmodũ dicis) manum,
Et hanc anilem, accidens, genam:
Viciſſim attingo tua hæc eadem ego:
Beneficiumque repoſco prius, & ſupplico tibi
Ne meam filiam ex manibus auferas,
Neque interficiatis. mortuorum ſatis eſt.
Hac gaudeo, & obliuiſcor malorum:
Hæc pro multis eſt mihi conſolatio,
Ciuitas, nutrix, baculus, dux viæ.
,, Non oportet victores imperare quæ non decent:
,, Neq; eos qui felices ſunt, putare ſe felices fore ſemper.
,, Nam & ego eram olim, ſed nunc non amplius ſum.
,, Vniuerſam vero felicitatem dies vna mihi eripuit.
Sed ô charum mentum, reuerearis me:
Miſerere. vadens vero ad Græcorum exercitum
Admone quam interficere inuidioſum *ſit*
Mulieres (quas primum non interfeciſtis)
Ab altaribus auellentes: ſed miſerti eſtis.
,, Lex enim inter vos & liberis æqua
,, Et ſeruis de ſanguine poſita eſt.
Porro dignitas etiamſi male dicat tua
,, Perſuadebit. Sermo enim ab incelebribus profectus
,, Et a celebribus idem, non idem valet.
Cho. Non eſt adeo rigida hominis natura
Quæ luctuum tuorũ & longarum complorationum
Audiens fletus, non poſſit eiicere lacrymas.
Vl. O Hecuba, diſce, neque præ *tua* ira
Me bene dicentem, infenſum fingas in animo.
quidem tuum corpus, per quod felix fui,
paratus ſum, & non aliter dico.
ro dixi apud omnes, non negabo:
apta, viro primario exercitus
filiam dandam eſſe victimam poſtulanti.
enim laborant multæ vrbes,
bonus & ſtrenuus exiſtens vir
is amplius.
lles dignus honore, ô mulier,
Græca honeſtiſſime vir.

„ Annon hoc turpe eſt,ſi vidente quidem amico
„ Vtimur: quum vero interiit,non vtimur amplius?
Agedum quidnam dicat quis,ſi iterum appareat
Exercitusque collectio hoſtiumque certamen?
Vtrum certabimus,an conſulemus vitæ,
Mortuum videntes non habitum in honore?
„ Atqui mihi quidem viuenti in dies,
„ Etſi pauca habeam,omnia ſufficient:
„ Sepulcrum autem optarim honoratum
„ Meũ cõſpici. In longũ enim *tempus durat* hoc officiũ.
Si vero miſeranda paſſam te dicis, hæc viciſſim audi a [me.
Sunt apud nos non minus infelices
Vetulæ mulieres & vetuli,quam tu,
Sponſæque præſtantiſſimis ſponſis orbatæ,
Quorum iſte occulit corpora Troianus puluis.
Perfer hæc. Nos vero ſi male ſtatuimus
Honorare fortem,inſcitiæ rei erimus.
„ Sed vos barbari neque amicos pro amicis
„ Ducitis,neque honeſte mortuos
„ Admiramini. Itaq; quidem Græcia feliciter agit,
„ Vos autem perfertis conſentanea veſtris conſiliis.
Cho. Ah ah,quam mala ſemper eſt ſeruilis conditio:
Suſtinet quæ non oportet per vim victa.
Hec. O filia,mei quidem ſermones in aerem
Irriti ſunt fruſtra proiecti de tua cæde:
Tu vero ſi maiorem potentiam quam mater habes,
Annitere, omnigenos, velut luſciniæ os,
Sonos emittens, ne priueris vita.
Procide vero miſerabiliter huius Vlyſſis ad genu,
Et perſuade (habes vero occaſionẽ:ſunt.n. liberi
Et huic) tuæ vt miſereatur fortunæ.
Pol. Video te, ô Vlyſſes, dextram ſub veſte
Occultantem manum, & faciem retrorſum
Vertentem ne tuum attingam mentum.
Bono animo eſto:effugiſti meum ſupplicẽ Iouem:
Quoniam ſequar te & neceſſitatis gratia,
Et mori volens. Si vero non velim,
Ignaua videbor & amans vitæ mulier.
Quid enim me oportet viuere, cui pater quidẽ erat rex
Phrygum omnium? (hoc mihi primum vitæ.)

Digitized by Google

,, Οὔκουν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
,, Χρώμεσθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι.
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν αὖθις φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
,, Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
,, Κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι.
,, Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
,, Τὸν ἐμὸν ὁρᾶσθαι. διὰ μακροῦ γὰρ ἡ χάρις.
Εἰ δ' οἰκτρὰ πάσχειν φῄς, τάδ' ἀντάκουέ μου,
Εἰσὶ παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
Γραῖαι γυναῖκες, ἠδὲ πρεσβῦται σέθεν,
Νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
Ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
Τόλμα τάδ'. ἡμεῖς δ' εἰ κακῶς νομίζομεν,
Τιμᾶν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν.
,, Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
,, Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
,, Θαυμάζεθ'. ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
,, Ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
χο. Αἰαῖ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι,
Τολμᾷ θ' ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.
ἑκά. Ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
Φροῦδοι, μάτην ῥιφέντες ἀμφὶ σοῦ φόνου.
Σὺ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
Σπούδαζε, πάσας ὥστ' ἀηδόνος στόμα
Φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
Καὶ πεῖθ' (ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
Καὶ τῷδε) τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
πολ. Ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος.
Θάρσει. πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία.
Ὡς ἕψομαί σοι, τοῦ τ' ἀναγκαίου χάριν,
Θανεῖν τε χρῄζουσ'. εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων. τοῦτό μοι πρῶτον βίου.

Digitized by Google

Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξί, παρθένοισί τ' ἀπόβλεπτος μέτα·
Ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
Θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν.
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορός τε χ' ἀτέρων πολλῶν κάσιν.
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'. ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', ἅδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
Οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
Λέγουσα, μηδὲ δρῶσα. συμβούλου δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
„ Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
„ Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.
„ Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
„ Ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
χο. Δεινὸς χαρακτὴρ, κἀπίσημος ἐν βροτοῖς,
„ Ἐσθλῶν γενέσθαι. κἀπὶ μεῖζον ἔρχεται
„ Τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
ἑκά. Καλῶς μὲν εἶπας θύγατερ· ἀλλὰ τῷ καλῷ
Λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
Ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε·
Ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε, μὴ φείδεσθ'. ἐγὼ τέκον Πάριν,
Ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.
ὀδυ. Οὔ σ' ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
Φάντασμ' Ἀχαιοὺς, ἀλλὰ τήνδ' ᾐτήσατο.

Digitized by Google

Deinde nutrita ſum ſub ſpe optima,
Regibus ſponſa,æmulationē non paruam nuptiarum
Habens, ad cuius domum focumq; aduentura eſſem:
Domina vero infelix Troianas eram
Mulieres virgineſque inter conſpicua,
Similis deabus,præter mori ſolum.
Nunc vero ſum ſerua. Primum quidem hoc nomen
Mortem amare facit, non conſuetum exiſtens.
Deinde fortaſſis dominos ſæuo animo præditos
Poſſem nanciſci quicunque argento me emet
Hectoris & aliorum multorum ſororem,
Adigens me vero ad panificium in ædibus,
Verrereque domum & radiis textoriis inſiſtere,
Triſtem agentem diem,me coget.
Strata vero mea ſeruus emptitius aliquis
Contaminabit,regibus antea digna iudicata.
Non ita:relinquam ab oculis liberam
Lucem hanc, inferis offerens meum corpus.
Duc igitur me Vlyſſes,& necato me ducens.
Neque enim ſpei,neque alicuius opinionis video
Fiduciam apud nos, quod vnquam feliciter agere me
Mater,tu vero nobis nihil impedimento ſis [oporteat.
Dicendo neque faciendo:ſed aſſentiaris mihi
Mori priusquam turpia non pro dignitate conſequar.
„ Quicunque enim non conſueuit guſtare mala,
„ Fert quidem; dolet vero collum ſupponens iugo.
„ Mortuus vero eſſe poſſit felicior
„ Quam viuens. Viuere enim non honeſte,magna cala-
Cho. Mira nota & inſignis inter homines eſt [mitas
„ A bonis natum eſſe:& in maius procedit
„ Nobilitatis nomen apud eos qui digni ſunt.
Hec. Honeſte quidem dixiſti filia:ſed huic honeſto
Mœror adeſt. Si vero oportet Pelei
Rem gratam fieri filio,& probrum effugere,
Vos ô Vlyſſes,hanc quidem non interficite,
Sed nos ducentes ad buſtum Achillis
Confodite,ne parcatis:ego peperi Paridem,
Qui filium Thetidis, ſagittis feriens, interemit.
Vl. Non te ô anus,ad moriendum, Achillis
Spectrum a Græcis, ſed hanc, petiuit.

Digitized by Google

πολ. Οἴμοι μᾶτερ, πῶς φθέγγῃ
Ἀμέγαρτα κακῶν;
Μάνυσόν μοι μάνυσόν μοι μᾶτερ.
ἑκά. Αὐδῶ παῖ δυσφήμους φάμας,
Ἀγγέλλουσ' Ἀργείων δόξαι
Ψήφῳ, τᾶς σᾶς περί μοι ψυχᾶς.
πολ. Ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,
Ὦ δυστάνου μᾶτερ βιοτᾶς,
Οἵαν οἵαν αὖ σοι λώβαν ἐχθίσταν,
Ἀρρύταν τ' ἄρσέ τις δαίμων.
Οὐκ ἔτι σοι παῖς ἅδ'. οὐκ ἔτι δὴ
Γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω.
Σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν
Μόσχον δειλαία δειλαίαν
Εἰσόψει χειρὸς ἀναρπαστὰν
Σᾶς ἀπὸ λαιμότομόν τ' Ἀΐδᾳ
Γᾶς ὑποπεμπομέναν σκότον·
Ἔνθα νεκρῶν μέτα
Ἁ τάλαινα κείσομαι.
Καὶ σὲ μὲν μᾶτερ δύστανε
Κλαίω πανοδύρτοις θρήνοις.
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν
Τ' οὐ μετακλαίομαι· ἀλλὰ θανεῖν μοι
Ξυντυχία κρείσσων ἐκύρησεν.

ΙΑΜΒΟΙ.

χο. Καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.
ὀδ. Γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ,
Ψῆφόν τε τὴν κρανθεῖσαν. ἀλλ' ὅμως φράσω·
Ἔδοξ' Ἀχαιοῖς παῖδα τὴν Πολυξένην,
Σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
Ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
Τάσσουσιν εἶναι. θύματος δ' ἐπιστάτης,
Ἱερεύς τ' ἐπέστη τοῦδε, παῖς Ἀχιλλέως.
Οἶσθ' οὖν ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ,
Μήτ' εἰς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί.
Γίνωσκε δ' ἀλκὴν, καὶ παρουσίαν κακῶν
» Τῶν σῶν. Σοφόν τοι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.
ἑκά. Αἲ, αἲ, παρέστηχ' ὡς ἔοικ' ἀγὼν μέγας,
Πλήρης στεναγμῶν, οὐδὲ δακρύων κενός.

Κἀγὼ

Pol. Hei mihi mater vt refers
Immenſa mala?
Indica mihi, indica mihi mater.
Hec. Loquor filia infandam famam:
Nuntiant Argiuorum decretum eſſe
Calculo de tua mihi vita.
Pol. O grauia patiens, ô omnino infelix,
O miſeræ mater vitæ:
Qualem qualem rurſus tibi noxam infeſtiſſimã
Infandamque excitauit quiſpiam dæmon.
Non amplius tibi filia hæc, non amplius ſane
Senectuti miſeræ miſera ſimul ſeruiam.
Catulam enim me tanquam, aut montipaſtam
Vitulam miſera miſeram
Videbis manu abreptam
Tua; decollatamque Plutoni
Terræ miſſam ſub tenebras:
Vbi cum mortuis
Infelix iacebo.
Et te quidem mater miſera
Deploro perquam lamentabilibus fletibus:
Meam autem vitam, probrum & cladem
Nihil deploro, ſed mori mihi
Caſus melior contigit.

Chorus.

Et quidem Vlyſſes venit celeritate pedis,
Hecuba, nouum aliquod tibi ſignificaturus verbum.
Vl. O mulier exiſtimo quidẽ te ſcire ſententiam exercitus
Calculumque qui obtinuit: attamen dicam.
Viſum eſt Græcis filiam tuam Polyxenam
Mactare ad excelſum aggerem Achillei ſepulcri.
Nos vero comites & adductores puellæ
Ordinarunt eſſe: ſacrificii vero præfectus
Sacerdosque ſtatutus eſt huius filius Achillis.
Scis igitur quid facies? neque auellaris vi,
Neque ad manuum certamen congrediaris mecum:
Sed agnoſce vires & præſentiam malorum
„ Tuorum. Scitũ eſt, etiam in malis ſapere quę oportet.
Hec. Ah, ah, inſtat (vt videtur) certamen ingens,
Plenum gemituũ, nec lacrymarum inane.

Et ego enim nõ mortua ſum vbi me oportuerat mori,
Neque perdidit me Iupiter: nutrit vero vt videam
Malis mala alia maiora infelix ego.
Si vero licet ſeruis liberos
Non acerba neque cor mordentia
Percontari, te quidem interrogari oportebit,
Nos vero audire qui quærimus hæc.
Vl. Licet, interroga: tempus enim non inuideo.
Hec. Scis quando veniſti Ilii explorator
Lacero amictu, deformis: & ab oculis
Mortis guttæ tuam irrigabant barbam?
Vl. Noui. non enim *hæc res* extremũ pectoris attigit mei.
Hec. Agnouit vero te Helena, & ſoli nuntiauit mihi?
Vl. Meminimus in periculum nos veniſſe magnum.
Hec. Attigiſti vero genua mea humilis exiſtens?
Vl. *Et quidem* adeo vt immoreretur in tua veſte manus [mea.
Hec. Seruaui *te* igitur emiſique ex terra?
Vl. Adeo vt aſpiciam lucem ſolis hanc.
Hec. Quid ſane dicebas ſeruus meus exiſtens tum?
Vl. Multorum ſermonum inuenta, vt non morerer.
Hec. Annon ergo iniurius es hiſce conſiliis,
Qui ex me bene paſſus es, qualia dicis te paſſum eſſe:
Facis vero nihil nobis bene: ſed male quantum potes?
„ Ingratum veſtrum genus, quicunque populares
„ Sectamini honores: vtinã non cognoſcamini mihi:
„ Qui nihil penſi habetis amicos lædere
„ Si multitudini ad gratiam dicatis aliquid.
Verum quidnam ſophiſma hoc prætexentes
Aduerſus hanc puellam calculum tulerunt mortis?
Vtrum fatum ipſos induxit homines interficere
Ad tumulum, vbi mactare boues magis decet:
An eos qui interfecerunt, viciſſim interficere volens,
Aduerſus hanc Achilles iure intendit cædem?
Atqui nullum ipſi hæc fecit malum.
Helenam illum petere oportet ſepulcro victimã:
Illa enim perdidit ipſum ad Troiam ducens.
Si vero captiuam oportet aliquam ſelectam mori,
Pulchritudine excellentem, non noſtrum hoc:
Helena enim forma *eſt* præſtantiſſima,
Iniurioſaque non minus quã nos eſſe cõperta eſt.

Ex

Κἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ' ἐχρῆν θανεῖν.
Οὐδ' ὤλεσέ με Ζεύς, τρέφει δ', ὅπως ὁρῶ
Κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
Εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
Μὴ λυπρὰ, μηδὲ καρδίας δηκτήρια
Ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
Ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
ὀδυ. Ἔξεστ'. ἐρώτα, τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ἑκά. Οἶσθ' ἡνίχ' ἦλθες Ἰλίου κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
Φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;
ὀδυ. Οἶδ'. οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ἑκά. Ἔγνω δέ σ' Ἑλένη, καὶ μόνῃ κατεῖπέ μοι.
ὀδυ. Μεμνήμεθ' εἰς κίνδυνον ἐλθόντες μέγαν.
ἑκά. Ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ὀδυ. Ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
ἑκά. Ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;
ὀδυ. Ὥστ' εἰσορᾶν φέγγος ἡλίου τόδε.
ἑκά. Τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;
ὀδυ. Πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
ἑκά. Οὔκουν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φῂς παθεῖν,
Δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
„ Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
„ Ζηλοῦτε τιμὰς, μηδὲ γινώσκοισθέ μοι,
„ Οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
„ Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Εἰς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρὴ τάφῳ προσφάγματα·
Κείνη γὰρ ὤλεσέ νιν, εἰς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμάλωτον χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη,
Ἀδικοῦσά θ' ἡμᾶς οὐδὲν ἧττον εὑρέθη.

Τῷ μὲν δικαίῳ, τόνδ᾽ ἁμιλλῶμαι λόγον.
Ἃ δ᾽ ἀντιδοῦναι δεῖ σ᾽ ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φῂς, χερὸς,
Καὶ τῆσδε γραίας προσπίτνων παρηΐδος.
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ᾽ ἀπαιτῶ τὴν τόθ᾽, ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
Μηδὲ κτάνητε. τῶν τεθνηκότων ἅλις.
Ταύτῃ γέγηθα, κἀπιλήθομαι κακῶν.
Ἥδ᾽ ἀντὶ πολλῶν ἐστί μοι παραψυχή.
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
,, Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών.
,, Οὐδ᾽ εὐτυχοῦντας, εὖ δοκεῖν πράξειν ἀεί.
,, Κἀγὼ γὰρ ἦν ποτ᾽, ἀλλὰ νῦν οὐκ εἴμ᾽ ἔτι.
,, Τὸν πάντα δ᾽ ὄλβον ἦμαρ ἕν μ᾽ ἀφείλετο.
Ἀλλ᾽, ὦ φίλον γένειον, αἰδέσθητί με·
Οἴκτειρον. ἐλθὼν δ᾽ εἰς ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε,
Βωμῶν ἀποσπάσαντες, ἀλλ᾽ ᾠκτείρατε.
,, Νόμος δ᾽ ἐν ὑμῖν τοῖς τ᾽ ἐλευθέροις ἴσος,
,, Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
Τὸ δ᾽ ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
,, Πείσει. λόγος γὰρ ἔκ τ᾽ ἀδοξούντων ἰὼν,
,, Κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.
χο. Οὐκ ἔστιν οὕτω στεῤῥὸς ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
Κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.
ὀδυ. Ἑκάβη, διδάσκου. μηδὲ τῷ θυμουμένῳ
Τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὲν σὸν σῶμ᾽, ὑφ᾽ οὗπερ ηὐτύχουν,
Σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
Ἃ δ᾽ εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
Σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
,, Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
,, Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ,
,, Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῖν δ᾽ Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
Θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ᾽ ἀνήρ.

Οὐκοῦν

Digitized by Google

Ex æquitate quidem, hoc ſermone tecum contendo.
Quæ vero rependere oportet te repetente me,
Audi. Tetigiſti meam (quemadmodũ dicis) manum,
Et hanc anilem, accidens, genam:
Viciſſim attingo tua hæc eadem ego:
Beneficiumque repoſco prius, & ſupplico tibi
Ne meam filiam ex manibus auferas,
Neque interficiatis. mortuorum ſatis eſt.
Hac gaudeo, & obliuiſcor malorum:
Hæc pro multis eſt mihi conſolatio,
Ciuitas, nutrix, baculus, dux viæ.
„ Non oportet victores imperare quæ non decent:
„ Neq; eos qui felices ſunt, putare ſe felices fore ſemper.
„ Nam & ego eram olim, ſed nunc non amplius ſum.
„ Vniuerſam vero felicitatem dies vna mihi eripuit.
Sed ô charum mentum, reverearis me:
Miſerere. vadens vero ad Græcorum exercitum
Admone quam interficere inuidioſum *ſit*
Mulieres (quas primum non interfeciſtis)
Ab altaribus auellentes: ſed miſerti eſtis.
„ *Lex* enim inter vos & liberis æqua
„ Et ſeruis de ſanguine poſita eſt.
Porro dignitas etiamſi male dicat tua
„ Perſuadebit. Sermo enim ab incelebribus profectus
„ Et a celebribus idem, non idem valet.
Cho. Non eſt adeo rigida hominis natura
Quæ luctuum tuorũ & longarum comploratiionum
Audiens fletus, non poſſit eiicere lacrymas.
Vl. O Hecuba, diſce, neque præ *tua* ira
Me bene dicentem, infenſum fingas in animo.
Ego quidem tuum corpus, per quod felix fui,
Seruare paratus ſum, & non aliter dico.
Quæ vero dixi apud omnes, non negabo:
Troia capta, viro primario exercitus
Tuam filiam dandam eſſe victimam poſtulanti.
„ In hoc enim laborant multæ vrbes,
„ Quando quis bonus & ſtrenuus exiſtens vir
„ Nihil aufert ignauis amplius.
Nobis autem Achilles dignus honore, ô mulier,
Mortuus pro terra Græca honeſtiſſime vir.

„ Annon hoc turpe eſt,ſi vidente quidem amico
„ Vtimur: quum vero interiit,non vtimur amplius?
Agedum quidnam dicat quis,ſi iterum appareat
Exercitusque collectio hoſtiumque certamen?
Vtrum certabimus,an conſulemus vitæ,
Mortuum videntes non habitum in honore?
„ Atqui mihi quidem viuenti in dies,
„ Etſi pauca habeam,omnia ſufficient:
„ Sepulcrum autem optarim honoratum
„ Meũ cõſpici. In longũ enim *tempus durat* hoc officiũ.
Si vero miſeranda paſſam te dicis, hæc viciſſim audi a [me.
Sunt apud nos non minus infelices
Vetulæ mulieres & vetuli,quam tu,
Sponſæque præſtantiſſimis ſponſis orbatæ,
Quorum iſte occulit corpora Troianus puluis.
Perfer hæc. Nos vero ſi male ſtatuimus
Honorare fortem,inſcitiæ rei erimus.
„ Sed vos barbari neque amicos pro amicis
„ Ducitis,neque honeſte mortuos
„ Admiramini. Itaq, quidem Græcia feliciter agit,
„ Vos autem perfertis conſentanea veſtris conſiliis.
Cho. Ah ah,quam mala ſemper eſt ſeruilis conditio:
Suſtinet quæ non oportet per vim victa.
Hec. O filia,mei quidem ſermones in aerem
Irriti ſunt fruſtra proiecti de tua cæde:
Tu vero ſi maiorem potentiam quam mater habes,
Annitere, omnigenos, velut luſciniæ os,
Sonos emittens, ne priueris vita.
Procide vero miſerabiliter huius Vlyſſis ad genu,
Et perſuade (habes vero occaſionẽ:ſunt.n. liberi
Et huic) tuæ vt miſereatur fortunæ.
Pol. Video te, ô Vlyſſes, dextram ſub veſte
Occultantem manum, & faciem retrorſum
Vertentem ne tuum attingam mentum.
Bono animo eſto:effugiſti meum ſupplicẽ Iouem:
Quoniam ſequar te & neceſſitatis gratia,
Et mori volens.Si vero non velim,
Ignaua videbor & amans vitæ mulier.
Quid enim me oportet viuere, cui pater quidẽ erat rex
Phrygum omnium? (hoc mihi primum vitæ.)
Deinde

,, Οὐκ οὖν τόδ' αἰσχρόν, εἰ βλέποντι μὲν φίλῳ
,, Χρώμεσθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι.
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
,, Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
,, Κ' εἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι.
,, Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
,, Τὸν ἐμὸν ὁρᾶσθαι. διὰ μακροῦ γὰρ ἡ χάρις.
Εἰ δ' οἰκτρὰ πάσχειν φῄς, τάδ' ἀντάκουέ μου,
Εἰσὶ παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
Γραῖαι γυναῖκες, ἠδὲ πρεσβῦται, σέθεν,
Νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
Ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
Τόλμα τάδ'. ἡμεῖς δ' εἰ κακῶς νομίζομεν,
Τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν.
,, Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
,, Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
,, Θαυμάζεθ'. ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
,, Ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
χο. Αἰ αἶ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι,
Τολμᾷ θ' ἃ μὴ χρή, τῇ βίᾳ νικώμενον.
εκα. Ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
Φροῦδοι, μάτην ῥιφέντες ἀμφὶ σοῦ φόνου.
Σὺ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
Σπούδαζε, πάσας ὥστ' ἀηδόνος στόμα
Φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
Καὶ πεῖθ' (ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
Καὶ τῷδε) τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
πολ. Ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος.
Θάρσει. πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία.
Ὡς ἕψομαί σοι, τοῦτ' ἀναγκαίου χάριν,
Θανεῖν τε χρῄζουσ'. εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων. τοῦτό μοι πρῶτον βίου.

Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξί, παρθένοισί τ' ἀπόβλεπτος μέτα·
Ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
Θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν.
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἄν, ὅς τις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορός τε χ' ἀτέρων πολλῶν κάσιν.
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'. ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', Ἅιδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
Οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
Λέγουσα, μὴ δὲ δρῶσα. συμβούλου δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
,, Ὅς τις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
,, Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.
,, Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
,, Ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
χο. Δεινὸς χαρακτὴρ, κἀπίσημος ἐν βροτοῖς,
,, Ἐσθλῶν γενέσθαι. κἀπὶ μεῖζον ἔρχεται
,, Τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
ἑκα. Καλῶς μὲν εἶπας θύγατερ· ἀλλὰ τῷ καλῷ
Λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
Ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε·
Ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε, μὴ φείδεσθ'. ἐγὼ 'τεκον Πάριν,
Ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.
ὀδυ. Οὐ σ' ὦ γεραιά. κατθανεῖν Ἀχιλλέως
Φάντασμ' Ἀχαιοὺς, ἀλλὰ τήνδ' ᾐτήσατο.

ἑκα.

Deinde nutrita ſum ſub ſpe optima,
Regibus ſponſa, æmulationē non paruam nuptiarum
Habens, ad cuius domum focumq; aduentura eſſem:
Domina vero infelix Troianas eram
Mulieres virginesque inter conſpicua,
Similis deabus, præter mori ſolum.
Nunc vero ſum ſerua. Primum quidem hoc nomen
Mortem amare facit, non conſuetum exiſtens.
Deinde fortaſſis dominos ſæuo animo præditos
Poſſem nanciſci quicunque argento me emet
Hectoris & aliorum multorum ſororem,
Adigens me vero ad panificium in ædibus,
Verrereque domum & radiis textoriis inſiſtere,
Triſtem agentem diem, me coget.
Strata vero mea ſeruus emptitius aliquis
Contaminabit, regibus antea digna iudicata.
Non ita: relinquam ab oculis liberam
Lucem hanc, inferis offerens meum corpus.
Duc igitur me Vlyſſes, & necato me ducens.
Neque enim ſpei, neque alicuius opinionis video
Fiduciam apud nos, quod vnquam feliciter agere me
Mater, tu vero nobis nihil impedimento ſis [oporteat.
Dicendo neque faciendo: ſed aſſentiaris mihi
Mori priusquam turpia non pro dignitate conſequar.
,, Quicunque enim non conſueuit guſtare mala,
,, Fert quidem; dolet vero collum ſupponens iugo.
,, Mortuus vero eſſe poſſit felicior
,, Quam viuens. Viuere enim non honeſte, magna cala-
Cho. Mira nota & inſignis inter homines eſt [mitas
,, A bonis natum eſſe: & in maius procedit
,, Nobilitatis nomen apud eos qui digni ſunt.
Hec. Honeſte quidem dixiſti filia: ſed huic honeſto
Mœror adeſt. Si vero oportet Pelei
Rem gratam fieri filio, & probrum effugere,
Vos ô Vlyſſes, hanc quidem non interficite,
Sed nos ducentes ad buſtum Achillis
Confodite, ne parcatis: ego peperi Paridem,
Qui filium Thetidis, ſagittis feriens, interemit.
Vl. Non te ô anus, ad moriendum, Achillis
Spectrum a Græcis, ſed hanc, petiuit.

Hec. Vos vero me cum filia ſimul interficite:
Et bis tantum poculum ſanguinis fiet
Terræ, mortuoque hæc poſtulanti.
Vl. Satis puellæ tuę mori: non addenda
Alia ad aliam. vtinam nec hanc deberemus.
Hec. Ingens quidem neceſſitas eſt filiæ commori me.
Vl. Quomodo? non enim noui me dominos habere.
Hec. Vt hedera quercui, ſic huic adhærebo.
Vl. An non obtemperabis te ſapientioribus?
Hec. Hanc quidem volens filiam non dimittam.
Vl. Sed neque ego ipſam hanc abibo hic relinqnens.
Pol. Mater auſculta mihi: & tu fili Laertis
Remiſſior ſis parentibus iure commotis ad iram.
Tu vero ô miſera cum victoribus ne pugna.
An vís cadere in terram, ac ſauciare tuum
Senile corpus per vim protruſa?
Et dedecorari iuuenili brachio
Auulſa? quæ patiaris tu nequaquam. Non enim decet.
Sed ô chara mihi mater dulciſſimam manum
Porrige, & genam iunge genæ:
Quoniam nunquam iterum, ſed nunc poſtremum
Iubar orbemque ſolis aſpiciam.
Finem accipe iam mearum compellationum.
O mater, ô quæ me peperiſti, abeo ad inferos.
Hec. O filia, nos vero in luce ſeruięmus.
Pol. Exꝑs cõnubii, exꝑs nuptiarũ quib. me cõueniebat po-
Hec. Miſeranda tu filia: infelix vero ego mulier. [tiri.
Pol. Illic vero apud inferos iacebo abſque te.
Hec. Hei mihi quid faciam? vbi finiam vitam?
Pol. Serua moriar, patre quum ſim libero.
Hec. Nos vero quinquaginta orbæ ſane liberis.
Pol. Quid tibi ad Hectorem aut ſenem dicam maritum?
Hec. Nuntia omnium miſerrimam me.
Pol. O pectora & mamillę quæ me nutriuiſtis ſuauiter.
Hec. O intempeſtiuam filiæ miſeram fortunam.
Pol. Vale ô mater, vale Caſandraque mea.
Hec. Valent alii: matri vero non eſt valetudo.
Pol. Et in equeſtribus Thracibus Polydore frater, [ago.
Hec. Si viuit modo, dubito vero: adeo per omnia infeliciter
Pol. Viuit: & morientis oculum claudet tuum.

Hec.

Digitized by Google

ἑκά. Ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε,
Καὶ δὶς τόσον πῶμ' αἵματος γενήσεται
Γαίᾳ, νεκρῷ τε τῷ σ' ἐξαιτουμένῳ.
ὀδυ. Ἅλις κόρης σῆς θάνατος, οὐ προσοιστέος
Ἄλλος πρὸς ἄλλου· μηδὲ τόνδ' ὀφείλομεν.
ἑκά. Πολλή γ' ἀνάγκη, θυγατρὶ συνθανεῖν ἐμέ.
ὀδυ. Πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.
ἑκά. Ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆσδ' ἕξομαι.
ὀδυ. Οὐκ ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.
ἑκά. Ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.
ὀδυ. Ἀλλ' οὐδ' ἐγὼ μὴν τήνδ' ἄπειμ' αὐτοῦ λιπών.
πολ. Μῆτερ, πιθοῦ μοι. καὶ σὺ παῖ Λαερτίου,
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
Σὺ δ' ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
Βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
Γέροντα χρῶτα, πρὸς βίαν ὠθουμένη,
Ἀσχημονῆσαί τ' ἐκ νέου βραχίονος
Σπασθεῖσ'; ἃ πείσῃ μὴ σύγ'. οὐ γὰρ ἄξιον,
Ἀλλ' ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς, καὶ παρειὰν προσβαλεῖν παρηΐδι.
Ὡς οὔ ποτ' αὖθις, ἀλλὰ νῦν πανύστατα,
Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψομαι.
Τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων.
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
ἑκά. Ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.
πολ. Ἄνυμφος, ἀνυμέναιος, ὧν μ' ἐχρῆν τυχεῖν.
ἑκά. Οἰκτρὰ σὺ τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
πολ. Ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
ἑκά. Οἴμοι, τί δράσω; ποῖ τελευτήσω βίον;
πολ. Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ἑκά. Ἡμεῖς δὲ, πεντήκοντ' ἄμμοροι δὴ τέκνων.
πολ. Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἴπω πόσιν;
ἑκά. Ἄγγελλε, πασῶν ἀθλιωτάτην ἐμέ.
πολ. Ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
ἑκά. Ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.
πολ. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τ' ἐμή.
ἑκά. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστι χαρά.
πολ. Ὅ, τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
ἑκά. Εἰ ζῇ γ'. ἀπιστῶ δ'. ὧδε πάντα δυστυχῶ.
πολ. Ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.

ἑκά.

Digitized by Google

ἑκά. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
πολ. Κόμιζ' Ὀδυσσεῦ μ' ἀμφιθεὶς κάρᾳ πέπλοις.
Ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
Θρήνοισι μητρὸς, τήνδ' ἔτ' ἐκτήκω γόοις.
Ὦ φῶς· προσειπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι·
Μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
Βαίνω μεταξὺ, καὶ πυρᾶς Ἀχιλλέως.
ἑκά. Οἴ ἐγὼ προλείπω. λύονται δέ μου μέλη.
Ὦ θύγατερ, ἅψαι μητρὸς. ἔκτεινον χέρα.
Δὸς. μὴ λίπῃς μ' ἄπαιδ'. ἀπωλόμην φίλαι.
Ὡς τὴν Λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι. διὰ καλῶν γὰρ ὀμμάτων
Αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Αὔρα ποντιὰς αὔρα,
2 Ἅτε ποντοπόρους κομίζεις
3 Θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
4 Ποῖ με τὰν μελέαν πορεύσεις;
5 Τῷ δουλόσυνος πρὸς οἶκον
6 Κτηθεῖσ' ἀφίξομαι;
7 Ἢ Δωρίδος ὅρμον αἴας,
8 Ἢ Φθιάδος, ἔνθα τὸν καλλίστων
9 Ὑδάτων πατέρα
10 Φασὶν Ἀπιδανὸν
11 Πεδία λιπαίνειν;

Ἀντιστροφὴ α'.

1 Ἢ νάσων, ἁλιήρει
2 Κώπᾳ πεμπομέναν τάλαιναν,
3 Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
4 Ἔνθα πρωτόγονός τε φοῖνιξ,
5 Δάφνα θ' ἱεροὺς ἀνέσχε
6 Πτόρθους Λατοῖ φίλα,
7 Ὠδῖνος ἄγαλμα Δίας,
8 Σὺν Δηλιάσι τε κούραισιν,
9 Ἀρτέμιδός τε θεᾶς
10 Χρυσέαν ἄμπυκα,
11 Τόξα τ' εὐλογήσω;

Στροφὴ β'.

1 Ἢ Παλλάδος ἐν πόλει,

2 Ταῖς

Hec. Mortua ſum ego certe ante mortem præ miſeriis.

Pol. Aufer me ô Vlyſſes circumponens caput veſtibus.
Nam priusquam mater, contabefacta ſum in corde
Luctibus matris, hanc inſuper tabefacio fletibus.
O lux: alloqui enim tuum nomen licet mihi,
Sed nulla mihi copia tui eſt, niſi quantum temporis
Incedo inter, & tumulum Achillis. [gladium

Hec. Heu mihi, deficio, ſoluuntur mihi membra.
O filia prehende matrem, extende manum,
Da, ne relinquas me orbā liberis: perii ô amicæ.
Vtinam Lacædemoniam ſororem Dioſcurorum
Helenam videam. per pulchros enim oculos
Turpiſſime Troiam euertit felicem.

STROPHE I.

Chorus.

1 O aura, marina aura,
2 Quæ pontigradas portas
3 Celeres naues per fluctus paludis,
4 Quonam me miſeram vehes?
5 Cui ſerua ad domum
6 *Poſſeſſa* veniam?
7 An Doricæ in littus terræ?
8 An Phtiadis, vbi pulcherrimarum
9 Aquarum patrem
10 Dicunt Apidanum
11 Campos pinguefacere?

Antiſtrophe I.

1 An in inſulam maritimo
2 Remo transmiſſam infelicem,
3 Miſerandam vitam habentem in domo:
4 Vbi primitiua palma
5 Laurusque ſacros porrexit
6 Ramos Latonæ charæ
7 Partus decorationem diuini?
8 Cum Delienſibusque puellis,
9 Dianæque deæ
10 Auream vittam
11 Arcusque celebrabo cantu?

Strophe II.

1 Aut Pallidis in vrbe

Pulchrum

Pulchrum currum habentis Miner-
uæ, in crocea veſte,
Iungam currui equos,
In artificioſis variegans
Crocco flore decoris tapetibus?
Aut Titanum ad ſobolem,
Quam Iupiter candente abſtulit
Flamma Saturnius?

Antiſtrophe II.

Heu mihi ob liberos meos.
Heu mihi ob parentes terram-
que *patriam* quæ fumo concidit
incenſa, bello capta
A Græcis. Ego vero in
Peregrina terra iam vocabor
Serua, relinquens Aſiam
Europæ famulam,
Mutans cum inferis thalamos,

Talthybius.

Vbi reginam olim exiſtentem Ilii
Hecubam inueniam, ô Troianæ puellæ?

Cho. Illa prope te tergum habens in terra,
O Talthybie, iacet inuoluta veſtibus.

Tal. O Iupiter quid dicam? vtrum te homines reſpicere?
,, An opinionem temere hanc habere fruſtra,
,, Falſo exiſtimantes eſſe deorum genus,
,, Fortunam vero omnia mortalia gubernare?
An non hæc fuit regina abundantium auro Phrygum?
An non Priami eximie beati vxor?
Et nunc vrbs quidem vniuerſa euerſa eſt haſta:
Ipſa vero ſerua, anus, orba liberis, in terra
Iacet, puluere fœdans calamitoſum caput.
,, Ah ah. ſenex quidem ſum, attamen mihi mori
,, Contingat potius quam in turpē incidā caſum aliquē.
Surge, ô infelix, & ſublime
Latus eleua, & prorſus canum caput.

Hec. Age. Quis hic corpus meum non ſinit
Iacere? Quid moues me, quiſquis es, afflictam?

Tal. Talthybius venio Danaidarum miniſter,
Agamemnone accerſente *te* ô mulier.

Hec. O

Τὰς καλλιδίφρου Ἀθα-
ναίας, ἐν κροκέῳ πέπλῳ
Ζεύξομαι ἅρματι πώλους,
Ἐν δαιδαλέαισι ποικίλ-
λουσ' ἀνθοκρόκοισι πήναις
Ἢ Τιτάνων γενεάν,
Τὰν Ζεὺς ἀμφιπύρῳ κοιμίζει
Φλογμῷ Κρονίδας;

Ἀντιστροφὴ β'.

Ὤμοι τεκέων ἐμῶν.
Ὤμοι πατέρων, χθονός
θ', ἃ καπνῷ κατερείπεται
Τυφομένα, δορίκτητος
Ὑπ' Ἀργείων. ἐγὼ δ' ἐν
Ξείνα χθονὶ δὴ κέκλημαι
Δούλα, λιποῦσ' Ἀσίαν
Εὐρώπας θεράπναν,
Ἀλλάξασ' ἀΐδα θαλάμους.

ΙΑΜΒΟΙ.

ταλ. Ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;
χο. Αὕτη πέλας σου νῶτ' ἔχουσ' ἐπὶ χθονί,
Ταλθύβιε κεῖται, συγκεκλεισμένη πέπλοις.
ταλ. Ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾶν;
„ Ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
„ Ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
„ Τύχην δὲ πάντα τὰν βροτοῖς ἐπισκοπεῖν;
Οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
Οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκεν δορί,
Αὐτὴ δὲ δούλη γραῦς, ἄπαις, ἐπὶ χθονὶ
Κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
„ Φεῦ φεῦ. γέρων μέν εἰμ', ὅμως δέ μοι θανεῖν
„ Εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
Ἀνίστασ' ὦ δύστηνε, καὶ μετάρσιον
Πλευρὰν ἔπαιρε, καὶ τὸ πάλλευκον κάρα.
ἑκά. Ἔα. τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷ
Κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;
ταλ. Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.

ἑκά. Ὦ φίλταθ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ
Δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
Σπεύδωμεν, ἐγκονῶμεν. ἡγοῦ μοι γέρον.
Σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς γύναι,
ταλ. Ἥκω μεταστείχων σε. πέμπουσι δέ με
Δισσοί τ' Ἀτρεῖδαι, καὶ λεὼς Ἀχαϊκός.
ἑκά. Οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ὄλωλας ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο.
Ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ'. ὦ τάλαιν' ἐγώ.
Πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
Ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθρὰν, γέρον,
Κτείνοντες; εἰπὲ, καίπερ οὐ λέξων φίλα.
ταλ. Διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
Σῆς παιδὸς οἴκτῳ. νῦν τε γὰρ λέγων κακὰ,
Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
Πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς.
Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς,
Ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
Ἕσποντο. πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, ἔρρει χειρὶ παῖς Ἀχιλλέως.
Χοὰς θανόντι πατρί. σημαίνει δέ μοι
Σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ.
Κἀγὼ παραστὰς, εἶπον ἐν μέσοις τάδε·
Σιγᾶτ' Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς.
Σίγα, σιώπα. νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
Δέξαι χοάς μου τάσδε κηλητηρίους,
Νεκρῶν ἀγωγούς. ἐλθὲ δ' ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
Στρατός τε, κἀγώ. πρευμενὴς δ' ἡμῖν γενοῦ.
Λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
Νεῶν δὸς ἡμῖν, πρευμένους τ' ἀπ' Ἰλίου
Νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε. πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ. λογάσι δ' Ἀργείων στρατοῦ

Νεανίαις

Digitized by Google

Hec. O chariſſime, numnā & me inſup mactare ad tumulū
Iuxta decretū Græcorum veniſti? quam chara diceres.
Properemus,laboremus. duc me ô ſenex.
Tal. Tuam filiam mortuam vt ſepelias,ô mulier,
Venio vocans te. mittunt vero me
Gemini Atridæ,& populus Achaicus.
Hec. Heu mihi: quid dicis?non ergo quaſi morituros
Veniſti ad nos,ſed ſignificaturus mala?
Periiſti ô filia a matre abrepta:
Nos vero orbæ liberis in poſterum. ô miſera ego.
Quomodo vero ipſam cōfeciſtis?numnā reuerētes?
An ad ſæuitiam proceſſiſtis,vt hoſtem,ô ſenex,
Interficientes? dic, quamuis non dicturus iucunda.
Tal. Duplices me poſtulas lacrymas conſequi, ô mulier,
Filiæ tuæ miſeratione: nunc quidem nuntians mala
Rigabo hunc oculum,& ad ſepulcrum quū periit.
Aderat quidem tota turba Achaici exercitus
Frequens ante tumulum,tuæ filiæ ad mactationem.
Prehendens vero Achillis filius Polyxenam manu,
Statuit in ſummo tumulo: prope vero ego,
Lectique Achæorum præcipui iuuenes
Saltum vitulæ tuę cohibituri manibus
Sequebantur. plenū vero in manibus accipiēs poculū
Totum aureum, fundebat manu filius Achillis
Libationes mortuo patri. Significat vero mihi
Silentiū Gręcorū vniuerſo vt denuntiarē exercitui.
Et ego aſtans dixi in medio hæc:
Tacete vos Græci:tacitus vniuerſus ſit populus:
Sile, tace. tranquillam autem conſtitui turbam.
Ipſe vero dixit: O fili Pelei,pater vero meus,
Accipe libationes haſce propitiabiles,
Mortuos elicientes:veni vero vt bibas nigrum
Puellæ illibatum ſanguinem,quem tibi damus
Exercitusque & ego:propitius vero nobis ſis,
Solueque puppes, & retinacula
Nauium:da nobis feliceṁque ab Ilio
Reditum nactis omnes in patriam venire.
Tātum dixit. Omnis autem adprecatus eſt exercitus.
Mox auratum enſem capulo accipiens
Extraxit vagina: lectis autem Græcorum exercitus

C Adole-

Adoleſcentibus innuit virginem apprehendere.
Ipſa vero vt ſenſit, hunc ſignificauit ſermonem:
O meam qui excidiſtis Argiui vrbem,
Volens morior: ne quis attingat corpus
Meum: præbebo enim ceruicem forti pectore.
Liberam vero me, vt libera moriar,
,, Per Deum, mittentes, interficite. Apud manes enim
,, Seruam vocari, regina quum ſim, pudet me.
Turba vero admurmurabant. & Agamemnon rex
Dicebat vt dimitterent virginem adoleſcentibus.
Illi vero vt celerrime audiuerũt ſummam vocem,
Dimiſerunt; cuius & ſummum erat imperium.
Et poſtquam audiuit dominorum dicta,
Apprehendens peplos ex ſummo humero,
Rupit ile circa medium iuxta vmbilicum,
Mamillasque oſtendit, pectoraque quaſi ſtatuæ
Pulcherrima: & flectens ad terram genu,
Dixit omnium miſerabiliſſimum ſermonem:
Ecce, hoc ſi quidem pectus ô iuuenis,
Ferire cupis, ferito: ſi vero ſub ceruice
Volueris, adeſt iugulus paratus hic.
Ille vero & nolens & volens præ cõmiſeratione puellę,
Secat ferro ſpiritus meatus.
Fõtes vero fluebãt. Hæc vero etiã moriẽs, tamẽ
Magnam ſolicitudinem habuit decenter vt caderet,
Et occultaret q̃ occultare oculos virorũ conuenit.
Poſtquam vero emiſit ſpiritum lethali ex mactatione,
Nemo eundem habebat Græcorum laborem:
Sed alii eorum mortuam ex manibus
Frondibus petebant: alii vero implent pyram
Stipites adferẽtes pineos. qui vero nihil adſerebat
Ab adferente talia audiebat conuitia:
Stas ô ignauiſſime, ad honorem huius puellæ
Neque peplum neque ornatum in manibus habens?
Non vadis aliquid daturus valde animoſæ
Generoſiſſimæque? Talia vero de tua dicebant
Filia mortua. feliciſſimam vero prole te
Omnium mulierum, infeliciſſimam video.

Cho. Sæua quædam clades Priamidis accenſa eſt,
Vrbique meæ. deorum neceſſitas eſt hæc.

Hec.

Νεανίαις ἔνευσε, παρθένον λαβεῖν.
Ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
Τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
„ Πρὸς θεῶν μεθέντες, κτείνατ'. Ἐν νεκροῖσι γὰρ
„ Δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.
Λαοὶ δ' ἐπερρόθησαν· Ἀγαμέμνων τ' ἄναξ
Εἶπε μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
Ἔρρηξε λαγόνος εἰς μέσον παρ' ὀμφαλόν,
Μαστούς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματος
Κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδού, τόδ' εἰ μὲν στέρνον ὦ νεανία
Παίειν προθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα
Χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
Τέμνει σιδήρῳ πνεύματος διαρροάς,
Κρουνοὶ δ' ἐχώρουν· ἡ δὲ καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτειν θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
Ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον· οἱ δὲ πληροῦσι πυρὰν
Κορμοὺς φέροντες πευκίνους. ὁ δ' οὐ φέρων,
Πρὸς τοῦ φέροντος τοιάδ' ἤκουε κακά·
Ἕστηκας ὦ κάκιστε, τῇ νεάνιδι
Οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ,
Ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγων
Παιδὸς θανούσης. εὐτεκνωτάτην δέ σε
Πασῶν γυναικῶν, δυστυχεστάτην ὁρῶ·
Χο. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,
Πόλει τε τῇ 'μῇ. θεῶν ἀναγκαῖον τόδε.

Ἑκ. Ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ,τι βλέψω κακῶν
Πολλῶν παρόντων. ἢν γὰρ ἅψωμαί τινος,
Τόδ' οὐκ ἐᾷ με. παρακαλεῖ δ' ἐκεῖθεν αὖ
Λύπη τις ἄλλη, διάδοχος κακῶν κακοῖς.
Καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος,
Οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός.
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
„ Γενναῖος. Οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ,
„ Τυχοῦσα καιροῦ θεόθεν, εὔσταχυν φέρει,
„ Χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν,
„ Κακὸν δίδωσι καρπόν. ἀνθρώποις δ' ἀεὶ
„ Ὁ μὲν πονηρὸς, οὐδὲν ἄλλο πλὴν κακός·
„ Ὁ δ' ἐσθλὸς, ἐσθλός· οὐδὲ συμφορᾶς ὕπο
„ Φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί·
„ Ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
„ Ἔχει γέ μέν τοι καὶ τὸ θρεφθῆναι καλῶς,
„ Δίδαξιν ἐσθλοῦ. τοῦτο δ' ἤν τις εὖ μάθοι,
„ Οἶδε τό γ' αἰσχρὸν, κανόνι τοῦ καλοῦ μαθών.
Καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην.
Σὺ δ' ἐλθὲ, καὶ σήμηνον Ἀργείοις τάδε,
Μὴ θιγγάνειν μου μηδέν', ἀλλ' εἴργειν ὄχλον
„ Τῆς παιδός. Ἐν γὰρ μυρίῳ στρατεύματι
„ Ἀκόλαστος ὄχλος, ναυτική τ' ἀναρχία,
„ Κρείσσων πυρός· κακὸς δ' ὁ μή τι δρῶν κακόν.
Σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
Βάψασ', ἔνεγκε δεῦρο, ποντίας ἁλὸς
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν,
Νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον,
Λούσω, προθῶμαί θ' ὡς μὲν ἀξία, πόθεν;
Οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω. τί γὰρ πάθω;
Κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
Αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
Ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
Λαθοῦσ' ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
Ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
Ὦ πλεῖστ' ἔχων, κάλλιστά τ' εὐτεκνώτατε
Πρίαμε, γεραιά τ' ἥδ' ἐγὼ μήτηρ τέκνων.
Ὡς εἰς τὸ μηδὲν ἥκομεν, φρονήματος
Τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα,
Ὁ μέν τις ἡμῶν, πλουσίοις ἐν δώμασιν,

Hec. O filia: non ſcio ad quod reſpiciam malorum
Multis præſentibus. quum enim attingo aliquod,
Aliud non ſinit me. auocat vero inde rurſus
Mœror quis alius ſucceſſor malorum in malis.
Et nunc tuam quidem ne gemam cladem,
Haud queam delere ex mente.
Hoc vero rurſus valde mitigaſti nuntiata mihi
» Generoſa. Non igitur mirum, ſi terra quidem mala
» Nacta bonum cælum diuinitus bonam ſegetem fert:
» Bona vero, fruſtrata iis quæ conueniebat conſequi,
» Malum profert fructũ. Inter homines vero ſemper
» Malus nihil aliud quam malus,
» Bonus autem bonus: neque præ calamitate
» Ingenium perdit, ſed bonus eſt ſemper.
» Numnam parentes præſtant, an educationes?
» Habet equidẽ quodammodo & educatio honeſta
» Doctrinam honeſtatis. Illud vero ſiquis bene didicerit,
» Nouit quoque turpe, ex regula honeſti cognoſcens.
Et hæc quidem mens eiaculata eſt fruſtra.
Tu vero vade, & indica Argiuis hæc:
Ne attingat meã quisquã, ſed arceãt multitudinẽ
» A filia. In infinito enim exercitu
» Indomita turba, nauticaq; licentia [facit mali.
» Violentior igne. malus vero *habetur* qui non aliquid
Tu autem accipiens vrnam antiqua miniſtra,
Intingens, adfer huc, marino ſalo
Vt filiam lauacris poſtremis meam,
Sponſam ſine ſponſo, virginemque non virginem
Lauem: proponamque vt quidem digna eſt vnde?
Non poſſum: *faciam* vt poſſum. quid enim agam?
Ornatum colligens a captiuis mulieribus
Quæ mihi aſſiſtentes hæc intro tentoria
Habitant: ſi quæpiam nouos dominos
Latens, habet quoddam furtum ex ſua domo.
O ſpecies ædium, ô olim felix domus,
O plurima tenens pulcherrimaque, feliciſſime liberis
Priame, anusque ego mater liberorum,
Quam ad nihil deuenimus, ſuperbia
Priori ſpoliati? Deinde tamen tumeſcimus:
Aliquis quidem noſtrum diuitibus in domibus,

Alius vero inter ciues pretioſus vocatus.
,, Hæc nihil *ſunt* quam *inania* curarum conſilia
,, Linguæque iactantiæ. Ille vero feliciſſimus
,, Cui de die in diem nihil accidit mali.

EPODICA.

Strophe.

Ch. Mihi oportebat infelicitatem,
Mihi oportebat cladem accidere,
Idæam quando primum ſyluam
Alexander abietinam
Secabat, ſalum per
Tumidum nauigaturus
Helenæ ad thalamos, quam pul-
cherrimam auricomus
Sol radiis ſuis aſpicit.

Antiſtrophe.

Labores enim & laboribus
Neceſſitates validiores vndique circumdant.
Publicum ex priuata amentia
Malum Simoenticæ terræ
Exitiale venit,
Calamitasque ab aliis.
Iudicata eſt vero lis, quam Ida
Iudicauit inter tres beatorum
Filias vir paſtor:

Epodus.

Ad bellum, ad necem, & mearum
Ædium exitium.
Gemit vero & aliqua circa
Pulchre fluentem Eurotam
Lacæna lacrymis confecta
Domi puella:
Canumque in caput mater,
Liberis mortuis, ponit
Manum laniatque genam,
Cruentum vnguem
Reddens lacerationibus.

Ancilla.

Anc. O mulieres, Hecuba vbinam *eſt* infeliciſſima,
Quæ omnes vincit viros & muliebrem progeniem

Cala-

Digitized by Google

Ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
Τὰ δ' οὐδέν. Ἄλλως φροντίδων βουλεύματα,
Γλώσσης τε κόμποι. Κεῖνος ὀλβιώτατος,
Ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Ἐμοὶ χρῆν συμφορὰν,
2 Ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
3 Ἰδαίαν ὅτε πρῶτον ὕλαν
4 Ἀλέξανδρος εἰλατίναν
5 Ἐτάμεθ', ἅλιον ἐπ'
6 Οἶδμα ναυστολήσων
7 Ἑλένας ἐπὶ λέκτρα, τὰν καλ-
8 λίσταν ὁ χρυσοφαὴς
9 Ἅλιος αὐγάζει.

Ἀντιστροφή.

1 Πόνοι γὰρ, καὶ πόνων
2 Ἀνάγκαι κρείσσονες κυκλοῦνται.
3 Κοινὸν δ' ἐξ ἰδίας ἀνοίας
4 Κακὸν τᾷ Σιμουντίδι γᾷ
5 Ὀλέθριον ἔμολε,
6 Συμφορά τ' ἀπ' ἄλλων.
7 Ἐκρίθη δ' ἔρις, ἃν ἐν Ἴδᾳ
8 Κρίνει τρισσὰς μακάρων
9 Παῖδας ἀνὴρ βούτας.

Ἐπῳδός.

1 Ἐπὶ δορὶ, καὶ φόνῳ, καὶ ἐμῶν
2 Μελάθρων λώβᾳ.
3 Στένει δὲ καί τις ἀμφὶ τὸν
4 Εὔρροον Εὐρώταν
5 Λάκαινα πολυδάκρυτος
6 Ἐν δόμοις κόρα·
7 Πολιόν τ' ἐπὶ κρᾶτα μήτηρ,
8 Τέκνων θανόντων, τίθεται
9 Χέρα. δρύπτεταί τε παρειὰν,
10 Δίαιμον ὄνυχα
11 Τιθεμένα σπαραγμοῖς.

Ἴαμβοι.

Θερά. Γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
Ἡ πάντα νικῶσ' ἄνδρα, καὶ θῆλυν σπορὰν.

Κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.
χο. Τί δ᾽ ὦ τάλαινα, σῆς κακογλώσσου βοῆς,
„ Ὡς οὔποτ᾽ εὕδει λυπρά σου κηρύγματα;
θερ. Ἑκάβῃ φέρω τόδ᾽ ἄλγος. ἐν κακοῖσι δὲ
Οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.
Καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
Ἥδ᾽· εἰς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.
θερ. Ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
Δέσποιν᾽, ὄλωλας. κοὐκέτ᾽ εἶ βλέπουσα φῶς,
Ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.
ἑκά. Οὐ καινὸν εἶπας, εἰδόσι δ᾽ ὠνείδισας.
Ἀτὰρ τί; νεκρὸν τόνδε μοι Πολυξένης
Ἥκεις κομίζουσ᾽, ἧς ἀπηγγέλθη τάφος
Πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
θερ. Ἥδ᾽ οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
Θρηνεῖ· νέων δὲ πημάτων οὐχ ἅπτεται.
ἑκά. Οἲ ἐγὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
Τῆς θεσπιῳδοῦ δεῦρο Κασσάνδρας φέρεις;
θερ. Ζῶσαν λέλακας, τὸν θανόντα δ᾽ οὐ στένεις
Τόνδ᾽. ἀλλ᾽ ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
Εἴ σοι φανεῖται θαῦμα, καὶ παρ᾽ ἐλπίδας.
ἑκά. Οἴμοι. βλέπω δὴ παῖδ᾽ ἐμὸν τεθνηκότα,
Πολύδωρον, ὅν μοι Θρῇξ ἔσωσ᾽ οἴκοις ἀνήρ.
Ἀπωλόμην δύστηνος, οὐκέτ᾽ εἰμὶ δή.
Ὦ τέκνον, τέκνον, αἲ, αἲ, κατάρχομαι νόμων
Βακχείων, ἐξ ἀλάστορος ἀρτιμαθὴς κακῶν.
θερ. Ἔγνως γὰρ ἄτην παιδὸς, ὦ δύστηνε, σύ;

ΑΝΟΜΟΙΟΣΡΟΦΑ.

Στροφὴ α΄.

ἑκά. Ἄπιστ᾽ ἄπιστα, καινὰ καινὰ δέρκομαι.
Ἕτερα δ᾽ ἀφ᾽ ἑτέρων
Κακὰ, κακῶν κυρεῖ.
Οὐδέποτ᾽ ἀδάκρυτος,
Ἀστένακτος
Ἁμέρα μ᾽ ἐπισχήσει.
χο. Δειν᾽ ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

Στροφὴ β΄.

ἑκά. Ὦ τέκνον τέκνον ταλαίνας
Ματρὸς, τίνι μόρῳ θνήσκεις;
Τίνι πότμῳ κεῖσαι;

Πρὸς

Digitized by Google

Calamitatibus? nemo coronam *ei* præripiet.
Cho. Quid vero, ô miſera tuo linguæ ominoſæ clamore?
Vt nunquam dormiunt triſtia tua præconia?
Anc. Hecubæ affero hunc dolorem. In malis vero
,, Non facile hominibus læta dicere ore.
Cho. Atqui prodit ex ædibus
Hæc: opportune tuis apparet verbis.
Anc. O prorſus infelix, & adhuc magis quam dicam,
Domina periſti, & non amplius aſpicis lucem,
Sine liberis, ſine marito, eiecta vrbe, prorſus perdita.
Hec. Non nouum dixiſti, ſcientibus vero probrũ dicis.
Sed quid? cadauer hoc mihi Polyxenæ
Venis adferens, cuius nuntiata eſt ſepultura
Omnium Achæorum manu ſtudioſe fieri?
Anc. Illa nihil nouit, ſed mihi Polyxenam
Deplorat: noua vero mala non attingit.
Hec. Heu mihi miſeræ, vtrum Bacchicum caput
Vatidicæ huc Caſandræ fers?
Anc. Viuentem dixiſti: mortuum vero non gemis
Hunc. Sed aſpice corpus nudatum mortui,
Si tibi apparebit miraculum & præter ſpem.
Hec. Heu mihi, video quidem filium meum mortuum
Polydorum, quem mihi Thrax ſeruabat in domo vir.
Perii infelix, non amplius ſum ſane.
O fili fili, hem, hem, incipio numeros
Bacchicos ex dęmone affligẽte, q̃ recẽs cognoui mala.
Anc. Cognouiſti enim cladem filii ô miſera tu?

Hecuba.

Strophe I.

Hec. Incredibilia, incredibilia, noua, noua aſpicio:
Alia ab aliis
Mala malis incidunt,
Neque vnquam abſque luctu,
Abſque gemitu
Dies me tenebit.
Cho. Horrenda ô miſera, horrenda patimur mala.

Strophe II.

Hec. O fili fili miſeræ
Matris, quo fato moreris?
Quo infortunio iaces?

A quo

A quo hominum interfectus?
Ane. Non ſcio: in littore eum inueni marino.
Hec. Abiectum, an interfectum cruenta haſta?
Ane. In arena plana
Maris ipſum eiecit marina procella.

Strophe III.

Hec. Heu mihi, ah ah.
Intelligo ſomnium oculorumque meorum
Viſionem (non me præteriit ſpectrum
Atris alis præditum) quam aſpexi
De te ô fili non ampli-
us exiſtente Iouis in luce.
Cho. Quisnam ipſum interfecit, poteſne tu intelligens ſomnia, dicere?

Strophe IIII.

Hec. Meus hoſpes
Threicius eques,
Vbi ſenex pater
Depoſuit illum occultans.
Cho. Heu mihi, quid narras? aurũ vt haberet poſtquam interfeciſſet?
Hec. Infanda, deteſtanda: vltra omnem admirationem,
Non pia neque toleranda. vbi ius hoſpitum?

Strophe V.

Ah ſcelerate vir,
Quam laniaſti
Corpus, ferreo
Secans enſe
Membra huius pu-
eri, neque miſertus es.
Cho. O infelix quam te laborioſiſſimam mortalium
Dæmon reddidit, quicunque eſt tibi infenſus.
Sed enim video huius domini corpus
Agamemnonis: exinde taceamus, ô amicæ.

Agamemnon.

Hecuba quid cũctaris filiam tuam occultare ſepulcro,
Veniens, ſicut Talthybius nuntiauit mihi,
Ne attingeret tuam quisquam Argiuorum puellam?
Nos vtique ſinimus, neque attingimus:
Tu vero otioſa es, vt mirer ego.
Venio vero acceſſiturus te. quæ illic enim, bene
Acta ſunt, ſiquid tamen horum eſt bene.

Heu

Πρὸς τίνος ἀνθρώπων;
θερ. Οὐκ οἶδ'. ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίαις.
ἑκά. Ἔκβλητον, ἢ πέσημα φοινίου δορός;
θερ. Ἐν ψαμάθῳ λευρᾷ
Πόντου νιν ἐξήνεγκε πελάγιος κλύδων.

Στροφὴ γ'.

ἑκά. Ὤ μοι, αἲ, αἲ,
Ἔμαθον ἐνύπνιον, ὀμμάτων τ' ἐμῶν
Ὄψιν. (οὔ με παρέβα φάσμα
Μελανόπτερον) ἂν ἐσεῖδον
Ἀμφὶ σ' ὦ τέκνον, οὐκέ-
τ' ὄντα Διὸς ἐν φάει.
χο. Τίς γάρ νιν ἔκταν', οἶσθ' ὀνειρόφρων, φράσαι;

Στροφὴ δ'.

ἑκά. Ἐμὸς ξένος
Θρηΐκιος ἱππότας,
Ἵν' ὁ γέρων πατὴρ
Ἔθετό νιν κρύψας.
χο. Ὤ μοι. τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
ἑκά. Ἄρρητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
Οὐχ ὅσιά τ', οὐδ' ἀνεκτά. ποῦ δίκα ξένων;

Στροφὴ ε'.

Ἰὼ κατάρατ' ἀνδρῶν,
Ὡς διεμοιράσω
Χρόα, σιδαρέῳ
Τεμὼν φασγάνῳ
Μέλεα τοῦδε παι-
δὸς, οὐδ' ᾤκτισω.
χο. Ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
Δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
Ἀλλ', εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν φίλαι.

ΙΑΜΒΟΙ.

ἀγα. Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
Ἐλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι
Μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
Ἡμεῖς μὲν οὖν εἴωμεν, οὐδὲ ψαύομεν.
Σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
Ἥκω δ' ἀποστελῶν σε. τἀκεῖθεν γὰρ εὖ
Πεπραγμέν' ἐστὶν, εἴ τι τῶνδ' ἐστὶ καλῶς.

Ἔα.

Digitized by Google

Ἔα, τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
Θανόντα Τρώων; οὐ γὰρ Ἀργείων, πέπλοι
Δέμας περιπτύσσοντες, ἀγγέλλουσί μοι.
ἑκά. Δύστην', ἐμαυτὴν γὰρ λέγω, λέγουσά σε
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
ἀγα. Τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν,
Ὀδύρῃ, τὸ πραχθὲν δ' οὐ λέγεις; τίς ἔσθ' ὅδε;
ἑκά. Ἀλλ' εἴ με δούλην, πολεμίαν θ' ἡγούμενος,
Γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθα.
ἀγα. Οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων,
Ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
ἑκά. Ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
Μᾶλλον φρένας, τοῦδ' ὄντος οὐχὶ δυσμενοῦς;
ἀγα. Εἴ τοί με βούλει τῶνδε μηδὲν εἰδέναι,
Εἰς ταὐτὸν ἥκεις. καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
ἑκά. Οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
Τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
„ Τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων,
Καὶ σοῦ γενείου, δεξιᾶς τ' εὐδαίμονος.
ἀγα. Τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
Αἰῶνα θέσθαι; ῥᾴδιον γάρ ἐστί σοι.
ἑκά. Οὐ δῆτα. τοὺς κακοὺς δὲ τιμωρουμένη,
Αἰῶνα τὸν σύμπαντα δουλεύσαι θέλω.
ἀγα. Καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
ἑκά. Οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις ἄναξ.
Ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
ἀγα. Ὁρῶ. τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
ἑκά. Τοῦτόν ποτ' ἔτικτον, κἄφερον ζώνης ὕπο.
ἀγα. Ἔστι δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;
ἑκά. Οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
ἀγα. Ἦ γάρ τιν' ἄλλον ἔτεκες, ἢ κείνους, γύναι;
ἑκά. Ἀνόνητά γ' ὡς ἔοικε τόνδ', ὃν εἰσορᾷς.
ἀγα. Ποῦ δ' ὢν ἐτύγχαν' ἡνίκ' ὤλλυτο πόλις.
ἑκά. Πατήρ νιν ἐξέπεμψεν, ὀρρωδῶν θανεῖν.
ἀγα. Ποῖ, τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
ἑκά. Εἰς τήνδε χώραν, οὗπερ ηὑρέθη θανών.
ἀγα. Πρὸς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
ἑκά. Ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.

ἀγα.

Hem,quem virum hunc in tentoriis video
Mortuum ex Troianis?non enim Græcorum,veſtes
Corpus inuoluentes,nuntiant mihi.
Hec. Infelix,meipſam enim dico dicens te
Hecuba.Quid faciam?vtrum procidam ad genua
Agamemnonis,aut feram tacite mala?
Aga. Quid mihi in faciem tergum obuertens tuum
Ploras,quod actum eſt vero,nõ dicis?quis eſt hic?
Hec. Sed ſi me ſeruam hoſtemque ducens
A genibus repelleret,dolorem poſſemus addere.
Aga. Non ſum vates,vt non audiens
Poſſim inueſtigare tuorum viam conſiliorum.
Hec. An interpretor quidem ad id quod inimicum eſt
Magis mentem, ipſo exiſtente neutiquam inimico?
Aga. Si quidem me vis harum nihil ſcire rerum,
Ad idem venis. etenim nec ego audire *volo.*
Hec. Haud poſſum absque hoc me vlciſci
De liberis meis. quid voluo hæc?
» Audere neceſſe eſt,ſiue conſequar,ſiue non conſequar.
Agamemnon ſupplico tibi per hæc genua
Et tuam b[illegible]m dextramque felicem.
Aga. Quam re[illegible]trum liberam
Vitam conſequi? facile enim eſt tibi.
Hec. Non ſane. malos vlciſcens
Vitam vniuerſam ſeruire volo.
Aga. Et ſane quid nos in auxilium vocas?
Hec. Nihil horum quæ tu putas ô rex.
Vides cadauer hoc propter ꝙ effundo lacrymas?
Aga. Video:ſed futurum non poſſum ſcire.
Hec. Hunc olim peperi,& portaui ſub cingulo.
Aga. Eſt vero quiſpiam tuorum hic ô miſera liberorum?
Hec. Non ex illis qui mortui ſunt ex filiis Priami ſub Ilio.
Aga. Anne aliquē alium peperiſti quam illos,ô mulier?
Hec. Inutiliter quidem, vt apparet, hunc quem aſpicis.
Aga. Vbi vero erat quando peribat vrbs?
Hec. Pater ipſum ablegauit metuens ne moreretur.
Aga. Quonam ab exiſtentibus tunc ſeparans liberis ſolum?
Hec. In hanc regionem,vbi inuentus eſt mortuus.
Aga. Ad virum qui rex eſt huius Polymeſtorem terræ?
Hec. Huc miſſus eſt acerbiſſimi auri cuſtos.

Aga.

Aga. Moritur vero a quo?& quod fatum conſequutus?
Hec. Quonam ab alio? Thracius ipſum perdidit hoſpes.
Aga. O infelix, numnam argentum amauit accipere?
Hec. Talia *ſunt*, poſtquam calamitatē cognouit Troianorū
Aga. Vbi nam illum reperiſti?aut quis attulit cadauer?
Hec. Hæc incidens in eum marino in littore.
Aga. Hunc quærens, an laborans alium laborem?
Hec. Aquam abierat allatura ex mari Polyxenæ.
Aga. Quum interfeciſſet, vt apparet, abiecit hoſpes.
Hec. Fluctuaturum in mari vtique ſic diſſecans corpus.
Aga. O miſera tu propter immenſas calamitates!
Hec. Perii:& nihil reliquum eſt Agamemnon malorum.
Aga. Ah ah. quæ ita infelix nata eſt mulier?
Hec. Non eſt, niſi infelicitatem ipſam diceres.
Sed propter quas cauſas circa tuum cado genu,
Audi. ſi quidem iuſta tibi pati videar,
Boni conſulam: ſi vero contrarium, tu mihi ſis
Vltor viri impientiſſimi hoſpitis:
Qui neq; eos qui ſub terra ſunt, neque eos qui ſupra
Veritus, perpetrauit facinus impientiſſimum:
Communi menſa ſæpe potitus mecum,
Hoſpitalitatiſq; numero [illegible] r meos amicos
Conſecutus vero q̄ cōuen[illegible]bat, [illegible] accipiēs cōſiliū
Interfecit: ac ſepultura (quum occidere voluit)
Non dignatus eſt, ſed abiecit in mare.
Nos quidem igitur ſeruæ & imbecilles forſan,
Sed dii validi ſunt, & illis dominans
,, Lex: Lege enim deos cenſemus,
,, Et viuimus iniuſta & iuſta definientes.
,, Quæ *lex* ad te progreſſa ſi corrumpetur,
,, Et non pœnam dabunt qui hoſpites
,, Interficiunt, aut deorum ſacra audent capere,
,, Non eſt quicquam inter homines æquabile.
,, Hæc igitur inter turpia numerans, reuereare me,
Miſerere noſtri, ac quaſi pictor ſeorſim ſtans
Vide me, & aſpice qualia habeo mala.
Regina eram olim, ſed nunc ſerua tua:
Felix multa ſobole olim, nunc vero anus orbaque li-
Exul, deſerta, afflictiſſima hominum. [beris ſimul,
Heu mihi miſeræ: quo a me ſubducis pedem?

Videor

ἀγα. Θνήσκει δὲ πρὸς τοῦ, καὶ τίνος πότμου τυχών;
ἑκά. Τίνος γ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
ἀγα. Ὦ τλῆμον· ἦ που χρυσὸν ἠράσθη λαβεῖν;
ἑκά. Τοιαῦτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.
ἀγα. Εὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκε νεκρόν;
ἑκά. Ἥδ', ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
ἀγα. Τοῦτον ματεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
ἑκά. Λουτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
ἀγα. Κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.
ἑκά. Θαλασσόπλαγκτόν γ', ὧδε διατεμὼν χρόα.
ἀγα. Ὦ σχετλία σὺ, τῶν ἀμετρήτων πόνων.
ἑκά. Ὄλωλα, κοὐδὲν λοιπὸν Ἀγάμεμνον κακῶν.
ἀγα. Φεῦ, φεῦ. τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ἑκά. Οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὧν περ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
Ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
Στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
Τιμωρὸς ἀνδρὸς, ἀνοσιωτάτου ξένου·
Ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
Δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον,
Κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
Ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων.
Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν,
Ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
Οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
Ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως,
„ Ἀλλ' οἱ θεοὶ σθένουσι, χ' ὠ κείνων κρατῶν
„ Νόμος. Νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
„ Καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι.
„ Ὃς εἰς σ' ἀνελθὼν, εἰ διαφθαρήσεται,
„ Καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
„ Κτείνουσιν, ἢ θεῶν ἱερὰ τολμῶσι φέρειν,
„ Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
„ Ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με.
Οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς,
Ἰδοῦ με, κἀνάθρησον οἷ' ἔχω κακά.
Τύραννος ἦν ποτ', ἀλλὰ νῦν δούλη σέθεν·
Εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς, ἄπαις θ' ἅμα,
Ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν,
Οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;

Ἔοικα

Digitized by Google

Ἔοικα πράξειν οὐδέν. ὦ τάλαιν᾽ ἐγώ.
» Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
» Μοχθοῦμεν ὡς χρὴ πάντα, καὶ μαστεύομεν,
» Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
» Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
» Μισθοὺς διδόντες μανθάνειν, ἵν᾽ ἦ ποτε
» Πείθειν ἅ τις βούλοιτο τυγχάνειν θ᾽ ἅμα;
Πῶς οὖν ἔτ᾽ ἄν τις ἐλπίσαι πράξειν καλῶς;
Οἱ μὲν τοσοῦτοι παῖδες, οὐκέτ᾽ εἰσί μοι.
Αὐτὴ δ᾽ ἐπ᾽ αἰσχροῖς αἰχμάλωτος οἴχομαι.
Καπνὸν δὲ πόλεως τόνδ᾽ ὑπερθρώσκονθ᾽ ὁρῶ.
Καὶ μὴν ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν. ἀλλ᾽ ὅμως εἰρήσεται.
Πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται,
Ἡ φοιβὰς, ἣν καλοῦσι Κασσάνδραν Φρύγες.
Ποῦ τὰς φίλας δῆτ᾽ εὐφρόνας δείξεις, ἄναξ,
Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
Χάριν τίν᾽ ἕξει παῖς ἐμή; κείνης δ᾽ ἐγώ.
» Ἐκ τοῦ σκότους γὰρ, νυκτέρων τ᾽ ἀσπασμάτων,
» Φίλτρων ὁμοῦ τε, τοῖς βροτοῖς πολλὴ χάρις.
Ἄκουε δὴ νῦν. τὸν θανόντα τόνδ᾽ ὁρᾷς;
Τοῦτον καλῶς δρῶν, ὄντα κηδεστὴν σέθεν,
Δράσεις. ἑνός μοι μῦθος ἐνδεής ἔτι.
Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι,
Καὶ χερσὶ, καὶ κόμαισι, καὶ ποδῶν βάσει,
Ἢ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινος,
Ὡς πάνθ᾽ ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων,
Κλαίοντ᾽, ἐπισκήπτοντα παντοίους λόγους.
Ὦ δέσποτ᾽, ὦ μέγιστον Ἕλλησι φάος,
Πιθοῦ, παράσχες χεῖρα τῇ πρεσβύτιδι
Τιμωρὸν, εἰ καὶ μηδέν ἐστιν. ἀλλ᾽ ὅμως.
» Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ᾽ ὑπηρετεῖν,
» Καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
Χο. Δεινόν γε θνητοῖς, ὡς ἅπαντα συμπίτνει.
» Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
» Φίλους τιθέντες τούς γε πολεμιωτάτους,
» Ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.
Ἀγα. Ἐγώ σε, καὶ σὸν παῖδα, καὶ τύχας σέθεν
Ἑκάβη δι᾽ οἴκτου, χεῖρά θ᾽ ἱκεσίαν ἔχω,
Καὶ βούλομαι θεῶν θ᾽ οὕνεκ᾽ ἀνόσιον ξένον,

Digitized by Google

Videor effectura eſſe nihil. ô miſera ego.
,, Quid tandem mortales alias quidem artes
,, Elaboramus vt oportet omnes & inquirimus:
,, Suadelam vero reginam ſolum inter homines
,, Non quidem præter cæteras ad finem ſtudemus
,, Mercedes dantes diſcere, vt liceat olim
,, Perſuadere quæ quis vellet conſequi ſimul?
Qui igitur poſthac quis ſperare poſſit acturum ſe bene?
Illi quidem tot liberi non amplius ſunt mihi:
Ipſa vero ad turpitudinem captiua proficiſcor:
Fumum vero vrbis hunc eglomerantē in altū video.
Atqui fortaſſe quidem ſermo inanis hic ſit
Venerem prætendere: attamen dicetur.
Ad tuum latus filia mea cubat
Vates, quam vocant Caſandram Phryges.
Vbi iucundas iam noctes oſtendes, ô rex?
Aut in lecto charorum amplexuum
Gratiam quam habebit filia? pro illa vero ego?
,, Ex *tenebris* enim nocturniſque amplexibus
,, Illecebriſque ſimul, hominibus multa gratia.
Audi ſane nunc: mortuum hunc vides?
Huic bene faciens, affini tuo
Feceris. vnius me ſermo deficit adhuc.
Vtinam mihi fieret vox in brachiis
Et manibus & coma & pedum ingreſſu,
Aut Dædali artibus, aut dei alicuius,
Vt omnia ſimul tuis adhæreſcerent genibus
Plorantia, exprimentia omnis generis ſermones.
O Domine, ô maximum Græcis lumen,
Obtempera: porrige manum huic anui
Vltricem, etſi nihil *ea* eſt: ſed tamen.
,, Boni enim viri eſt iuſtitiæ inſeruire,
,, Et malos punire vbique ſemper.
Cho. Mirum ſane eſt mortalibus vt omnia accidunt
,, *Et* neceſſitates leges definiunt:
,, Amicos efficientes ex inimiciſſimis;
,, Inimicoſque eos, qui ante beneuoli erant, facientes.
Aga. Ego te & tuum filium & fortunas tuas,
O Hecuba, per miſericordiam manūq; ſupplicē habeo
Voloque & deorum gratia, impium hoſpitem,

Et iuſtitiæ, hanc tibi dare pœnam:
Si quo modo videar vt tibi bene ſit *efficere*,
Exercituique non videar Caſandræ gratia
Thraciæ regi hanc ſtruere cædem.
Eſt enim quatenus metus incidit mihi.
Virum hunc, amicum ducit exercitus:
Mortuum vero, hoſtem. Si vero tibi charus
Hic eſt, priuatim eſt hoc, & nō publicū exercitui.
Hæc expende. nam volentem quidem me habes
Tibi opem ferre & promptum ad auxiliandum,
Tardum vero, a Græcis ſi criminabor.

Hec. Heu, non eſt mortalium qui ſit liber,
„ Aut pecuniarum enim ſeruus eſt, aut fortunæ,
„ Aut multitudo eum vrbis, aut leges ſcriptæ
„ Vrgent ne vtatur pro arbitrio moribus.
Poſtquam vero metuis, multitudiniq; nimiū tribuis,
Ego te faciam hoc liberum metu.
Sis cōſcius quidem, ſiquid ſtruam mali
Aduerſus eū hūc qui interfecit: adiuta vero nequaquā.
Si vero ex Achæis tumultus aut auxilium,
Patiente viro Thrace qualia patietur,
Apparuerit qdā, cohibe, nō præ te ferēs meā gratiam:
Quod ad alia vero, cōfide cūcta ego cōficiā probe.

Aga. Quomodo igitur? quid facies? vtrum gladium manu
Accipiens anus, virum barbarum interficies?
Aut venenis, aut ope quanam?
Quæ tibi aderit manus? vnde habebis amicos?

Hec. Tecta occultant hæc Troadum turbam.

Aga. Captiuas dicis Græcorum prædam?

Hec. Cum illis *hunc* meum homicidam vlciſcar.

Aga. Et quomodo mulierib. in viros erit robur? [perabile.

Hec. Eſt *quiddam* potens multitudo, cum inſidiiſque inſu-

Aga. Sæuū quidē, ſed ſane fœmineum reprehēdo genus.

Hec. Quid vero? an nō mulieres interfecerūt Ægypti filios?
Et Lemno funditus viros exterminarunt?
Sed vt fieri *oporteat*, hanc mihi relinque rationem:
Mitte vero mihi hanc tuto per exercitum
Mulierem. Et tu Thracio accedens hoſpiti
Dic, Vocat te regina olim ſane Ilii
Hecuba, (tua vero non minus quam ipſius cauſa)

Et

Καὶ τοῦ δικαίου, τήνδε σοι δοῦναι δίκην.
Εἴ πως φανείη γ' ὥστε σοί καλῶς ἔχειν,
Στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν,
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
Ἔστι γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι.
Τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖται στρατὸς,
Τὸν κατθανόντα δ' ἐχθρόν. εἰ δὲ σοι φίλος
Ὅδ' ἐστὶ, χωρὶς τοῦτο, κοὐ κοινὸν στρατῷ.
Πρὸς ταῦτα φρόντιζ', ὡς θέλοντα μέν μ' ἔχεις
Σοὶ ξυμπονῆσαι, καὶ ταχὺν προσαρκέσαι,
Βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.
Ἑκά. Φεῦ, οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος.
„ Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
„ Ἢ πλῆθος αὐτὸν πόλεος, ἢ νόμων γραφαὶ
„ Εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
Ἐπεὶ δὲ ταρβεῖς, τῷ τ' ὄχλῳ πλέον νέμεις,
Ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
Σύνισθι μὲν γὰρ, ἤν τι βουλεύσω κακὸν
Τῷ τόνδ' ἀποκτείναντι· συνδράσῃς δὲ μή.
Ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ 'πικουρία,
Πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται,
Φανῇ τις, εἶργε. μὴ δοκῶν ἐμὴν χάριν.
Τὰ δ' ἄλλα θάρσει, πάντ' ἐγὼ θήσω καλῶς.
Ἀγα. Πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
Λαβοῦσα γραῖα, φῶτα βάρβαρον κτενεῖς,
Ἢ φαρμάκοισιν, ἢ 'πικουρίᾳ τίνι;
Τίς σοι ξυνέσται χεὶρ; πόθεν κτήσῃ φίλους;
Ἑκά. Στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.
Ἀγα. Τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;
Ἑκά. Σὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
Ἀγα. Καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
Ἑκά. Δεινὸν τὸ πλῆθος, σὺν δόλῳ τε δύσμαχον.
Ἀγα. Δεινὸν, τὸ μέντοι θῆλυ μέμφομαι γένος.
Ἑκά. Τί δ', οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα,
Καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
Ἀλλ' ὡς γενέσθω, τόνδ' ἐμοὶ μέθες λόγον.
Πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
Γυναῖκα. καὶ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ,
Λέξον· καλεῖ σ' ἄνασσα δή ποτ' Ἰλίου,
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,

Καὶ παῖδας, ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
Τοὺς ἐξ ἐκείνης, τὸν γὰρ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες Ἀγάμεμνον τάφον,
Ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογὶ
Δισσὴ μέριμνα μητρὶ κρυφθῆτον χθονί.
Ἀγα. Ἔσται τάδ' οὕτω. καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
Πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν.
Νῦν δ', οὐ γὰρ ἵησ' οὐρίας πνοὰς θεός,
Μένειν ἀνάγκη, πλοῦν ὁρῶντας ἥσυχον.
„ Γένοιτο δ' εὖ πως. Πᾶσι γὰρ κοινὸν τόδε,
„ Ἰδίᾳ θ' ἑκάστῳ, καὶ πόλει, τὸν μὲν κακὸν,
„ Κακόν τι πάσχειν· τὸν δὲ χρηστὸν, εὐτυχεῖν.

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Σὺ μὲν ὦ πατρὶς Ἰλιὰς,
2 Τῶν ἀπορθήτων πόλις
3 Οὐκέτι λέξῃ, τοιόνδ' Ἑλ-
4 λάνων νέφος ἀμφί σε καλύπτει·
5 Δορὶ δὴ δορὶ πέρσαν.
6 Ἀπὸ δὲ στεφάνων κέκαρσαι
7 Πύργων, κατὰ δ' αἰθάλου
8 Καπνοῦ κηλῖδ' οἰκτροτάτα κέχρωσαι
9 Τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.

Ἀντιστροφὴ α'.

1 Μεσονύκτιος ὠλλύμαν,
2 Ἦμος ἐκ δείπνων ὕπνος
3 Ἡδὺς ἐπ' ὄσσοις κίδναται.
4 Μολπᾶν δ' ἄπο, καὶ χαροποιῶν
5 Θυσιᾶν καταπαύσας
6 Πόσις, ἐν θαλάμοις ἔκειτο,
7 Ξυστὸν δ' ἐπὶ πασσάλῳ,
8 Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
9 Τροίαν Ἰλιάδ' ἐμβεβαῶτα.

Στροφὴ β'.

1 Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
2 Μίτραισιν ἐρρυθμιζόμαν,
3 Χρυσέων ἐνόπτρων
4 Λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
5 Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
6 Ἄνα δὲ κέλαδος ἔμολε πόλιν·

7 Κέ-

Digitized by Google

Et liberos: quoniam oportet & liberos ſcire ſermones
Hos ex illa. Recens vero interfectæ
Polyxenæ differ Agamemnon ſepulturam,
Vt iſti duo frater & ſoror, prope vna flamma
Duplici cura matris occultentur terra.
Aga. Erunt hæc ſic. etenim ſi eſſet exercitui
Nauigatio, non potuiſſem hanc tibi præſtare gratiam.
Nunc vero (nō enim mitit ſecundos flatus deus)
Manere neceſſe eſt, nauigationē expectātes tranquillā.
„ Eueniat aūt feliciter. Omnibus .n. eſt commune hoc,
„ Et peculiariter vnicuique, & vrbi, malum quidem
„ Malum aliquid pati: bonum vero feliciter agere.

EPODICA.

Strophe I.

Ch. Tu quidem ô patria Iliaca
Ex vrbibus inexpugnabilibus
Non amplius diceris. talis Græ-
corum nebula te circumfundit,
Haſta ſane haſta populans.
Corona vero tibi detonſa eſt
Turrium: circum vero fuliginoſi
Fumi macula miſerrima denigrata es,
Miſera non amplius in te incedam.

Antiſtrophe I.

Media nocte perii,
Quando a cœna ſomnus
Suauis in oculos ſpargitur:
A cantu vero & lætificis
Conuiuiis deſinens
Maritus in thalamis iacebat,
Haſtile vero in paxillo
Nauticam non amplius videns multitudinem
Per Troiam Iliacam incedentem.

Strophe II.

Ego vero comam religatis
Mitris componebam
Aureorum ſpeculorum
Aſpiciens rotundos ſplendores,
Aſtans ad lectum vt ruerem in torum.
Tumultus vero pertranſiuit vrbem,

Digitized by Google

Vociferatio autem erat per vrbem Troiæ
Hæc, O filii Græcorum quando ſane,
Quando Iliacam ſpeculam
Excidentes ibitis domum?

Antiſtrophe II.

Lectum vero charum ſimplici veſte induta
Relinquens, Dorica vt puella,
Venerandam accedens
Nihil effeci Dianam infelix:
Sed abducor mortuum videns maritum
Meum, marinum per pelagus,
Vrbemque procul aſpectans, poſtquam
Reducem nauis mouit pedem
Et me a terræ exterminauit finibus Iliacæ.
Miſera exanima concidi præ dolore.

Epodos.

Dioſcurorum Helenam ſororem,
Idæumque paſtorem
Exitioſum Parin execrationi
Dans: quoniam me
Terra ex patria perdidit:
Expulit ex ædibus nuptiæ non nuptiæ
Sed dæmonis affligentis quædam calamitas.
Quam *vtinam* neque pelagus marinum
Reducat iterum,
Neque patriam veniat in domum.

Polydorus.

O chariſſime virorum Priame, chariſſimaque tu
,, Hecuba, illacrymor te intuens, vrbemque tuam,
,, Hancque modo mortuam gnatam tuam.
,, Ah, non eſt quicquam tutum, neque gloria,
,, Neque rurſum eum qui felix, nō futurum infelicem:
Sed miſcent ea dei antrorſum & retrorſum
Tumultum imponentes, *vt futuri* inſcitia
Colamus illos. Sed hæc quidem quid attinet
Lugere conferentia nihil ad priora mala?
Tu vero ſi quid incuſes meam abſentiam,
Quieſce: eram enim in mediis Thraciæ finibus
Abſens quando veniſti huc. ſed poſtquam adueni,
Iam pedem extra domum tollenti mihi

Ad

Κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας
Τόδ'· ὦ παῖδες Ἑλλάνων, πότε δὴ
Πότε τὰν Ἰλιάδα σκοπιὰν
Πέρσαντες, ἥξετ' ἐς οἴκους;

Ἀντιστροφὴ β'.

Λέχη δὲ φίλια μονόπεπλος
Λιποῦσα, Δωρὶς ὡς κόρα,
Σεμνὰν προσίζουσ'
Οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων·
Ἄγομαι δὲ θανόντ' ἰδοῦσ' ἀκοίταν
Τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος,
Πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ
Νόστιμον ναῦς ἐκίνησε πόδα,
Καί μ' ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος,
Τάλαιν', ἀπεῖπον ἄλγει.

Ἐπῳδός.

Τὰν τοῖν Διοσκούροιν Ἑλέναν κάσιν,
Ἰδαῖόν τε βούταν
Αἰνόπαριν κατάρᾳ
Διδοῦσ', ἐπεί με
Γᾶς ἐκ πατρῴας ἀπώλεσεν,
Ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος,
Ἀλλ' ἀλάστορός τις οἰζύς.
Ἃν μήτε πέλαγος ἅλιον
Ἀπαγάγοι πάλιν,
Μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

ΙΑΜΒΟΙ.

Πολ. Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ
Ἑκάβη, δακρύω σ' εἰσορῶν, πόλιν τε σὴν,
Τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
„ Φεῦ, οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
„ Οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
„ Φύρουσι δ' αὔθ' οἱ θεοὶ πάλιν τε καὶ πρόσω,
„ Ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
Σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
Θρηνεῖν, προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;
Σὺ δ' εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
Ἀπὼν, ὅτ' ἦλθες δεῦρ'. ἐπεὶ γ' ἀφικόμην,
Ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι.

Digitized by Google

Εἰς ταυτὸν ἥδε συμπιτνεῖ δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
ἑκά. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει
Ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
Ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
Πολυμῆστορ. ἄλλως δ', αἴτιόν τι καὶ νόμος,
,, Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
πολ. Καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
Τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
ἑκά. Ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι,
Καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.
πολ. Χωρεῖτ'. ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σὺ, προσφιλὲς δέ μοι τόδε
Στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρή,
,, Τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
,, Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰμ' ἐγώ.
ἑκά. Πρῶτον μὲν εἰπὲ, παῖδ', ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς, ἐν δόμοις ἔχεις,
Εἰ ζῇ. τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
πολ. Μάλιστα τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
ἑκά. Ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
πολ. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
ἑκά. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τι μου;
πολ. Καὶ δεῦρό γ' ὡς σὲ κρυφίως ἐζήτει μολεῖν.
ἑκά. Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
πολ. Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
ἑκά. Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
πολ. Ἥκιστ'. ὀναίμην τοῦ παρόντος ὦ γύναι.
ἑκά. Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶ θέλω;
πολ. Οὐκ οἶδα, τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
ἑκά. Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
πολ. Τί χρῆμ' ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
ἑκά. Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες,
πολ. Ταῦτ' ἔσθ' ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ἑκά. Μάλιστα, διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
πολ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;

Digitized by Google

Ad idem hæc coincidit ancilla tua,
Dicens ſermones quos audiens veni.
Hec. Erubeſco intueri te aduerſum
Polymeſtor, in tantis conſtituta malis,
Cui.n. cõſpecta ſum feliciter agẽs, pudor me tenet
In hoc fato quum ſim vbi ſum nunc:
Neque queam aſpicere te rectis pupulis.
Sed hoc ipſum nôn maleuolentiam *eſſe* duces erga te
Polymeſtor. Alias vero cauſa quædam & lex eſt
„ Mulieribus, viros ne aſpiciant ex aduerſo.
Pol. Et mirum ſane nihil, ſed quis vſus tibi mei?
Propter quod negotium euocaſti meũ ex ædib. pedẽ?
Hec. Priuatim meiipſius ſane quiddam ad te volo
Et liberos dicere tuos. miniſtros vero mihi
Separatim iube ab his abſcedere domibus.
Pol. Diſcedite. in tuto enim hæc ſolitudo.
Amica quidem nobis es tu, amicus vero mihi
Exercitus Achæorum. ſed indicare te conuenit
Quid oporteat felici fortuna vtentẽ nõ felici vtẽtibus
Amicis præſtare. nam paratus ſum ego.
Hec. Primum quidem dic, filium quem ex mea manu
Polydorum exque patris, in domibus habes,
An viuat: alia deinde te interrogabo.
Pol. Maxime: ex illa quidem felix es parte.
Hec. O chariſſime quam bene & digne te loqueris.
Pol. Quid itaque vis ſecundo ſcire ex me?
Hec. An parentis huius memor eſt aliquid mei?
Pol. Et huc quidem ad te occulte quærebat venire.
Hec. Aurum vero ſaluum *eſt* quod venit ex Troia habens?
Pol. Saluum in domibus quidem meis cuſtoditum.
Hec. Serua nũc illud, nec concupiſce quæ ſunt ꝓpinquorũ.
Pol. Minime: perfruar præſentibus ô mulier.
Hec. Scis igitur quæ dicere tibi & liberis volo?
Pol. Non ſcio: tuo hoc ſignificabis ſermone.
Hec. Sit amatus *filius a te*, vt tu nunc mihi amaris.
Pol. Quid rei *eſt* quod & me & liberos ſcire oportet?
Hec. Auri veteres filiorum Priami defoſſiones.
Pol. Hæc ſunt quæ vis filio ſignificare tuo?
Hec. Maxime, per te ſane. Es enim pius vir.
Pol. Quid porro horum liberorum opus eſt præſentia?

Hec. Præſtat, ſi tu morereris, vt iſti ſciant.
Aga. Pulchre dixiſti ſic & ſapientius.
Hec. Noſti igitur Mineruæ Troianæ vbi tecta?
Pol. Ibine aurum eſt? ſignum vero quod?
Hec. Nigrum ſaxum terram eminens ſupra.
Pol. Amplius igitur aliquid vis eorũ q̃ ſunt ibi dicere mihi?
Hec. Seruare te pecunias cum quibus egreſſa ſum volo.
Pol. Vbi ſane? intra veſtes? aut occultans habes? *i. occultaſti.*
Hec. Spoliorum in aceruo in hiſce ſeruantur tectis.
Pol. Vbi vero? hæc Achæorum nautica ſepta.
Hec. Separatim mulierum captiuarum tecta.
Pol. Ea vero quæ intus, fida ſunt & virorum ſolitaria?
Hec. Nullus Achæorum intus, ſed nos ſolæ.
Sed perge in domum. Etenim Græci nauium
Soluere cupiunt domum verſus ex Troia pedem;
Vt omnia conficiens quæ te oportet, abeas rurſus
Cum liberis eo vbi meum poſuiſti filium.

MONOSTROPHICA.

Cho. Nondum dediſti, ſed forte dabis pœnas,
Importuoſum quiſpiam quaſi
In vorticem incidens
Obliquus, exciderit
Charo corde,
Orbatus vita.
„ Quod enim obnoxium eſt
„ Iuſtitiæ, & diis, non concidet,
Exitiale exitiale malum:
Fallet te viæ huius ſpes, quæ te induxit
Lethalem ad Plutonem. Heu miſer!
Imbelli vero manu relinques vitam.

Polydorus.

Heu mihi; obcæcor lumen oculorum miſer.
Semi. Audiſtis viri ploratum ô amicæ?
Pol. Heu mihi iterũ ac iterum ô filii, ob triſtẽ mactationẽ.
Semi. Amicæ, acta ſunt noua intra domum mala.
Pol. Sed non me effugeritis celeri pede.
Deiiciens enim ædium harũ perrumpã angulos.
Semi. Ecce graui manu vibratur iaculum.
Vultis irruamus? quoniam oportunitas vocat
Hecubę adeſſe, Troianiſq; mulieribus auxiliatrices.

He

Digitized by Google

ἑκά. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
ἀγα. Καλῶς ἔλεξας τῇδε. καὶ σοφώτερον.
ἑκά. Οἶσθ' οὖν Ἀθάνας ἰλιάδος ἵνα στέγαι;
πολ. Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ἑκά. Μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
πολ. Ἔτ' οὖν τι βούλῃ τῶν ἐκεῖ φράζειν ἐμοί;
ἑκά. Σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον, θέλω.
πολ. Ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
ἑκά. Σκύλων ἐν ὄχλῳ ταῖσδε σῴζεται στέγαις.
πολ. Ποῦ δ' αἵδ'; Ἀχαιῶν ναύλοχοι περιπτυχαί;
ἑκά. Ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
πολ. Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
ἑκά. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἕρπ' ἐς οἴκους, καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα·
Ὡς πάντα πράξας ὧν σε δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

χο. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην,
Ἀλίμενόν τις ὡς
Ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπέσῃ
Φίλας καρδίας,
Ἀμέρσας βίοτον.
,, Τὸ γὰρ ὑπέγγυον
,, Δίκᾳ, καὶ θεοῖς, οὐ ξυμπίτνει.
Ὀλέθριον ὀλέθριον κακόν.
Ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπὶς, ἥ σ' ἐπήγαγε
Θανάσιμον πρὸς ἀΐδαν. ἰὼ τάλας·
Ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.

ΙΑΜΒΟΙ.

πολ. Ὤιμοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ἡμι. Ἠκούσατ' ἀνδρὸς οἰμωγὴν φίλαι;
πολ. Ὤιμοι μάλ' αὖθις τέκνα, δυστήνου σφαγῆς.
ἡμι. Φίλαι, πέπρακται καίν' ἔσω δόμων κακά.
πολ. Ἀλλ' οὔτι μὴ φύγητε λαιψηρῷ ποδί.
Βάλλων γὰρ οἴκων τῶνδ' ἀναρρήξω μυχούς.
ἡμι. Ἰδοὺ βαρείας χειρὸς ὁρμᾶται βέλος.
Βούλεσθ' ἐπεσπέσωμεν, ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι, Τρῳάσιν τε συμμάχους.

ἑκά.

Digitized by Google

ἑκά. Ἄρασσε, φείδου μηδὲν, ἐκβάλλων πύλας.
Οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις.
Οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.
ἡμι. Ἦ γὰρ καθεῖλες Θρῆκα, καὶ κρατεῖς ξένου,
Δέσποινα, καὶ δέδρακας οἷάπερ λέγεις;
ἑκά. Ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
Τυφλὸν, τυφλῷ στείχοντα παραφόρῳ ποδί.
Παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
Σὺν ταῖς ἀρίσταις Τρῳάσιν. δίκην δέ μοι
Δέδωκε χωρεῖ δ', ὡς ὁρᾷς, ὅδ' ἐκ δόμων.
Ἀλλ' ἐκποδὼν ἄπειμι, κἀποστήσομαι
Θυμῷ ῥέοντι Θρῃκὶ δυσμαχωτάτῳ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

πολ. Ὤι μοι ἐγώ.
Πᾶ βῶ; πᾶ στῶ; πᾶ κέλσω;
Τετράποδος βάσιν θηρὸς ὀρεστέρου
Τιθέμενος ἐπὶ χεῖρα καὶ ἴχνος,
Ποίαν ἢ ταύταν, ἢ τάνδ' ἐξαλλάξω;
Τὰς ἀνδροφόνους μάρψαι χρῄζων
Ἰλιάδας, αἵ με διώλεσαν.
Τάλαιναι, τάλαιναι κόραι Φρυγῶν·
Ἰὼ ἰὼ κατάρατοι, ποῖ καί με φυγᾶ
Πτώσσουσι μυχῶν;
Εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
Ἀκέσαιο ἀκέσαιο, τυφλὸν ἅλιε
Φέγγος ἀπαλλάξας.
Ἆ, ἆ. σῖγα, σῖγα. κρυπτὰν βάσιν αἰσθάνομαι
Τᾶνδε γυναικῶν.
Πᾶ πόδ' ἐπαΐξας, σαρκῶν ὀστέων-
τ' ἐμπλησθῶ, θοίναν ἀγρίων θηρῶν
Τιθέμενος, ἀρνύμενος λώβαν,
Λύμας ἀντίποιν' ἐμᾶς; ἰὼ τάλας,
Ποῖ, πᾶ φέρομαι, τέκν' ἔρημα λιπὼν
Βάκχαις ᾅδου διαμοιρᾶσαι,
Σφακτὰν κυσί τε φονίαν
Δαῖτ' ἀνήμερον, οὐρείαν τ' ἐκβολάν;
Πᾶ στῶ; πᾶ κάμψω; πᾶ βῶ;
Ναῦς ὅπως ποντίοις πείσμασι.
Λινόκροκον φάρος στέλλων,
Ἐπὶ τάνδ' ἐσσυθεὶς

Τέκνων

Digitized by Google

Hec. Frange, nulli parce eiiciens portas:
Neq;.n.vnquam viſum lucidũ reſtitues populis,
Neque filios videbis viuentes quos interfeci ego.
Semi. Numnam cepiſti Thracem, & potiris hoſpite,
O domina, & patraſti qualia dicis?
Hec. Videbis eum ſtatim exiſtentem ante ædes
Cæcum, cæco euntem errabundo pede,
Filiorumque duorum corpora, quos interfeci ego
Cum optimis Troadibus. pœnam vero mihi
Dedit. procedit vero (vt vides) hic ex domo.
Sed eminus abeo & ſecedam
Ira fluente a Thrace, inſuperabili.

MONOSTROPHICA.

Pol. O mihi ego:
Quo vado? vbi ſto? quo appellam?
Quadrupedis gradum feræ montanæ
Figens ſuper manus iuxta veſtigia?
Qualem *viam* aut hanc aut illam mutabo,
Homicidas præhendere cupiens
Iliadas, quæ me perdiderunt.
Sceleſtæ ſceleſtæ puellæ Phrygum;
Io, io ſceleratæ, vbi me fuga
Fugiunt in angulis?
Vtinam mihi oculorum cruentam palpebram
Medearis, medearis cæcum ô Sol
Lumen adimens.
At at, tace tace, occultum gradum ſentio
Harum mulierum.
Vbi pedem ſaltu ſiſtens, carnibus oſſibus-
que implebo, cœnam ſylueſtrium ferarum
Parans, moliens damnum,
Exitii pro talione? Io miſer.
Vbi, quo feror, liberos deſertos relinquens
Inſanis mulieribus Plutonis ad diſcerpendum
Mactatasque canibus cruentas
Dapes immanes montanamque abiectionem?
Vbi conſiſtam? quo flectam? quo vadam?
Nauis quemadmodum marinis funibus
Ex linea tela velum mittens,
Ad iſtud compulſus ſum

Libe-

Liberorum meorum cuſtos
Exitiale cubile.

Chorus.

O infelix quam tibi intolerabilia facta ſunt mala.
„ Facienti vero turpia ſæuas pœnas
„ Deus dedit, quicunque eſt tibi infenſus.

MONOSTROPHICA.

Pol. Ah, ah. Io Thraciæ
Haſtifera, armata,
Equeſtris, Marti obnoxia gens.
Io Achæi, io Atridæ.
Clamorem clamorem clamo, clamorem.
Ite ite, venite per deos.
Audit quis? an nemo opem feret? quid cunctamini?
Mulieres perdiderunt me
Mulieres captiuæ.
Grauia grauia paſſi ſumus.
O mihi ob meum exitium.
Quo vertar? quo ibo?
Aerem peruolans cæleſtem
Altam in domum,
Orion aut Sirius
Vbi ignis flammeos
Iacit ab oculis radios?
Aut ad Plutonis atrum
Littus ruam miſer?

Chorus.

Ignoſcendum quando quis maiora q̃ ferre *poſſit* mala
Patitur, miſeram quod cupiat mutare vitam.
Aga. Clamore audito veni. non enim tranquilla
Rupis montanæ filia inſonuit per exercitum
Echo præbens tumultum. Si vero non Phrygum
Turres cecidiſſe ſciuiſſemus Græcorum haſta,
Terrorem præbuiſſet non mediocriter hic ſonus.
Pol. O chariſſime (ſenſi enim ô Agamemnon tua
Voce audita) vides quæ patimur?
Aga. Age, Polymeſtor ô infelix quis te perdidit?
Quis oculum fecit cæcum, cruentans pupulas,
Filiosque hos interfecit? certe magnam iram
Aduerſum te & filios habuit quicunque fuerit ſane.

Pol.

Digitized by Google

Τέκνων ἐμῶν φύλαξ,
Ὀλέθριον κοίταν.

ΙΑΜΒΟΙ.

χο. Ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασται κακά.
,, Δράσαντι δ' αἰσχρά, δεινά τἀπιτίμια
,, Δαίμων δέδωκεν, ὅστις ἐστί σοι βαρύς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

πολ. Αἰαῖ, ἰὼ Θρήκης
Λογχοφόρον, ἔνοπλον,
Εὔιππον Ἄρει κάτοχον γένος.
Ἰὼ Ἀχαιοί, ἰὼ Ἀτρεῖδαι.
Βοὰν βοὰν ἀϋτῶ, βοάν.
Ἴτε ἴτε, μόλετε πρὸς θεῶν.
Κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
Γυναῖκες ὤλεσάν με,
Γυναῖκες αἰχμαλωτίδες.
Δεινὰ δεινὰ πεπόνθαμεν.
Ὤι μοι ἐμᾶς λώβας.
Ποῖ τράπωμαι; ποῖ πορευθῶ;
Αἰθέρ' ἀμπτάμενος οὐράνιον,
Ὑψιπετὲς εἰς μέλαθρον,
Ὠρίων ἢ σείριος
Ἔνθα πυρὸς φλογέας
Ἀφίησιν ὄσσων αὐγάς;
Ἢ τὸν ἐς ἀίδα μελανοχρῶτα
Πορθμὸν ἀΐξω τάλας;

ΙΑΜΒΟΙ.

χο. Σύγγνωσθ', ὅταν τις κρείσσον', ἢ φέρειν, κακὰ
,, Πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζωῆς.
ἀγα. Κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
Πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
Πύργους πεσόντας ἴσμεν Ἑλλήνων δορί,
Φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
πολ. Ὦ φίλτατ', ᾐσθόμην γὰρ Ἀγάμεμνον σέθεν
Φωνῆς ἀκούσας. εἰσορᾷς ἃ πάσχομεν;
ἀγα. Ἔα, Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
Τίς ὄμμ' ἔθηκε τυφλόν, αἱμάξας κόρας,
Παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.

Digitized by Google

πολ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
Ἀπώλεσ'. οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
ἀγα. Τί φής; σὺ τοὔργον εἴργασαι τόδ', ὡς λέγεις;
Σὺ τόλμαν Ἑκάβη τήνδ' ἔτλης ἀμήχανον;
πολ. Ὤι μοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
Σήμηνον· εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
Διασπάσωμαι, καὶ καθαιμάξω χρόα.
ἀγα. Οὗτος, τί πάσχεις; πο. πρὸς θεῶν σε λίσσομαι,
Μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.
~~ἀγα.~~ Ἴσχε· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
Λέγ', ὡς ἀκούσας σοῦ τε, τῆσδέ τ' ἐν μέρει,
Κρίνω δικαίως ἀνθ' ὅτου πάσχεις τάδε.
πολ. Λέγοιμ' ἄν. Ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
Ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
Τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
Ἄκουσον, ὡς εὖ, καὶ σοφῇ προμηθίᾳ.
Ἔδεισα μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ, καὶ ξυνοικίσῃ πάλιν.
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα,
Φρυγῶν ἐς αἶαν αὖθις ἄρειεν στόλον,
Κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε,
Λεηλατοῦντες. γείτοσι δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν ἄναξ ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον,
Λόγῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φράσουσα Πριαμιδῶν ἐν Ἰλίῳ
Χρυσοῦ. μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει
Δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
Ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ.
Πολλαὶ δὲ χεῖρες, αἱ μὲν ἐξ ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ παρὰ φίλῳ Τρώων κόραι
Θάκουν, ἔχουσαι κερκίδ' Ἠδωνῆς χερός.
Ἤνουν θ' ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους.
Ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι,
Γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
Ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι,
Τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
Γένοιντο, διαδοχαῖσιν ἀμείβουσαι χεροῖν.

Κἆτ'

Digitized by Google

Pol. Hecuba me cum mulieribus captiuis
Perdidit. non perdidit, ſed amplius.
Aga. Quid dicis? Tu hoc opus feciſti vt dicit?
Tu audaciam, ô Hecuba, hanc ſuſcepiſti immenſam?
Pol. Hei mihi, quid dicis? Anne prope eſt alicubi?
Significa. dic vbi eſt? vt rapiens manibus
Diſcerpam & cruentem corpus.
Aga. Heus quid pateris? *Pol.* Per Deum te precor
Sine me immittere huic furentem manum.
Aga. Contine te: eiiciens porro e corde barbariem,
Dic, vt audiens & te & hanc per vices,
Diiudicem iuſte pro quo pateris hæc.
Pol. Dicam ſane. Erat quiſpiam Priamidarum minimus
Polydorus Hecubæ filius, quem ex Troia mihi
Pater dat Priamus in domibus nutriendum,
Iam ſuſpicans de Troiæ excidio.
Hunc interfeci. quamobrem autem interfeci ipſum,
Audi quam bene & ſapienti prouidentia.
Metui ne tibi hoſtis relictus hic puer
Troiam colligeret & habitaret olim:
Reſciſcẽtes vero Græci viuere Priamidarũ aliquẽ,
Phrygum ad terram rurſus tollerent expeditionem,
Et deinde Thracios campos vaſtarent hos
Populantes: vicinis vero eſſet malum
Troianorum propter quod nunc ô rex laborauimus:
Hecuba vero filii quum cognouiſſet lethale fatũ,
Dolo me huiuſmodi duxit, tanquam occulta
Receptacula dictura Priamidum ſub Ilio
Auri. Solum vero cum liberis me inducit
In domos, vt alius ne ſciret hæc.
Sedeo vero culcitra in media curuans genu:
Multæ vero manus, illæ quidem ad ſiniſtram
Illæ vero inde, vtpote apud amicũ, Troianorũ puellæ
Sedebant, tenentes telam Edonicæ manus,
Laudabant ad lucem haſce ſpectantes veſtes.
Alia haſtile Threicium ſpectantes,
Nudum me fecerunt duplici ornamento.
Quæ vero parentes erant, obſtupefactæ
Liberos in manibus quatiebant, vtq; procul a patre
Fierent, ſucceſſionibus alternabant manus.

Et deinde ex tacitis (quid videtur?) colloquiis
Statim corripientes enſes ex veſtibus alicunde,
Confodiunt pueros: aliæ vero hoſtium inſtar
Corripientes meas tenebant manus
Et membra. Filiis vero opem ferre volens meis,
Si quidem faciem erigerem meam,
Capillo retinebant: ſi vero mouerem manus,
Præ multitudine mulierum nihil efficiebam miſer.
Poſtremo deinde calamitatē plusquam calamitatem
Perpetrauerunt ferociter. meorum enim oculorum,
Fibulas quum corripuiſſent, infelices pupulas
Fodiunt, cruentant: deinde per tectum
Fugaces abierunt. Exiliens vero ego
Fera quaſi, perſequor cruentas canes,
Omnem ſcrutans parietem quaſi venator,
Deiiciens, frangens. Talia dū ſtudeo ꝓ tua gratia
Paſſus ſum, hoſtem tuum interficiens
O Agamemnon. vt vero nō longos extēdā ſermones,
Si quis mulieribus ex prioribus dixit male,
Aut nunc dicens eſt quis, aut futurus eſt dicere,
Omnia hæc in compendium ego dicam:
„ Genus enim neque pontus neque terra nutrit
„ Tale: ille vero ſemper qui conuerſatur, nouit.
Cho. Ne inſoleſcas audacius, neque tuis malis
Muliebre æſtimans, ſic omne reprehendas genus.
„ Multę enim ex nobis aliæ q̄dē ſunt inuidēdis virtutib.
„ Aliȩ vero ad numerū malarum natæ ſumus.
Hec. Agamemnon, Hominibus non conueniebat vnquam
„ Quam ipſas res linguam poſſe plus.
„ Sed ſiue bona egit, bona oportebat dicere:
„ Siue viciſſim mala, ſermones eſſe putidos,
„ Et non poſſe iniuſta bene eloqui vnquam.
„ Sapientes quidem igitur ſunt qui hęc exacte nouerāt.
„ At non poſſunt ad extremum vsq; eſſe ſapientes:
„ Sed perierunt, nec quiſquam euaſit adhuc.
Et mihi, quod ad te, ſic in proœmiis habet.
Ad hunc vero venio, & verbis reſpondebo.
Quomodo ais te Græcorum laborē leuans duplicem,
Agamemnoniſque ſtudio, filium meum interfeciſſe?
Sed ô peſſime, primum nunquam amicum

Barbarum

Digitized by Google

Κἆτ' ἐκ γαλήνης, πῶς δοκεῖς, προσφθεγμάτων
Ευλαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν,
Κεντοῦσι παῖδας. αἱ δὲ πολεμίων δίκην
Ξυναρπάσασαι, τὰς ἐμὰς εἶχον χέρας,
Καὶ κῶλα. παισὶ δ' ἀρκέσαι χρήζων ἐμοῖς,
Εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
Κόμης κατεῖχον· εἰ δὲ κινοίην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
Τὸ λοίσθιον δὲ πῆμα, πήματος πλέον,
Ἐξειργάσαντο δείν'. ἐμῶν γὰρ ὀμμάτων
Πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
Κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
Φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
Θὴρ ὡς, διώκω τὰς μιαιφόνους κύνας,
Ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
Πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
Εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
Ἢ νῦν λέγων ἐστί τις, ἢ μέλλει λέγειν,
Ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
,, Γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
,, Τοιόνδ'· ὁ δ' ἀεὶ ξυντυχὼν, ἐπίσταται.
Χο. Μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
Τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.
,, Πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἰσ' ἐπίφθονοι,
,, Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
Ἑκά. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
,, Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
,, Ἀλλ' εἴτε χρηστ' ἔδρασε, χρηστ' ἔδει λέγειν·
,, Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
,, Καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
,, Σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
,, Ἀλλ' οὐ δύνανται διὰ τέλους εἶναι σοφοὶ,
,, Κακῶς δ' ἀπώλοντο, κοὔτις ἐξήλυξέ πω.
Καί μοι τὸ μὲν σὸν, ὧδ' ἂν φροιμίοις ἔχει.
Πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι.
Πῶς φὴς, Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν,
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν;
Ἀλλ' ὦ κάκιστε, πρῶτον οὔ ποτ' ἂν φίλον

Τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησι γένος,
Οὔτ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
Πρόθυμος ἦσθα; πότερα κηδεύσων τινά,
Ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
Πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
Ὁ χρυσός, εἰ βούλοιο τἀληθῆ λέγειν,
Ἔκτεινε τὸν ἐμὸν παῖδα, καὶ κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο, πῶς ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
Ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,
Τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἀν δόμοις ἔχων,
Ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
Καπνῷ δ' ἐσήμην' ἄστυ πολεμίων ὕπο,
Ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν;
Πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇς κακός.
Χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσι φίλος,
Τὸν χρυσόν, ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ' ἔχειν,
Δοῦναι φέροντα πενομένοις τε, καὶ χρόνον
Πολὺν πατρῴας γῆς ἀπεξενωμένοις.
Σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
Τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος.
,, Ἐν τοῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ σαφέστατοι
,, Φίλοι. τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
Εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' εὐτύχει,
Θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας.
Νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
Χρυσοῦ τ' ὄνησις οἴχεται, παῖδές τε σοί,
Αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανῇ.
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἐχρῆν,
Οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον.
Αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν,
Τοιοῦτον ὄντα, δεσπότας δ' οὐ λοιδορῶ.
χο. Φεῦ, φεῦ. βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
,, Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

ἀγα.

Digitized by Google

Barbarum fiet Græcis genus,
Nec vnquam poſſit. Quam vero captans gratiam
Tam promptus eras? vtrũ iuncturus affinitatẽ aliquã,
Aut cognatus exiſtens? Aut quamnã cauſam habens?
Aut tuæ erant terræ exciſuri germina
Claſſe reuerſi. Cui putas perſuaſurum eſſe hæc?
Aurum (ſi velis vera dicere)
Interfecit meum filium, & lucra tua.
Quandoquidem doce *me* hoc, quare quum erat felix
Troia, & circumcirca turris habebat adhuc vrbem
Viuebatque Priamus, Hectoriſque florebat haſta
Quare non tum (ſi quidem huic voluiſti gratiam
Præſtare) nutriens filium & in domo habens
Interfeciſti? aut viuentem veniſti ad Græcos dúcens:
Sed quando nos non amplius eramus in luce,
Fumoque ſignificabatur vrbs ſub hoſtibus,
Hoſpitem interfeciſti, tuum accedentem ad focum?
Adhæc nunc audi vt appareas ſceleratus.
Oportebat te, ſi quidem eras Græcis amicus,
Aurum quod dicis non tuum, ſed huius habere,
Dare afferentem egentibusque, & per tempus
Multum a patria terra procul peregrinantibus.
Tu vero ne nunc quidem tuis dimittere manibus
Suſtines; ſed tenere perſeueras adhuc in domo.
Atqui nutriens quidem vt te filium decebat nutrire
Seruansq; meum, habuiſſes præclaram gloriam.
„ In aduerſis enim boni ſunt certiſſimi
„ Amici: res ſecundæ vero quælibet habent amicos.
Si vero indiguiſſes pecuniis, hic vero floruiſſet,
Theſaurus tibi filius potuiſſet eſſe meus magnus.
Nunc vero neque illum virum habes tibi amicũ,
Aurique fructus perit filiique tui,
Ipſeque agis iſto modo. Tibi vero ego dico
Agamemnon, ſi huic opem tuleris, malus apparebis.
Neque pio enim, neque fideli, quibus decebat,
Neque ſancto, neque iuſto benefacies hoſpiti:
Sed ipſum gaudere malis te dicemus
Talem exiſtentem. Dominis vero nõ facio conuitiũ.
Cho. Papæ, Hominibus quam bona cauſa
„ Bonorum occaſiones præbet ſemper ſermonum?

Aga. Moleſtum quidem eſt mihi aliena iudicare mala:
„ Tamen neceſſe. Etenim dedecus affert,
„ Negotium in manus eum qui accepit, abiicere hoc.
Mihi vero (vt ſcias) neque meam videris ob gratiam,
Neque etiam Achæorum, virū interfeciſſe hoſpitem:
Sed vt haberes aurum in ædibus tuis.
Loqueris vero tibi ipſi conferentia, in malis exiſtens.
Forſan igitur apud vos facile eſt trucidare hoſpitem,
Nobis, vero turpe hiſce Græcis hoc. Quomodo ergo
Te iudicans nō iniq; feciſſe, effugiam vituperationē?
„ Nō certe poſſem. Sed poſtquā q̃ honeſta non ſunt
„ Facere auſus es, ſuſtine etiam quæ non grata ſunt.
Pol. Hei mihi, a muliere (vt videtur) victus
Serua, dabo deterioribus pœnam.
Hec. An non iuſte? ſi quidem perpetraſti mala.
Pol. Hei mihi ꝓpter liberos hosq; oculos meos miſero.
Hec. Doles? quid vero me propter filium non dolere putas?
Pol. Gaudes inſultans mihi ô malitioſa tu?
Hec. Non enim me gaudere oportet te quæ vlta ſum?
Pol. Sed non ſtatim quando ● marina humiditas,
Hec. Vtrū naui ducet me terræ in fines Græcanicæ?
Pol. Occultabit quidem delapſam ex antennis.
Hec. A quo violentos nactam ſaltus?
Pol. Ipſa ad malum *nauis* aſcendes pede.
Hec. Alatis tergis aut quonam modo?
Pol. Canis fies, ignitos habens aſpectus.
Hec. Quomodo vero noſti formæ meę transmutationem?
Pol. Apud Thraces vates dixit Dionyſus hæc.
Hec. Tibi vero nō vaticinatus eſt æquā de malis q̃ habes?
Pol. Non enim vnquam tu me cepiſſes ſic cum inſidiis.
Hec. Mortuane an viua hic implebo vitam?
Pol. Mortua. Tumulus vero nomine tuo vocabitur.
Hec. Formæ conſentiens, aut quid de me dicis?
Pol. Canis miſeræ ſepulcrum, nautis ſignum.
Hec. Nihil curæ eſt mihi quum tu mihi dederis pœnam.
Pol. Et tuam neceſſe eſt filiam Caſandram mori.
Hec. Abominor: ipſi hæc tibi tribuo habere.
Pol. Interficiet ipſam huius coniux domus cuſtos acerba.
Hec. Ne vnquam inſaniat vsqueadeo Tyndarei filia.
Pol. Ipſumque hunc, ſecurim tollens ſurſum.

Aga.

ἀγα. Ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά,
„ Ὅμως δ' ἀνάγκη. καὶ γὰρ αἰσχύνην φέρει,
„ Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
Ἐμοὶ δ', ἵν' εἰδῆς, οὔτ' ἐμὴν δοκεῖς χάριν,
Οὔτ' οὖν Ἀχαιῶν ἄνδρ' ἀποκτεῖναι ξένον,
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
Λέγεις δὲ σαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
Τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν,
Ἡμῖν δέ γ' αἰσχρὸν τοῖσιν Ἕλλησι τόδε.
Πῶς οὖν σε κρίνας μὴ ἀδικεῖν, φύγω ψόγον;
„ Οὐκ ἂν δυναίμην. [redacted]
πολ. Οἴμοι, γυναικός, ὡς ἔοιχ', ἡσσώμενος
Δούλης, ὑφέξω τοῖς κακίοσι δίκην.
ἀγα. Οὔκουν δικαίως, εἴπερ εἰργάσω κακά.
πολ. Οἴμοι τέκνων τῶνδ', ὀμμάτων τ' ἐμῶν τάλας.
ἑκά. Ἀλγεῖς; τί δαί με; τοῦ παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;
πολ. Χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ;
ἑκά. Οὐ γάρ με χαίρειν χρή, σε τιμωρουμένην;
πολ. Ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς
ἑκά. Μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλλανίδος;
πολ. Κρύψῃ μὲν οὖν πεσοῦσα[redacted]
ἑκά. Πρὸς τοῦ, βιαίων τυγχαν[redacted]μάτων;
πολ. Αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσῃ ποδί.
ἑκά. Ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
πολ. Κύων γενήσῃ, πύρσ' ἔχουσα δέργματα.
ἑκά. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
πολ. Ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
ἑκά. Σοὶ δ' οὐκ ἔχρησεν οὐδέν, ὧν ἔχεις κακῶν;
πολ. Οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
ἑκά. Θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
πολ. Θανοῦσα. τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται.
ἑκά. Μορφῆς ἐπῳδόν, ἤ τι τῆς ἐμῆς ἐρεῖς;
πολ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
ἑκά. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
πολ. Καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
ἑκά. Ἀπέπτυσ'. αὐτῷ ταῦτά σοι δίδωμ' ἔχειν.
πολ. Κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
ἑκά. Μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
πολ. Καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.

ἀγα. Οὕτως σὺ μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν;
πολ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
ἀγα. Οὐχ' ἕλξετ' αὐτὸν δμῶες ἐκποδὼν βίᾳ,
πολ. Ἀλγεῖς ἀκούων; Α. οὐκ ἐφέξετε στόμα;
πολ. Ἐγκλείετ'. εἴρηται γάρ. Α. οὐχ' ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ' ὦ τάλαινα, διπτύχους νεκροὺς
Στείχουσα θάπτε. δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηναῖς πελάζειν Τρῳάδες. καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
Εὖ δ' ἐς [redacted] εὖ δὲ τἀν δόμοις
Ἔχοντ' ἴδοι[redacted]

ΑΝΑΠΑΙΣΤΟΙ.

χο. Ἴτε πρὸς λιμένας, [redacted]
Τῶν δεσποσύνων πειρασόμεναι
„ Μόχθων. στερρὰ γὰρ ἀνάγκη.

Τέλος τῆς τοῦ Εὐριπίδου Ἑκάβης.

ΥΠΟΘΕΣΙΣ [redacted]ΣΤΟΥ.

Ὀρέστης τὸν φόνον τοῦ πατρὸς ἐκδικησάμενος, ἀνεῖλεν Αἴγισθον, καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε· μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες, διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων. τὴν δὲ Ἑρμιόνην δείξας ὁ Ἀπόλλων, ἔδωκεν εἰς χεῖρας αὐτοῖς. οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπὸ αὐτῶν,

ἐπεβάλλετο

Digitized by Google

Aga. Heus tu, inſanis & mala appetis conſequi?
Pol. Interfice, quoniā Argis homicidalia lauacra te manēt.
Aga. Non trahetis ipſum famuli ex conſpectu per vim?
Pol. Doles audiens? *Aga.* Non cohibebitis os?
Pol. Cōcludite. dictū eſt enim. *Ag.* Annon quā celerrime
Inſularum deſertarum ipſum abiicietis aliquo,
Quoniam ſic & nimium licentia oris abutitur?
Hecuba, tu vero miſera geminos mortuos
Vadens ſepelito. Dominorum vero vos oportet
Tentoria accedere Troades. Etenim flatus
Domum verſus iam hoſce ſecundos video.
Bene vero vtinā in patria nauigem⁹. bene etiam q̄ do-
Habere videamus, ab his liberati laboribus. [mi
Cho. Ite ad portus, & tentoria ô amicæ,
Heriles experturæ
,, Labores. Dura enim neceſſitas.

Finis Hecubæ.

ARGVMENTVM
O [illegible] S.

Oreſtes necem patris vlturus, interfecit Ægiſthum & Clytamneſtram. Auſus autem matrem occidere, ſtatim pœnā dedit inſanus factus. Tyndaro autem patre interfectæ accuſante eum, communem ſententiam erant laturi Argiui de hoc, quod oporteret pati impium. Forte autem Menelaus rediens ex ſua peregrinatione, noctu quidem Helenen miſit, interdiu autem ipſe venit: & aduocatus ab Oreſte, vt iuuaret ipſum, accuſantem Tyndarum magis eſt reueritus. Dictis autem orationibus in cœtu, motus eſt populus vt occideret Oreſtem. Pylades autem amicus eius cum ei adeſſet, conſuluit, vt ipſi primum de Menelao ſumerent pœnam, interficientes Helenam. ipſi igitur propter hæc venientes fruſtrati ſunt ſpe, cum dii Helenen rapuiſſent. Hermionem autem oſtendens Apollo, dedit eis in manum: illi autem hanc volebant occidere. Apparens autem Menelaus, & videns ſe ſimul coniuge & liberis ab iſtis priuatum, conatus eſt,

eſt oppugnare regiam. illi autem præuenientes, minabantur ſe inflammaturos eſſe. Apollo autem apparens, Helenem dixit ſe tranſtuliſſe ad deos: Oreſtem autem iuſſit Hermionem ducere, & Pyladi Electram cohabitare: & purificatum a cæde, Argos tenere.

ALITER.

Oreſtes propter matris cædem ſimul & ab Erinnybus exagitatus, & ab Argiuis condemnatus nece, erat interfecturus Helenen & Hermionem, propterea quod Menelaus præſens non iuuerat eum: prohibitus eſt autem ab Apolline. Nuſquam ponitur mythologia.

ALITER.

Scena fabulæ poſita in Argo. Chorus autem conſtat ex mulieribus Argiuis æqualibus, quæ accedunt, inetrrogantes de calamitate Oreſtis. Fabula habet exitum magis comicum. Apparatus fabulæ eſt talis. Iuxta aulam Agamemnonis fingitur Oreſtes laborans, & iacens præ inſania in lectulo, cui aſſidet ad pedes Electra. Dubitatur vero, quare non ad caput aſſideat, ſic magis videbatur curare fratrem, ita aſſidens propius. Videtur igitur propter chorum poeta ita finxiſſe. Excitatus enim fuiſſet Oreſtes, iam primum, & vix ſopitus, ſi prope ipſum mulieres chori ſtetiſſent. Poſſumus hoc ſuſpicari ex eo quod dicit Electra ad chorum, Tace tace tenue veſtigium ſoleæ. Probabilem eſſe aiunt prætextum huius diſpoſitionis. fabula eſt ex celeberrimis in ſcena, ſed peſſima moribus. nam præter Pyladen, omnes erant improbi.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Electra.	*Helena.*	*Pylades.*
Nuncius.	*Chorus.*	*Hermione.*
Oreſtes.	*Phryx.*	*Menelaus.*
Apollo.	*Tyndarus.*	

Præfatur autem Electra, tanquam ſoror Oreſtis, deplorans propter Tantalum.

EVRI-

Digitized by Google

ἐπεβάλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλουν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστην δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικῆσαι. καθαρθέντα δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

ΑΛΛΩΣ.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ἐριννύων δειματούμενος, καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, ἐκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδενὶ δὲ κεῖται ἡ μυθολογία.

ΑΛΛΩΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων. αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματος, ἐστὶ τοιαύτη. πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια, ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ, τί δή ποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται. οὕτω δὲ μᾶλλον ἐδόκει τοῦ ἀδελφοῦ τι μελεῖν, οὕτω παρακαθεζομένη πλησιαίτερον. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι. διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης ἄρτι, καὶ μόλις καταδαρθεὶς, ἐγγὺς αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο, ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ, Σῖγα, σῖγα λεπτὸν ἴχνος ἀρβύλης. πιθανὴν δὲ εἶναι ταύτην φασὶ τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Ἠλέκτρα.	Ἑλένη.	Πυλάδης.
Ἄγγελος.	Χορός.	Ἑρμιόνη.
Ὀρέστης.	Φρύξ.	Μενέλαος.
Ἀπόλλων.	Τυνδάρεως.	

Προλογίζει δὲ ἡ Ἠλέκτρα, ὡς ἀδελφὴ Ὀρέστου, ἐλεεινολογοῦσα διὰ τὸν Τάνταλον.

ΕΥΡΙΠΙΔΟΥ

ΟΡΕΣΤΗΣ.

ΙΑΜΒΟΙ.

» ΟΥκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
» Οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος,
» Ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,
Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Αέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην.
Ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν,
Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
Ακόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
Οὗτος φυτεύει Πέλοπα, τοῦ δ' Ατρεὺς ἔφυ.
Ὧι στέμματα ξήνασ', ἐπέκλωσεν θεὰ
Ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
Θέσθαι. τί τ' ἄρρητ' ἀναμετρήσασθαί με δεῖ;
Ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ατρεύς.
Ατρέως δὲ, τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας,
Ὁ κλεινὸς, εἰ δὴ κλεινὸς, Αγαμέμνων ἔφυ,
Μενέλεώς τε Κρήσσης μητρὸς Αερόπης ἄπο.
Γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλεως Ἑλένην. ὁ δὲ Κλυταιμνήστρας λέχος
Επίσημον εἰς Ἕλληνας, Αγαμέμνων ἄναξ·
Ὧι παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις, Ιφιγένειά τ', Ηλέκτρα τ' ἐγὼ,
Ἄρσην τ' Ορέστης, μητρὸς ἀνοσιωτάτης,
Ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι,
Ἔκτεινεν. ὧν δ' ἕκατι, παρθένον λέγειν
Οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
Πείθει δ' Ορέστην μητέρ', ἥ σφ' ἐγείνατο,
Κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρων.
Ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεᾷ.
Κἀγὼ μετέσχον, οἷα δὴ γυνὴ, φόνου,

Πυλάδης

Digitized by Google

EVRIPIDIS

ORESTES.

Electra.

,, NVlla eſt oratio ſic dicendo atrox,
,, Neq; calamitas, neq; afflictio diuinitꝰ veniēs,
,, Cuius pondus non ſuſtineat genus humanū.
Nam ille beatus, non exprobro ei fortunam,
Ex Ioue natus, vt dicunt, Tantalus,
Timens ſaxum, quod ſupra caput eius imminet,
Pendens in aere, & luit hanc pœnam,
Sicut dicunt, quod cum eſſet homo cum diis
Habens æqualem dignitatem communis menſæ,
Habuit effrenem linguam, turpiſſimum morbum.
Iſte genuit Pelopem, ex hoc Atreus natus eſt:
Cui dans coronam, deſtinauit Dea
Diſcordiam, vt bellum aduerſus Thyeſten fratrem
Excitaret. quid opus eſt enumerare infanda?
Cuius liberos interficiens Atreus, excepit eū cōuiuio.
Atrei autem, (nam intermedias fortunas taceo)
Ille inclytus filius Agamemnō, ſiquidem erat inclytꝰ,
Et Menelaus ex Aerope Cretenſi matre.
Ducit autem inuiſam diis
Helenē Menelaus. Iſte aūt Clytæmneſtræ cōiugiū,
Clarum apud Græcos, Agamemnon rex:
Cui ex vna ea tres puellæ natæ ſumus,
Chryſothemis, Iphigenia, & ego Electra:
Et maſculus Oreſtes ex matre ſceleratiſſima,
Quæ maritum circūdans inextricabili veſtimento
Interfecit: propter quæ, id virginem dicere
Nō eſt honeſtū. omitto hoc obſcurū cōmuniter conſi-
Sed Phœbi iniuſtitiā q̄d opus eſt accuſare? [derandū
Perſuadet Oreſti, matrem quæ eum genuit
Occidere, non apud omnes adferens laudem.
Tamen is eam occidit, non inobediens Deo:
Et ego eram particeps cædis, vt poteſt mulier,

Et Pylades nos in his adiuuit.
Inde tabeſcens ſæuo morbo languet
Afflictus Oreſtes, cadens in lecto
Iacet, ſanguis enim maternus exagitat eum
Furoribus: (vereor enim nominare deas
Eumenidas, quæ eum certatim perterrent)
Sextus hic dies, ex quo cæde
Moriens mater, purificata eſt corpus igne:
Intra quem neque cibum per collum accepit,
Neque lauacrum dedit corpori, ſed intra veſtem
Occultatus, quando corpus leuatum eſt morbo
Sana mente plorat: aliquando ex lecto
Saltat velox, ſicut equus a iugo.
Decretum autem factum eſt Argis, neque nos tecto,
Neque igni recipere: & ne quis alloquatur
Matricidas. Hæc dies autem eſt dicta,
In qua ferent ſententiam Argiui,
An oporteat nos mori lapidante ſaxo,
An acuto enſe feriri collum.
Habemus aũt quandã ſpẽ quod non ſimus morituri.
Venit enim in patriam Menelaus ex Troia,
Implensque remo portum Nauplicum,
Applicat ad littus, longo tempore e Troia
Vagatus errationibus: & lugubrem
Helenam, obſeruans noctem, (ne quis videns
Venientem interdiu, eorum quorum ad Ilion
Filii perierunt, veniat ad iactus lapidum)
Præmiſit in noſtram domum. eſt autem intus,
Plorans ſororem, & calamitatem domus.
Habet tamen aliquod ſolatium dolorum:
Quã enim reliquit domi, quando ad Troiã nauigabat,
Virginem, matrique meæ alendam tradidit,
Eam Menelaus ducit Hermionen ex Sparta,
Hac lætatur, & obliuiſcitur malorum.
Conſiderabo autẽ totum acceſſum, an poſſim videre
Menelaum venientem: quia in reliquis exigua
Ope vehimur, niſi ab illo
„ Seruemur. Miſera domus eſt res inops conſilii.
Hele. O filia Clytæmneſtræ & Agamemnonis,
Electra virgo longo adulta tempore,

Quo-

Digitized by Google

Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.
Ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ, νοσεῖ
Τλήμων Ὀρέστης. ὁ δὲ πεσὼν ἐν δεμνίοις,
Κεῖται. τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
Μανίαισιν. ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
Ἕκτον δὲ δὴ τόδ' ἦμαρ, ἐξ ὅτου σφαγαῖς
Θανοῦσα μήτηρ, πυρὶ καθήγνισται δέμας·
Ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
Οὐ λοῦτρ' ἔδωκε χρωτί. χλανιδίων δ' ἔσω
Κρυφθείς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
Ἔμφρων δακρύει. ποτὲ δὲ δεμνίων ἄπο
Πηδᾷ δρομαῖος, πῶλος ὡς ἀπὸ ζυγοῦ.
Ἔδοξε δ' Ἄργει τῷδε, μήθ' ἡμᾶς στέγαις,
Μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινὰ
Μητροκτονοῦντας. κυρία δ' ἥδ' ἡμέρα.
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
Εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
Ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
Ἐλπίδα δὲ δή τιν' ἔχομεν, ὥστε μὴ θανεῖν.
Ἥκει γὰρ εἰς γῆν Μενέλεως Τροίας ἄπο.
Λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ,
Ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
Ἄλαισι πλαγχθείς. τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
Μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
Παῖδες τεθνᾶσιν, ἐς πετρῶν ἔλθῃ βολάς,
Προὔπεμψεν εἰς δῶμ' ἡμέτερον. ἔστι δ' ἔσω
Κλαίουσ' ἀδελφὴν, συμφοράν τε δωμάτων.
Ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν.
Ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
Παρθένον, ἐμῇ τε μητρὶ παρέδωκε τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
Ταύτῃ γέγηθε, κἀπιλήθεται κακῶν.
Βλέπω δὲ πᾶσαν εἴσοδον, ποτ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
Ῥώμης ὀχούμεθ', ἢν τι μὴ κείνου πάρα
Σωθῶμεν. ἄπορον χρῆμα, δυστυχῶν δόμος.
Ελ. Ὦ παῖ Κλυταιμνήστρας τε, κἀγαμέμνονος,
Παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,

Πῶς

Πῶς ὦ τάλαινα σύ τε, κασίγνητός τε σὸς,
Τλήμων Ὀρέστης, ματρὸς ὅδε φονεὺς ἔφυ;
Προσφθέγμασι γὰρ οὐ μιαίνομαι σέθεν,
Εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
Καί τοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,
Ἐμῆς ἀδελφῆς· ἣν ἐπεὶ πρὸς Ἴλιον
Ἔπλευσ', ὅπως δ' ἔπλευσα θεομανεῖ πότμῳ,
Οὐκ εἶδον. ἀπολειφθεῖσα δ', αἰάζω τύχας.
ἠλέ. Ἑλένη, τί σοι λέγοιμ' ἂν, ἅ γε παροῦσ' ὁρᾷς,
Ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον;
Ἐγὼ μὲν ἄυπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
Νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς,
Θάσσω. τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά.
Σὺ δ' εἶ μακαρία, μακάριός θ' ὁ σὸς πόσις,
Ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.
ἑλέ. Πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;
ἠλέ. Ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
ἑλέ. Ὦ μέλεος· ἡ τεκοῦσά θ', ὡς διώλετο.
ἠλέ. Οὕτως ἔχει τάδ' ὥστ' ἀπείρηκ' ἐν κακοῖς.
ἑλέ. Πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοι τι παρθένε;
ἠλέ. Ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ.
ἑλέ. Βούλῃ τάφον μοι πρὸς κασιγνήτης μολεῖν.
ἠλέ. Ματρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;
ἑλέ. Κόμης ἀπαρχὰς, καὶ χοὰς φέρουσ' ἐμάς.
ἠλέ. Σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλον στείχειν τάφον;
ἑλέ. Δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
ἠλέ. Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
ἑλέ. Ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
ἠλέ. Αἰδὼς δὲ δή τις ἐς Μυκηναίους ἔχει;
ἑλέ. Δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
ἠλέ. Δεινὸν γὰρ Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.
ἑλέ. Σὺ νῦν χάριν μοι τὸν φόβον λύσασα δός.
ἠλέ. Οὐκ ἂν δυναίμην ματρὸς εἰσβλέψαι τάφον.
ἑλέ. Αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
ἠλέ. Τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
ἑλέ. Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
ἠλέ. Καὶ μὴν τίνοιγ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
ἑλέ. Ὀρθῶς ἔλεξας. πείθομαί τέ σοι κόρη,
Καὶ πέμψομαί γε θυγατέρ'. εὖ γάρ τοι λέγεις.
Ὦ τέκνον ἔξελθ' Ἑρμιόνη δόμων πάρος,

Καὶ

Quomodo ô miſera tu, & frater tuus
Miſer iſte Oreſtes eſt factus homicida matris?
(Non enim polluor tuo alloquio
In Phœbum transferens crimen.)
Lugeo Clytæmneſtræ fatum,
Meæ ſororis: quam poſtquam ad Ilion
Nauigaui, (quocunque modo nauigaui irato fato)
Non vidi, ſed priuata ea, lugeo calamitatem.

Elec. Helena, quid tibi dicam, quæ præſens vides
In calamitatibus eſſe poſteritatem Agamemnonis?
Ego quidem inſomnis, aſſidens miſero mortuo:
(Eſt enim iſte mortuus præter exiguum halitum)
Aſſideo, non exprobro illi mala.
Tu es beata, & tuus maritus beatus:
Veniſtis ad nos miſerrimos.

Hele. Quam longo tempore iacet iſte in lecto?
Elec. Ex quo conſumpſit maternum ſanguinem.
Hele. O miſer, & mater quæ periit.
Elec. Sic habet res, vt deſperauerim in malis.
Hele. Per deos ô virgo obtemperes mihi in aliqua re.
Elec. Atqui ſum occupata aſſidendo fratri.
Hele. Vis mihi accedere ad ſepulchrum ſororis?
Elec. Meæ matris dicis: quam ob cauſam?
Hele. Ferens primitias comæ meæ, & meas inferias.
Elec. An tibi non eſt fas ire ad cognatæ ſepulchrum?
Hele. Erubeſco oſtendere corpus Argiuis.
Elec. Sero recte ſapis, cum tunc inhoneſte reliqueris domũ.
Hele. Recte dixiſti, ſed mihi non amanter.
Elec. Quis pudor habet te inter Mycenæos?
Hele. Metuo patres illorum qui mortui ſunt ad Ilium.
Elec. Atrociter proclamaris paſſim per omniũ ora Argis.
Hele. Tu nunc ſoluens metum, præſtes mihi hoc officium.
Elec. Non poſſum intueri matris ſepulchrum.
Hele. Turpe eſt ancillam ferre hæc.
Elec. Cur non mittis filiam Hermionem?
Hele. Non eſt honeſtum virginibus venire in publicum.
Elec. Atqui ſolueris gratiam pro nutricatione mortuæ.
Hele. Recte dixiſti, obtempero tibi puella,
Et mittam filiam: recte enim ſic dicis.
O filia Hermione exi ante ædes,

Et cape in manus has inferias, & meas comas:
Et veniens ad Clytęmneſtræ ſepulchrum,
Dimitte ibi mel cum lacte mixtum, & vini ſpumã,
Et ſtans in ſummo tumulo dicas iſta:
Helena ſoror donat te his inferiis,
Cum nõ auſit ad tuum monimentũ accedere, metuẽs
Argiuam turbam. & iube ipſam propitiam
Mentem habere mihi & tibi & marito,
Et iſtis duobus miſeris quos perdidit Deus:
Et quæ oportet me facere erga ſororem mortuam,
Omnia promitte dona inferorum.
Abi ô filia, propera, & inferiis ſepulcro
Datis quam celerrime memineris reditus.

Elec. O natura, quam magnum es malum inter homines,
„ Et ſalutaris iis qui ſunt conſecuti bonum.
Videte quomodo præcidit extremos pilos,
Seruans formæ dignitatem, & eſt tamen vetula.
Dii te perdant, quam perdidiſti me,
Et hunc & totam Græciam. ô miſera ego.
Iterum vero accedunt meis lamentis
Charæ ſociæ. fortaſſis excitabunt ex ſomno
Iſtum quieſcentem, & tabefacient meum oculum
Lachrymis, quando video inſanientem fratrem.
O chariſſimæ mulieres tacito pede
Accedite, non ſtrepite, neque ſit fragor.
Tua enim beneuolẽtia eſt mihi quidẽ grata, ſed mihi
Erit calamitas excitari iſtum.

ANTISTROPHICA.

Strophe I.

Ch. Tacite, tacite, ſubtile veſtigium ſoleę
Ponite. non ſtrepite, neque ſit fragor.
El. Procul abite illuc,
Procul mihi a lecto.
Ch. Ecce obtempero. *Elec.* Hei hei ſyringis
Velut ſonus
Tenuis ex arundine, ô chara ſones mihi.
Ch. Ecce ſubmiſſam tanquam per calamum ſibilantem
Profero vocem. *Elec.* Recte ita.
Appelle appelle. Adito tacite,
Tacite ito. Dicas propter quam

Καὶ λάβε χοὰς τάσδ' ἐν χεροῖν, κόμας τ' ἐμάς·
Ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον,
Μελίκρατ' ἄφες γάλακτος, οἰνωπόν τ' ἄχνην,
Καὶ στᾶσ' ἐπ' ἄκρου χώματος, λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
Φόβῳ προσελθεῖν μνῆμα σὸν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον· εὐμενῆ δ' ἀνωγέ νιν,
Ἐμοί τε, καὶ σοὶ, καὶ πόσει γνώμην ἔχειν,
Τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσε θεός.
Ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμὴν,
Ἅπαντ' ὑπισχνοῦ νερτέρων δωρήματα.
Ἴθ' ὦ τέκνον μοι, σπεῦδε, καὶ χοὰς τάφῳ
Δοῦσ', ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
ἠλέ. Ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακὸν,
„ Σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
Εἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας,
Σώζουσα κάλλος, ἔστι δ' ἡ πάλαι γυνή.
Θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας,
Καὶ τόνδε, πᾶσάν θ' Ἑλλάδ'. ὦ τάλαιν' ἐγώ.
Αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
Φίλαι ξυνῳδοί. τάχα μεταστήσουσ' ὕπνου
Τόνδ' ἡσυχάζοντ'. ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
Δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
Ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
Χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
Φιλία γὰρ ἡ σὴ, πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
Τόνδ' ἐξεγεῖραι, συμφορὰ γενήσεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης
Τίθετε. μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος.
ἠλ. Ἀποπρόβατ' ἐκεῖ-
σ', ἀποπρό μοι κοίτας.
χο. Ἰδοὺ πείθομαι. Η. ἆ ἆ, σύριγγος
Ὅπως πνοὰ
Λεπτοῦ δόνακος, ὦ φίλα φώνει μοι.
χο. Ἴδ' ἀτρεμαίαν ὡς ὑπόροφον
Φέρω βοάν. ἠλέ. ναὶ οὕτω
Κάταγε κάταγε πρόσιθ' ἀτρέμας.
Ἀτρέμας ἴθι, λόγον ἀπόδος ἐφ' ὅ, τι

Χρέος ἐμόλετέ ποτε.
Χρόνια γὰρ πεσὼν ὅδ᾽, ἀνιάζεται.

Ἀντιστροφὴ α'.

χο. Πῶς ἔχει; λόγου μετάδος ὦ φίλα.
ἠλέ. Τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
Ἔτι μὲν ἐμπνεῖ,
Βραχὺ δ᾽ ἀναστένει.
χο. Τί φής; ὦ τάλαινα. ἠλέ. ὀλεῖς, εἰ βλέ-
φαρα κινήσεις
Ὕπνου γλυκυτάταν φερομένῳ χαράν.
χο. Ὦ μέλεος, ἐχθίστων θεό-
θεν ἐργμάτων. ὦ τάλας· φεῦ μόχθων.
ἠλ. Ἆ, ἆ. ἄδικος ἄδικα τότ᾽ ἄρ᾽ ἔλακεν
Ἔλακεν, ἀπὸ φόνον ὅτ᾽ ἐπὶ τρίποδι
Θέμιδος ἄρ᾽ ἐδίκασε
Φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.

Στροφὴ β'.

χο. Ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
ἠλ. Σὺ γάρ νιν ὦ τάλαινα
Θωΰξασ᾽, ἔβαλες ἐξ ὕπνου.
χο. Εὕδειν μὲν οὖν νιν ἔδοξα.
ἠλ. Οὐκ ἀφ᾽ ἡμῶν; οὐκ ἀπ᾽ οἴκων
Πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις
Μεθεμένα κτύπου;
χο. Ὑπνώσσει. Η. λέγεις εὖ.

Στροφὴ γ'.

χο. Πότνια πότνια νὺξ,
Ὑπνοδότειρα τῶν
Πολυπόνων βροτῶν,
Ἐρεβόθεν ἴθι·
Μόλε μόλε κατάπτερος
Τὸν Ἀγαμεμνόνειον ἐπὶ δόμον.
Ὑπὸ γὰρ ἀλγέων,
Ὑπό τε συμφορᾶς,
Διοιχόμεθα, διοιχόμεθα.
ἠλ. Κτύπον ἠγάγετε. Χ. οὐχί.
ἠλ. Σῖγα, σῖγα, φυλασσομένα στόματος
Ἀνακέλαδον ἀπὸ λέχεος,
Ἥσυχον ὕπνου χαρὰν παρέξεις, ὦ φίλα.

Ἀντιστροφὴ β'.

χο. 1

Cauſam veniſtis.
Diu enim iacens iſte dormit.

Antiſtrophe I.

Ch. Quomodo habet? dicas ô chara.
El. Quam fortunam dicam, aut quam calamitatem?
Adhuc quidem ſpirat,
Et aliquantulum gemit.
Ch. Quid dicis? ô miſer. *Elec.* Perdes eum ſi pal-
pebras mouebis
Habenti dulciſſimas delicias ſomni.
Ch. O miſer, propter infanda quæ diuini-
tus acciderunt facta, ô miſer.
El. Heu heu iniuſtus iniuſta tunc ergo dixit,
Quando dixit abſurdam cædem in tripode
Themidis, & pronunciauit
Apollo necem meæ matris.

Strophe II.

Ch. Vides? mouet corpus in veſte.
El. Tu eum ô miſera
Vociferans excitaſti e ſomno.
Ch. Puto eum quidem dormire.
El. Non a nobis diſcedis, non ab ædibus
Rurſus tuum pedem volues,
Omittens ſtrepitum?
Ch. Dormit. *Elec.* Recte dicis.

Strophe III.

Ch. O veneranda veneranda nox,
Dans ſomnos
Laborioſis hominibus,
Veni ex erebo,
Veni veni alata
In domum Agamemnonis:
Nam propter dolores
Et calamitates
Perimus, perimus.
El. Facitis ſtrepitum. *Cho.* Non.
El. Tacite, tacite cauens ab ore
Sonitum, a lecto *diſcedens,*
Exhibebis quietum gaudium ſomni, ô chara.

Antiſtrophe II.

Ch. Dic quis erit finis malorum?
El. Mors. quid enim aliud dicam?
Non enim habet deſiderium cibi.
Ch. Manifeſta igitur eſt mors.
El. Perdidit nos Phœbus
Dans miſerum ſanguinem, mutuam necem
Patricidæ matris.
Ch. Iuſte quidem factum, ſed non pulcre.

Antiſtrophe III.

El. Necaſti, necata es ô
Quæ peperiſti me
Mater, perdidiſti vero
Patrem & liberos iſtos
A tuo ſanguine *ſ. cretos.*
Periimus, periimus ſimiles mortuis.
Tu enim es mortua,
Et abit mea
Pars vitæ maior in
Gemitibus & luctibus,
Et lachrymis nocturnis: cælebs,
Et ſine liberis, vitam nempe
Miſera in perpetuum traho.

Chorus.

Virgo Electra accedens prope, vide
Ne tuus frater mortuus fallat te:
Non enim placet mihi nimia eius remiſſio.
Ore. O dulce demulcens ſomnè, remedium morbi,
Quam ſuauis mihi aduenisti opportuno tempore.
„ O veneranda obliuio malorum, quam es ſapiens,
„ Et optanda dea calamitoſis.
Quomodo veni huc? quomodo veni?
Sum enim oblitus priorum priuatus mente.
Elec. O chariſſime, quam exhilaraſti me, cum obdormiiſſes.
Vis vt contrectem te, & erigam corpus?
Ore. Attingas, attingas ſane, & abſterge a miſero
Ore & oculis meis ſpumam concretam.
Elec. Ecce ſuaue officium, & non recuſo
Fraterna membra curare ſororia manu.
Ore. Subiice lateribus latera, & ſqualidam comam
Aufer a facie: obſcure enim video oculis.

Elec.

χο. Φράζε, τίς κακῶν τελευτὰ μένει;
ἠλ. Θανεῖν. τί δ' ἄλλο γ' εἴπω;
Οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
χο. Πρόδηλος ἄρ' ὁ πότμος.
ἠλ. Ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς
Μέλεον ἀπόφονον αἷμα δοὺς
Πατροφόνου ματέρος.
χο. Δίκαια μὲν, καλῶς δ' οὔ.

Ἀντιστροφὴ γ'.

ἠλ. Ἔθανες, ἔθανες ὦ
Τεκομένα με
Μᾶτερ, ἀπὸ δ' ὤλεσας
Πατέρα, τέκνα τε τάδε
Σέθεν ἀφ' αἵματος.
Ὀλόμεθα, ὀλόμεθ' ἰσονέκυες.
Σὺ γάρ τ' ἐν νεκροῖς·
Τό, τ' ἐμὸν οἴχεται
Βίου τὸ πλέον μέρος ἐν
Στοναχῆσί τε καὶ γόοις,
Δάκρυσί τ' ἐννυχίοις. ἄγαμος,
Ἐπὶ δ' ἄτεκνος, ἅτε βίοτον
Ἁ μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.

ΙΑΜΒΟΙ.

χο. Ὅρα παροῦσα παρθέν' Ἠλέκτρα πέλας,
Μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε.
Οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.
ὀρέ. Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
Ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.
„ Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
„ Καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
Πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
Ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
ἠλέ. Ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
Βούλει θίγω σου, κἀνακουφίσω δέμας;
ὀρέ. Λαβοῦ λαβοῦ δῆτ'. ἐκ δ' ὄμορξον ἀθλίου
Στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.
ἠλέ. Ἰδοὺ τὸ δούλευμ' ἡδύ. κοὐκ ἀναίνομαι
Ἀδελφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
ὀρέ. Ὑπόβαλε πλευροῖς πλευρά. καὶ αὐχμώδη κόμην
Ἄφελε προσώπου. λεπτὰ γὰρ λεύσσω κόραις.

ἠλέ. Ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
Ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
ὀρέ. Κλῖνόν μ' ἐς εὐνὴν αὖθις. ὅταν μ' ἀνῇ νόσος
Μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
ἠλέ. Ἰδού. φίλον τοι τῷ νοσοῦντι δέμνιον·
„ Ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
ὀρέ. Αὖθις μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας.
χο. Δυσάρεστοι οἱ νοσοῦντες, ἀπορίας ὕπο.
ἠλέ. Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
„ Χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
ὀρέ. Μάλιστα. δόξαν γὰρ τόδ' ὑγιείας ἔχει.
„ Κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ἠλέ. Ἄκουε δὴ νῦν ὦ κασίγνητον κάρα,
Ἕως ἐῶσί σ' εὖ φρονεῖν Ἐρινύες.
ὀρέ. Λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
Εἰ δ' εἰς βλάβην τιν', ἅλις ἔχω τοῦ δυστυχεῖν.
ἠλέ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός.
Ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.
ὀρέ. Πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς;
Ἀνὴρ ὁμογενὴς, καὶ χάριτας ἔχων πατρός;
ἠλέ. Ἥκει. τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.
ὀρέ. Εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
„ Εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ἠλέ. Ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν ψόγον
Γένος θυγατέρων, δυσκλεές τ' ἀν' Ἑλλάδα.
ὀρέ. Σύ νυν διάφερε τῶν κακῶν. ἔξεστι γάρ.
Καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.
ἠλέ. Οἴμοι κασίγνητ', ὄμμα σὸν ταράσσεται,
Ταχὺ δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ὀρέ. Ὦ μῆτερ, ἱκετεύω σε μὴ 'πίσειέ μοι
Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.
Αὗται γὰρ, αὗται πλησίον θρώσκουσί μου.
ἠλέ. Μέν' ὦ ταλαίπωρ' ἀτρέμα σοῖς ἐν δεμνίοις.
Ὁρᾷς γὰρ οὐδὲν, ὧν δοκεῖς σάφ' εἰδέναι.
ὀρέ. Ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
Γοργῶπες, ἐνέρων ἱέρειαι, δειναὶ θεαί.
ἠλέ. Οὔτοι μεθήσω. χεῖρα δ' ἐμπλέξασ' ἐμὴν,
Σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.
ὀρέ. Μέθες, μί' οὖσα τῶν ἐμῶν Ἐριννύων

Μέσον

Elec. O miſerum caput,ſordidis cincinnis,
Quam ès horridum,quia diu non es lotum.
Ore. Iterũ reclines me in lectum.quãdo me dimittit morb.
Inſaniæ,ſum debilis,& languent membra.
Elec. Ecce,lectulus eſt charus ægrotanti:
,, Moleſta poſſeſſio,ſed tamen neceſſaria.
Ore. Iterum erigas me,& extendas corpus.
Cho. Ægroti ſunt impatientes propter perturbationem.
Elec. Vis componere pedes in terra, [rerum grata eſt.
,, Ponens veſtigium ex lõgo interuallo. Viciſſitudo oĩm
Ore. Maxime,hoc enim habet opinionem ſanitatis.
,, Præſtat putare,etiamſi reuera non ita ſit.
Elec. Audi nunc ô frater,
Donec ſinunt te ſapere Erinnyes.
Ore. Quid dices noui?ſi quidem bonum eſt,gratum erit:
Sin malum,ſatis antea habeo malorum.
Elec. Menelaus venit tui patris frater.
Tabulæ vero nauium ſtant in portu Nauplio.
Ore. Quid dicis,venit lumen meis & tuis malis,
Vir cognatus,& habens beneficia a patre?
Elec. Venit,(accipe hoc argumentum meæ orationis:)
Ducens Helenam ex Troiana vrbe.
Ore. Si ſolus eſſet ſeruatus,eſſet felicior.
,, Si autem ducit vxorem,venit cum ingenti malo.
Elec. Tyndarus genuit inſigne ad vituperationem
Genus filiarum,& infame per Græciam.
Ore. Tu ergo eſto diſſimilis malarum mulierũ: licet enim.
Et non dicas tantum , ſed & iſta ſenti.
Elec. Heu mihi ô frater,oculus tuus turbatur,
Cito mutatus es in rabiem, modo ſanus.
Ore. O mater,precor te,ne incutias mihi
Puellas cruẽtas , & quarũ comæ habẽt ſpeciẽ ſerpentũ.
Iſtæ enim, iſtæ ſaliunt prope me.
Elec. Mane ô miſer quietus in tuo lecto,
Nihil enim vides eorum quæ putas te videre.
Ore. O Phœbe,occidẽt me habẽtes caninam ſpeciem,
Toruum tuentes,inferorum ſacrificulæ,atroces Deæ.
Elec. Non dimittam te,implicans vero meam manum,
Prohibebo te ſaltare infelices ſaltus.
Ore. Dimitte tu vna exiſtens ex meis furiis,

Medium

Digitized by Google

Medium me tenes, vt abiicias in Tartarum.
Elec. O miſera ego, vnde petam auxilium,
Poſtquam habemus deum inimicum?
Ore. Da mihi arcum corneum, dona Apollinis,
Quibus me iuſſit Apollo depellere deas,
Si me perterrefacerent furore, rabie.
Elec. An ſauciabitur aliqua dearum mortali manu?
Ore. Si non diſcedet ab oculis meis.
Non auditis? non videtis eminus ferientium
Arcuum alata tela euibrata?
Ah, ah. quid cunctamini euolare in ætherem
Alis, & accuſare oracula Phœbi?
Eia quare deficio animo, emittẽs ſpiritũ ex pulmone?
Quo, quonam aberraui a lecto?
Ex fluctibus rurſus tranquillitatem video.
Elec. Frater quid ploras caput ponens intra veſtem?
Ore. Pudet me, quod tibi communico meos labores,
Præbens moleſtiam tibi virgini meo morbo.
Ne contabeſcas propter mea mala.
Nam tu quidem approbaſti hæc, ſed ego feci
Maternam cædem: accuſo autem Apollinem,
Qui me incitans in opus impiiſſimum,
Verbis quidem me conſolatus eſt, non autem re.
Puto autem ſi patrem meum coram
Ipſum interrogaſſem, an eſſet interficienda mater,
Extruſurum fuiſſe multas preces ad has genas,
Ne adigerem gladium in iugulum matris:
Siquidem neque ipſe eſſet recepturus vitam,
Et ego miſer futurus in tantis malis.
Nunc retege ô ſoror,
Et abi a lachrymis, quanquam admodum miſere
Sumus affecti. Et quando vides me deficere animo,
Tu malum meum & corruptum ſenſum
Coerce & conſolare: quando tu ploras,
Nos præſentes oportet te admonere, ô chara.
„ Iſta mutua officia decent amicos.
Sed ô miſera vadens intra domum
Porrecta da ſomno iam diu inſomnes palpebras,
Et ſume cibum, & laua corpus:
Si enim deſeres me, aut propter aſſiduitatẽ morbum

Tibi

Μέσον μ' ὀχμάζεις, ὡς βάλῃς εἰς τάρταρον.
ἠλέ. Οἴ 'γὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
Ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
ὀρέ. Δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
Οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς,
Εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασι.
ἠλέ. Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;
ὀρέ. Εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
Οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
Τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
Ἆ, ἆ. τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
Πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα.
Ἔα. τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
Ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
ἠλέ. Σύγγονε, τί κλαίεις κρᾶτα θεὶς ἔσω πέπλων;
ὀρέ. Αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
Ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
Μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν.
Σὺ μὲν γὰρ ἐπένευσας τόδ', εἴργασται δ' ἐμοὶ
Ματρῷον αἷμα. Λοξίᾳ δὲ μέμφομαι,
Ὅστις μ' ἐπάρας εἰς ἔργον ἀνοσιώτατον,
Τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.
Οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ' ὄμματα
Ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρή,
Πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτάς,
Μήποτε τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος,
Εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἤμελλε φῶς,
Ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
Καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
Ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
Ἔχομεν. ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
Σύ μοι τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
Ἴσχανε, παραμυθοῦ θ'. ὅταν δὲ σὺ στένῃς,
Ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα.
» Ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
Ἀλλ' ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
Ὕπνῳ τ' ἄυπνον βλέφαρον ἐκταθεῖσα δός,
Σῖτόν τ' ὄρεξαι, λουτρά τ' ἐπὶ χροῒ βάλε.
Εἰ γὰρ προλείψεις μ', ἢ προσεδρίᾳ νόσου

Κτήσῃ

Κτήσῃ τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
Ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.
Ἠλέ. Οὐκ ἔστι. σὺν σοὶ κατθανεῖν αἱρήσομαι,
Καὶ ζῆν. ἔχει γὰρ ταὐτόν. ἢν σὺ κατθάνῃς,
Γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι;
Ἀνάδελφος, ἀπάτωρ, ἄφιλος. εἰ δὲ σοι δοκεῖ,
Δρᾷν χρὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
Καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
Ἄγαν ἀποδέχου· μένε δ' ἐπὶ στρωτοῦ λέχους.
Κἂν μὴ νοσῇς γάρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
Κάματος βροτοῖσιν ἀπορία τε γίνεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Αἶ, αἶ.
2 Δρομάδες ὦ πτεροφόροι,
3 Ποτνιάδες θεαί,
4 Ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
5 Δάκρυσι, καὶ γόοις,
6 Μελάγχρωτες εὐμενίδες, αἵ τε
7 Τὸν ταναὸν αἰθέρ' ἀμπάλλεσθ' αἵματος
8 Τινύμεναι δίκαν, τινύμεναι φόνον,
9 Καθικετεύομαι, καθικετεύομαι,
10 Τὸν Ἀγαμέμνονος γόνον ἐάσατ' ἐκ-
11 λαθέσθαι λύσσας μανιάδος
12 Φοιταλέου. φεῦ μόχθων,
13 Οἵων ὦ τάλας ὀρεχθεὶς, ἔρρεις,
14 Τρίποδος ἀπὸ φάτιν, ἃν ὁ Φοῖβος
15 Ἔλακεν, ἔλακε, δεξάμενος ἀνὰ δάπεδον,
16 Ἵνα μεσόμφαλοι λέγονται μυχοὶ γᾶς.

Ἀντιστροφή.

1 Ἰὼ Ζεῦ,
2 Τίς ἔλεος; τίς ὅδ' ἀγὼν
3 Φόνιος ἔρχεται,
4 Θοάζων σε τὸν μέλεον; ᾧ δάκρυα
5 Δάκρυσι συμβάλλει
6 Πορεύων τις εἰς δόμους ἀλαστόρων
7 Ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει.
8 Κατολοφύρομαι, κατολοφύρομαι.
„ 9 Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς.
„ 10 Ἀνὰ δὲ λαῖφος ὥς τις ἀκάτου θοᾶς

11 Τίνα-

Digitized by Google

Tibi conciliabis, periimus: te enim ſolam habeo
Auxiliatricem, ab aliis, vt vides, deſertus.
Elec. Non ita erit. tecum volo mori,
Et viuere: idem enim eſt. ſi tu moriaris,
Quid faciam mulier? quomodo ſola ſeruabor?
Sine fratre, ſine patre, ſine amicis. Sed ſi tibi videtur,
Oportet iſta facere. Sed reclina corpus in lectum,
Et non terrorem, & id quod te exterret ex lecto,
Facile admittas. mane in lecto:
Etiamſi enim non ægrotes, ſed videaris ægrotare:
Angor animi, fit morbus hominibus.

ANTISTROPHICA.

Strophe.

Ch. Hei, hei,
O celeres alatæ
Furioſæ deæ,
Quæ nactæ eſtis thyrſum diſſimilem Bacchico
In lachrymis & luctibus,
Atræ Eumenides, &
Per latum aerem volantes, ſanguinis
Vlciſcentes pœnam, vlciſcentes cædem,
Supplico, ſupplico,
Sinite filium Agamemnonis ob-
liuiſci rabiem, inſaniam
Furioſam. hei quales
Labores miſer concupiſcens peris?
Oraculum ex tripode, quod Phœbus
Dixit, dixit, accipiens in ſolo,
Vbi dicitur eſſe vmbilicus terræ.

Antiſtrophe.

Hei Iupiter,
Quæ miſericordia? quale hoc certamen
De cæde venit,
Impellens te miſerum, cui lachrymas
Lachrymis addit
Aliquis malus genius, ducens in domum
Sanguinem matris tuæ, qui te exagitat.
Lamentor, lamentor.
„ Magna fortuna non eſt ſtabilis inter homines.
„ Et ſicut velum nauiculæ celeris

Ex-

Excutiens Deus, demergit,
Ingentium ærumnarum tanquam ponti
In fluctus vehementes exitiales.
Quam enim hactenus familiam aliam
Diuerſam, quam hanc a diuinis nuptiis
Et a Tantalo ortam oportet me colere?

Atqui rex huc venit
Menelaus dominus: ex multa dignitate corporis
Conſpici poteſt,
Quod ſit ex familia Tantalidum.
O qui applicuiſti exercitum mille nauium
In Aſiam,
Salue. tu es felix,
Cum diuinitus effeceris quæ optaſti.

Menelaus.

O domus, partim libenter te aſpicio,
Veniens ex Troia, partim videns gemo.
Nam in orbem circumdatam miſerandis malis
Nunquam vidi magis aliam domum.
Etenim Agamemnonis fortunam cognoui,
Et mortem qua ab vxore periit,
Ad Maleam admouens nauem. ex fluctibus vero
Nautarum vates dixit mihi
Nerei propheta Glaucus, verax Deus,
Qui mihi hæc dixit aſtans clare:
Menelae iacet tuus frater mortuus,
Incidens in vltima balnea vxoris:
Et impleuit me & nautas meos lachrymis
Multis. poſtquam autem attigi terram Naupliam,
Ibi iam huc tendente mea coniuge,
Cum ſperarem Oreſtem filium Agamemnonis,
Et matrem charis complecti brachiis
Tanquam florentes, audiui ex quodam piſcatore,
Cædem impiam filiæ Tyndari.
Et nunc ô iuuenculæ dicite vbi eſt
Agamemnonis filius, qui ſuſtinuit iſta magna mala?
Erat enim infans tunc in manibus Clytæmneſtræ,
Cum reliqui domum, vadens ad Troiam:
Quare non noſſem eum intuens.

Ore.

»» 11 Τινάξας δαίμων, κατέκλυσε,
»» 12 Δεινῶν πόνων, ὡς πόντου
»» 13 Λάβροις ὀλεθρίοισιν ἐν κύμασι.
14 Τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον
15 Ἕτερον, ἢ τὸν ἀπὸ θεογόνων γάμων
16 Τῶν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;

ΑΝΑΠΑΙΣΤΟΙ.

Καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει
Μενέλαος ἄναξ· πολλῇ δ' ἁβροσύνῃ
Δῆλος ὁρᾶσθαι,
Τῶν Ταντάλιδῶν ἐξ αἵματος ὤν.
Ὦ χιλιόναυν στρατὸν ὁρμήσας
Εἰς γῆν Ἀσίαν,
Χαῖρ'. εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
Θεόθεν πράξας ἅπερ ηὔχου.

ΙΑΜΒΟΙ.

Με. Ὦ δῶμα, τῇ μὲν σ' ἡδέως προσδέρκομαι,
Τροίαθεν ἐλθών· τῇ δ' ἰδὼν καταστένω.
Κύκλῳ γὰρ εἰληθεῖσαν ἀθλίοις κακοῖς,
Οὔπω ποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην,
Καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῴραν. ἐκ δὲ κυμάτων
Ὁ ναυτίλοισι μάντις, ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός,
Ὅς μοι τάδ' εἶπεν ἐμφανῶς παρασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών,
Λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις.
Δακρύων τ' ἔπλησεν ἐμέ τε, καὶ ναύτας ἐμοὺς
Πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός,
Ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
Δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος,
Φίλαισι χερσὶ περιβαλεῖν, καὶ μητέρα,
Ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
Τῆς Τυνδαρείας θυγατρὸς ἀνόσιον φόνον.
Καὶ νῦν ὅπου 'στιν, εἴπατ' ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
Βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν,
Ὅτ' ἐξέλιπον μέλαθρον, ἐς Τροίαν ἰών·
Ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.

ὀρέ.

ὀρέ. Ὅδ᾽ εἰμ᾽ Ὀρέστης Μενέλεως, ὃν ἱστορεῖς,
Ἑκὼν ἐγώ σοι τἀμὰ σημανῶ κακά.
Τῶν σῶν δὲ γονάτων προσβολὰ θιγγάνω,
Ἱκέτης ἀφύλλου στόματος ἐξάπτων λιτάς.
Σῶσόν μ᾽. ἀφῖξαι δ᾽ αὐτὸς εἰς καιρὸν κακῶν.
με. Ὦ θεοὶ, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
ὀρέ. Εὖ γ᾽ εἶπας. οὐ γὰρ ζῶ κακοῖς, φάος δ᾽ ὁρῶ.
με. Ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν τάλας.
ὀρέ. Οὐχ ἡ πρόσοψίς μ᾽, ἀλλὰ τἄργ᾽ αἰκίζεται.
με. Δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ὀρέ. Τὸ σῶμα φροῦδον, τὸ δ᾽ ὄνομ᾽ οὐ λέλοιπέ με.
με. Ὦ παράλογόν μοι σὴ φανεῖσ᾽ ἀμορφία.
ὀρέ. Ὅδ᾽ εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
με. Ἤκουσα. φείδου δ᾽ ὀλιγάκις λέγειν κακά.
ὀρέ. Φειδόμεθ᾽. ὁ δαίμων δ᾽ εἰς ἐμὲ πλούσιος κακῶν.
με. Τί χρῆμα πάσχεις; τίς σ᾽ ἀπόλλυσι νόσος;
ὀρέ. Ἡ σύνεσις, ὅτι σύνοιδα δείν᾽ εἰργασμένος.
με. Πῶς φῄς; σοφόν τοι τὸ σαφὲς, οὐ τὸ μὴ σαφές.
ὀρέ. Λύπη μάλιστά δ᾽ ἡ διαφθείρουσά με.
με. Δεινὴ γὰρ ἡ θεὸς, ἀλλ᾽ ὅμως ἰάσιμος.
ὀρέ. Μανίαι τε, μητρός τ᾽ αἵματος τιμωρίαι.
με. Ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ᾽ ἦν;
ὀρέ. Ἐν ᾗ τάλαιναν μητέρ᾽ ἐξώγκουν τάφῳ.
με. Πότερα κατ᾽ οἴκους, ἢ προσεδρεύων πυρᾷ;
ὀρέ. Νυκτὸς, φυλάσσων ὀστέων ἀναίρεσιν.
με. Παρῆν τις ἄλλος, ὃς σὸν ὤρθου δέμας;
ὀρέ. Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
με. Ἐκ φασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ὀρέ. Ἔδοξ᾽ ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
με. Οἶδ᾽ ἃς ἔλεξας, ὀνομάσαι δ᾽ οὐ βούλομαι.
ὀρέ. Σεμναὶ γάρ. ἀπαίδευτα δ᾽ ἀποτρέπου λέγειν.
με. Αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ὀρέ. Οἴμοι διωγμῶν, οἷς γ᾽ ἐλαύνομαι τάλας.
με. Οὐ δεινὰ, πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ὀρέ. Ἀλλ᾽ ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς.
με. Μὴ θάνατον εἴπῃς. τοῦτο μὲν γὰρ οὐ σοφόν.
ὀρέ. Φοῖβος κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
με. Ἀμαθέστερός ὢν τοῦ καλοῦ καὶ τῆς δίκης;
ὀρέ. Δουλεύομεν θεοῖς, ὅ,τι ποτ᾽ εἰσὶ θεοί.
με. Κᾆτ᾽ οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;

Ore. Ille ſum Menelae Oreſtes, de quo tu quæris,
Volens dicam tibi mea mala.
Attingens primum tua genua:
Supplex accommodans preces oris, ſine ramis:
Serua me, adueniſti ipſe in ipſo articulo malorum.
Me. O dei, quid video, quem mortuorum video?
Ore. Recte dixiſti: nō enim viuo p̄ malis quanq̃ video lucē.
Me. Quam es horridus ſqualidam comam ô miſer?
Ore. Non ſpecies, ſed facta me cruciant.
Me. Horribiliter vides ſiccis pupillis oculorum.
Ore. Corpus euanidum eſt. ſed nomen nō reliquit me.
Me O deformitas apparens mihi præter opinionem.
Ore. Hic ſum matris meæ miſeræ homicida.
Me. Audiui, parce dicere mala vel raro.
Ore. Parco. dæmon autem eſt diues malus aduerſus me.
Me. Quid tibi accidit? quis morbus te perdit?
Ore. Conſcientia, quod ſum mihi conſcius feciſſe atrocia.
Me. Quomodo inq̃s? quod .n. ſapienter dicitur, clarū eſt, [non obſcurum.
Ore. Triſtitia maxime conſumit me.
Me. Eſt ſæua dea, ſed tamen placabilis.
Ore. Etiam furores, qui vlciſcuntur matris cædem.
Me. Quando incepiſti furere? quæ dies tum erat?
Ore. Qua die miſeram matrem oneraui tumulo.
Me. An domi, an aſſidens ad rogum?
Ore. Noctu cuſtodiens collectionem oſſium.
Me. Aderat aliquis, qui confirmaret tuum corpus?
Ore. Pylades, qui ſimul fecit cædem matris.
Me. A quibus ſpectris ſic affectus es?
Ore. Viſus ſum tres puellas videre nocti ſimiles.
Me. Noui quas dixiſti: nuncupare autem nolo.
Ore. Atroces enim ſunt. inſipide ne dixeris, caue.
Me. Ipſæ te ob matris cædem exagitant?
Ore. Hei perſecutionem, qua miſer exagitor.
Me. Non paterentur dira, qui fecerunt dira?
Ore. Sed eſt nobis translatio caſus.
Me. Non dicas necē: hoc enim nō eſt ſapienter dictum.
Ore. In Phœbum iubentem perficere matris cædem.
Me. Stultior, quam vt ſciat honeſtum & ius?
Ore. Seruimus diis, quicquid ſunt dii.
Me. An non iuuat Apollo te in his malis?

Digitized by Google

Ore. Cunctatur. dii autem ſunt tales natura.
Me. Quam diu eſt, quod mater extincta eſt?
Ore. Sextus hic dies eſt, rogus adhuc calet ſepulchri.
Me. Quam cito a te Eumenides repoſcũt ſanguinẽ matris?
Ore. Non ſapienter, vera dicens, malus es erga amicos.
Me. Quid tibi conducit vindicta patris?
Ore. Nondum. Id quod cunctatur, eſt ſimile inutili.
Me. Quomodo ciuitas eſt erga te affecta cum hæc feceris?
Ore. Sic ſum in odio, vt nemo me alloquatur.
Me. Non purificaſti ab illo ſanguine manus iuxta leges?
Ore. Eiicior ex omnibus domibus quo vado.
Me. Qui ciues certant te eiicere ex terra?
Ore. Oeax, imputans patri odiũ, quod cõcepit ad Troiam.
Me. Intelligo. Vlciſcitur te ob necem Palamedis.
Ore. Non tamen eram eius particeps: per tres pereo.
Me. Quis eſt alius? an aliquis ex Ægiſthi amicis?
Ore. Iſti me perſequuntur, quos nunc audit ciuitas.
Me. Sinit te ciuitas habere ſceptra Agamemnonis?
Ore. Quomodo, qui non ſinunt me amplius viuere?
Me. Quid facientes, quod clare dicere
Mihi queas?
Ore. Calculus feretur contra nos hoc die.
Me. An vt concedas in exilium, vel interficiaris, vel non?
Ore. Vt interficiar a ciuibus lapidatione.
Me. At cur non fugis vltra terminos terræ?
Ore. Circumdamur enim vndique æneis armis,
Me. Priuatim ab hoſtibus, an ab ciuitate Argiua?
Ore. Breuiter, ab omnibus ciuibus, vt interficiar.
Me. O miſer venis in extremam calamitatem.
Ore. Mea ſpes habet refugium malorum in te.
Sed veniens fortunatus miſeris,
Amicis imperti de tua felicitate:
Et non ſolus teneto, cum acceperis beneficium,
Sed ſuſcipe & labores per vices
Perſoluens paternũ beneficium illis quibus oportet.
„ Nomen, non rem habent amici,
„ Qui non in calamitatibus ſunt amici.
Cho. Atqui huc contendit ſenili pede
Spartiates Tyndareus in nigra veſte,
Raſus lugubri modo propter filiam.

Ore

Digitized by Google

ὀρέ. Μέλλει. Τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
μεν. Πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ὀρέ. Ἕκτον τόδ' ἦμαρ, ἔτι πυρὰ θερμὴ τάφου.
μεν. Ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί.
ὀρέ. Οὐ σοφὸς, ἀληθὴς δ' εἰς φίλους ἔφυς κακός.
μεν. Πατρὸς δὲ δή τι σ' ὠφελεῖ τιμωρία;
ὀρέ. Οὔπω. Τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
μεν. Τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις, δράσας τάδε;
ὀρέ. Μισούμεθ' οὕτως, ὥστε μὴ προσεννέπειν.
μεν. Οὐδ' ἥγνισταί σον αἷμα κατὰ νόμους χεροῖν;
ὀρέ. Ἐκβάλλομαι γὰρ δωμάτων ὅποι μολῶ.
μεν. Τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
ὀρέ. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
μεν. Συνῆκα. Παλαμήδους σε τιμωρεῖ φόνου.
ὀρέ. Οὔκουν μετῆν μοι, διὰ τριῶν δ' ἀπόλλυμαι.
μεν. Τίς δ' ἄλλος; ἦ που τῶν ἀπ' Αἰγίσθου φίλων;
ὀρέ. Οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τανῦν κλύει.
μεν. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ὀρέ. Πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
μεν. Τί δρῶντες, ὅ,τι καὶ σαφὲς εἰπεῖν
Ἔχεις ἐμοί;
ὀρέ. Ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
μεν. Φεύγειν πόλιν τήνδ'; ἢ θανεῖν, ἢ μὴ θανεῖν;
ὀρέ. Θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
μεν. Κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβαλὼν ὅρους;
ὀρέ. Κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
μεν. Ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείας χθονός;
ὀρέ. Πάντων πρὸς ἀστῶν, ὡς θάνω, βραχὺς λόγος.
μεν. Ὦ μέλεος, ἥκεις συμφορᾶς εἰς τοὔσχατον.
ὀρέ. Εἰς σ' ἐλπὶς ἡμὴ καταφυγὰς ἔχει κακῶν.
Ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν,
Μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
Καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
Ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
Χάριτας πατρῴας ἐκτίνων εἰς οὕς σε δεῖ.
„ Ὄνομα γὰρ, ἔργον δ' οὐκ ἔχουσιν, οἱ φίλοι,
„ Οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
χο. Καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
Ὁ Σπαρτιάτης Τυνδάρεως μελάμπεπλος,
Κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.

ὀρέ. Ἀπωλόμην Μενέλαε, Τυνδάρεως ὅδε
Στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
Εἰς ὄμματ' ἐλθεῖν, τοῖσιν ἐξειργασμένοις.
Καὶ γάρ μ' ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
Φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
Παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα
Τιμῶντέ μ' οὐδὲν ἧσσον, ἢ Διοσκόρω,
Οἷς ὦ τάλαινα καρδία, ψυχή τ' ἐμὴ,
Ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς. τίνα σκότον
Λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
Θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;
τυν. Ποῦ ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
Χοὰς χεόμενος, ἔκλυον ὡς εἰς Ναυπλίαν
Ἥκει σὺν ἀλόχῳ πολυετὴς σεσωσμένος.
Ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
Στὰς, ἀσπάσασθαι χρόνιον εἰσιδὼν φίλον.
με. Ὦ πρέσβυ χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
τυν. Ὦ χαῖρε καὶ σὺ Μενέλεως, κῆδευμ' ἐμόν.
» Ἔα. Τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
Ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
Στίλβει νοσώδεις ἀστραπὰς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγῃ νιν, ἀνόσιον κάρα;
με. Τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
τυν. Κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
με. Πέφυκεν. εἰ δὲ δυστυχεῖ, τιμητέος.
τυν. Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
με. Ἑλληνικόν τι, τὸν ὁμόθεν τιμᾶν ἀεί.
τυν. Καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
με. Πᾶν τοὐξ ἀνάγκης, δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.
τυν. Κέκτησο νῦν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.
με. Ὀργὴ γὰρ ἅμα σου, καὶ τὸ γῆρας, οὐ σοφόν.
τυν. Πρὸς τόνδ' ἀγὼν τίς σοφίας ἥκει πέρι;
Εἰ τὰ καλὰ πᾶσι φανερὰ, καὶ τὰ μὴ καλά.
Τούτου τίς ἀνδρῶν γένετ' ἀσυνετώτερος;
Ὅστις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο,
Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον.
Ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
Πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα,
Αἴσχιστον ἔργον, οὐ γὰρ αἰνέσω ποτὲ,

Χρῆν

Ore. Perii Menelae, Tyndareus iſte
Accedit ad nos, cuius maxime vereor
In conſpectum venire propter hæc facta:
Nam me aluit paruulum, & multa
Oſcula impleuit, Agamemnonis
Filium vlnis geſtans, & cum Leda
Honorans me non minus quam Iouis filios,
Quibus ô infelix cor & anima mea
Reddidi non bonam gratiam: quam caliginem
Accipiam vultui? quam nebulam ante me
Ponam fugiens pupillas oculorum ſenis?
Tyn. Vbi, vbi videam maritum meæ filiæ
Menelaum? nam ad Clytæmneſtræ ſepulchrum
Inferias fundens audiui quod in Naupliam
Venit cum vxore ſeruatus poſt multos annos.
Ducite me: nam volo ad dextram ipſius
Stans ſalutare amicum videns ex longo interuallo.
Me. O ſenex ſalue, habens eandem coniugem cum Ioue.
Tyn. O ſalue & tu Menelae meus affinis.
„ Heu, quam malum eſt non ſcire futura.
Iſte matricida draco ante ædes
Vibrat fulgura morboſa, inuiſus mihi.
Menelae, alloqueris eum pollutum?
Me. Quid ni? eſt filius mei fratris.
Tyn. An cum talis ſit, ex illo natus eſt?
Me. Natus eſt: ſi aũt eſt in calamitate, tamen curandus eſt.
Tyn. Factus es barbarus, diu degens inter barbaros.
Me. Imo hoc eſt Græcum, curare cognatum.
Tyn. Et illud eſt Græcum, nõ velle eſſe ſuperiorem legibus.
Me. Omni neceſſitate ſeruiunt ſapientes.
Tyn. Habeas tu hoc, ego non habebo.
Me. Simul ſunt apud te ira & ſenectus, vtrũq; nõ eſt ſapiẽs.
Tyn. Quæ diſputatio ſapiens ſit de iſto?
Si recta ſunt omnibus manifeſta, etiam non recta.
Quis homo eſt iſto ſtultior,
Qui non conſiderauit ius,
Neque venit in legem communem Græcorum?
Poſtquam enim Agamemnon expirauit vitam,
Percuſſus in capite a mea filia
Turpi facinore, (nunquam enim id laudabo)

Oportebat Oreſtẽ infligere pœnã *profuſi* ſanguinis
Iuſtam, accuſandoque eiicere ex ædibus
Matrem: accepiſſet. n. laudem modeſtiæ in calamitate,
Et legem ſeruaſſet, & eſſet pius.
Nunc venit in eandem infelicitatem ſicut mater.
Nam iure exiſtimans illam eſſe malam,
Ipſe factus eſt deterior, interficiens matrem.
Interrogabo te hoc Menelae:
Si interficeret aliquem tua coniunx,
Et illius filius rurſus interficiat matrem,
Et natus ex interfectore illo, cædem cæde
Soluat, finis malorum quouſque procedet?
„ Recte poſuerunt maiores olim hæc,
„ Non ſinebant in conſpectum venire,
„ Neq; in occurſum, quiſquis forte reus eſſet ſanguinis:
„ Sed expiabant exilio, non viciſſim occidere ſinebant.
Semper enim vnus cædi foret obnoxius
Extremam contaminationem accipiens manibus.
Ego vero vtique odi impias mulieres,
Et primum filiam quæ occidit maritum,
Et Helenam tuam coniugem nunquam laudabo,
Neque alloquar, neque te laudo malæ
Mulieris gratia veniſſe ad Troiam.
Defendam autem quantum poſſum legem:
Beſtialem hunc & homicidialem morem
Tollens, qui ſemper perdit terras & vrbes.
Nam, quo animo eras ô miſer tunc,
Quando exeruit vbera ſupplicans tibi
Mater? ego qui non vidi illa mala,
Tabefacio miſer ſenilem oculum lachrymis.
Vnum ergo confirmat meam ſententiam:
Inuiſus es diis, & matri das pœnam,
Errans furore & pœna. quid teſtes
Alios me audire opus eſt de rebus quas poſſumus videre?
Vt ergo ſcias Menelae, Deos
Contra ne facias, volens iuuare iſtum:
Et ſinas a ciuibus interfici ſaxis,
Aut non accede in Spartanam terram.
Mea filia mortua, perſoluit iuſta:
Sed non erat conueniens, interfici eam ab iſto.

Χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
Ὁσίαν, διώκοντ' ἐκβαλεῖν τε δωμάτων
Μητέρα, τὸ σῶφρον τ' ἔλαβεν ἂν τῆς συμφορᾶς,
Καὶ τοῦ νόμου τ' ἂν εἴχετ', εὐσεβής τ' ἂν ἦν.
Νῦν δ' εἰς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
Κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
Αὐτὸς κακίων ἐγένετο, μητέρα κτανών.
Ἐρήσομαι δὲ Μενέλεως τοσόνδε σε.
Εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνή,
Χ' ὠ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
Κἄπειθ' ὁ 'κείνου γενόμενος φόνῳ φόνον
Λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
,, Καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι,
,, Εἰς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν,
,, Οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυρεῖ·
,, Φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.
Αἰεὶ γὰρ εἷς ἔμελλεν ἕξεσθαι φόνῳ,
Τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
Ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
Πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν,
Ἑλένην δὲ τὴν σὴν ἄλοχον οὔ ποτ' αἰνέσω,
Οὐδ' ἂν προσείποιμ', οὐδὲ σε ζηλῶ, κακῆς
Γυναικὸς ἐλθόντ' οὕνεκ' εἰς Τροίας πέδον.
Ἀμυνῶ δ' ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
Τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
Παύων· ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
Ἐπεὶ τίν' εἶχες ὦ τάλας ψυχὴν τότε,
Ὅτ' ἐξέβαλε τὸν μαστὸν ἱκετεύουσά σε
Μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακὰ,
Δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
Ἓν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ,
Μισῇ γε πρὸς θεῶν, καὶ τίνεις μητρὸς δίκας,
Μανίαις ἀλαίνων, καὶ φόβοις. τί μαρτύρων
Ἄλλων ἀκούειν δεῖ μ' ἅ γ' εἰσορᾶν πάρα;
Ὡς οὖν ἂν εἰδῇς Μενέλεως, τοῖσι θεοῖς
Μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων.
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
Θυγάτηρ δ' ἐμὴ θανοῦσ', ἔπραξεν ἔνδικα.
Ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.

Ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ᾽ ἀνήρ,
Πλὴν εἰς θυγατέρας, τοῦτο δ᾽ οὐκ εὐδαιμονῶ.
χο. Ζηλωτὸς, ὅστις ηὐτύχησεν εἰς τέκνα,
» Καὶ μὴ ᾽πισήμους συμφορὰς ἐκτήσατο.
ὀρέ. Ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
Ὅπου σε μέλλω σήν τε λυπήσειν φρένα.
Ἐγὼ δ᾽ ἀνόσιός εἰμι, μητέρα κτανὼν,
Ὅσιος δέ γ᾽ ἕτερον ὄνομα, τιμωρῶν πατρί.
Ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
Τὸ γῆρας ἡμῖν τὸ σὸν, ὅ μ᾽ ἐκπλήσσει λόγου,
Καὶ καθ᾽ ὁδὸν εἶμι. νῦν δὲ σὴν ταρβῶ τρίχα.
Τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν.
Πατὴρ μὲν ἐφύτευσέ με, σὴ δ᾽ ἔτικτε παῖς,
Τὸ σπέρμ᾽ ἄρουρα παραλαβοῦσ᾽ ἄλλου πάρα.
» Ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ᾽ ἄν.
Ἐλογισάμην οὖν, τῷ γένους ἀρχηγέτῃ
Μᾶλλόν μ᾽ ἀμῦναι, τῆς ὑποστάσης τροφάς.
Ἡ σὴ δὲ θυγάτηρ, μητέρ᾽ αἰδοῦμαι λέγειν,
Ἰδίοισιν ὑμεναίοισι, κοὐχὶ σώφροσιν,
» Εἰς ἀνδρὸς ᾔει λέκτρ᾽. ἐμαυτὸν, ἢν λέγω
» Κακῶς ἐκείνην, ἐξερῶ. λέξω δ᾽ ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
Τοῦτον κατέκτειν᾽, ἐπὶ δ᾽ ἔθυσα μητέρα,
Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
Ἐφ᾽ οἷς δ᾽ ἀπειλεῖς ὡς πετρωθῆναί με χρὴ,
Ἄκουσον, ὡς ἅπασαν Ἑλλάδ᾽ ὠφελῶ.
Εἰ γὰρ γυναῖκες εἰς τόδ᾽ ἥξουσι θράσους,
Ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
Εἰς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,
Παρ᾽ οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις,
Ἐπίκλημ᾽ ἐχούσαις, ὅ,τι τύχοι. δράσας δ᾽ ἐγὼ
Δείν᾽, ὡς σὺ κομπεῖς, τόνδ᾽ ἔπαυσα τὸν νόμον.
Μισῶν δὲ μητέρ᾽, ἐνδίκως ἀπώλεσα,
Ἥτις μεθ᾽ ὅπλων ἄνδρ᾽ ἀπόντ᾽ ἐκ δωμάτων,
Πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην,
Προὔδωκε, κοὐκ ἔσωσεν ἀκήρατον λέχος.
Ἐπεὶ δ᾽ ἁμαρτοῦσ᾽ ᾔσθετ᾽, οὐχ αὑτῇ δίκην
Ἐπέθηκεν, ἀλλ᾽ ὡς μὴ δίκην δοίη πόσει,
Ἐζημίωσε πατέρα, κἀπέκτειν᾽ ἐμόν.
Πρὸς θεῶν, ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,

Digitized by Google

Ego in aliis rebus ſatis felix fui,
Præter filias: in hoc non ſum felix.
Cho. Ille eſt dignus laude, qui liberos adeptus eſt multos,
„ Nec inſignes calamitates nactus eſt.
Ore. O ſenex, ego vereor dicere aduerſus te,
Vbi dolore afficiam te & animum tuum.
Ego quidem ſum pollutus, quatenus interfeci matrẽ:
Impollutus autem alio nomine, ꝙ vltus ſum patrem.
Abeat igitur longius ab iſto ſermone
Tua ſenectus, quæ interturbat me dicentem,
Et redeo in viam. nunc vero vereor tuã caniciem.
Quid oportebat me facere? oppone enim duo duobus.
Pater quidem me genuit, tua vero filia peperit,
Tanquam ager accipiens ſemen ab alio.
„ Sine patre non poteſt gigni puer.
Cogitabam ergo generis autori
Magis me debere opitulari, q̃ꝙ illi q̃ exhibuit nutricati-
Sed filia tua, (vereor enim vocare matrem) [onem.
Proprio hymenæo & non modeſto
„ Venit in thalamum *alterius* viri: mihi, ſi dico
„ Illi, male dico, & tamen dicam.
Ægiſthus erat abditus in domo maritus:
Hunc interfeci, & poſt *illum*, matrem mactaui:
Irreligioſa quidem faciens, ſed vlciſcens patrem.
Quod autem minaris me debere lapidari:
Audi, vt profuerim toti Græciæ.
Si enim mulieres veniant ad hanc audaciam,
Vt interficiant viros, facientes refugium
Ad liberos, venantes miſericordiam vberibus;
Pro nihilo ducent interficere viros,
Habẽtes quidlibet quod obiiciant. ego poſtq̃ꝙ feci
Illa atrocia, quæ tu dicis, compeſcui iſtam legem:
Et odio habens matrem, iuſte perdidi,
Quæ virum abſentem ex ædibus cum exercitu
Ducem pro tota Græcia
Prodidit, & non ſeruauit incontaminatum lectũ:
At cum ſciret ſe peccaſſe, non ſibi pœnam
Inflixit, ſed vt non daret pœnam marito,
Mulctauit & interfecit meum patrem:
Per Dos, (facio mentionem Deorum incommode

Digitized by Google

Dicens cauſam de cæde) ſi matris factum
Tacens laudarem, quid feciſſet mihi pater mortuus?
Non odio habens me exagitaſſet Erinnybus?
An matri quidem adſunt auxiliatrices deę,
Iſti non adeſſent, maiori iniuria affecto?
Tu ò ſenex qui genuiſti malam filiam,
Es mihi exitio: nam propter eius malitiam
Patre orbatus, factus ſum matricida.
Vides Vlyſſis coniugem? non interfecit eam
Telemachus: non enim ſuperinduxit marito maritũ,
Sed manet domi impollutum cubile.
Vides Apollinem, qui ſedem mediam
Inhabitans, tribuit hominibus certiſſima oracula,
Cui paremus in omnibus quæ iubet?
Huic parens interfeci matrem.
Ducite illum pollutum, & interficite,
Ille peccauit; non ego. quid oportebat me facere?
An non ſufficit Deus, ad conferentem cauſam in eum
Culpa ſoluendum? quo tandem effugiat aliquis,
Si non autor liberat me ne interficiar.
Sed non dicas, quod hæc non ſint recte facta,
Sed nos id feciſſe infeliciter.
,, Coniugia quibus mortalium ſunt felicia,
,, Illis eſt beata vita: quibus autem non recte cadunt,
,, Ii ſunt miſeri intus & foris.
Cho. Mulieres ſemper impedimento omnibus caſibus
,, Sunt viris ad infelicitatem.
Tyn. Poſtquam es ferocior, & non cedis orationi,
Et ſic reſpondes mihi, vt mihi dolorem adferas:
Magis me incendis pergere ad tuam necem.
Faciam hoc pulchrũ additamentũ meorũ laborũ,
Quorum cauſa veni ornaturus ſepulchrum filiæ.
Nam veniens ad euocatam multitudinem Argiuorũ,
Commouebo vrbem volentem, non nolentem,
In te & tuam ſororem, vt detis lapidatu pœnam.
Et illa magis eſt digna vt interficiatur quam tu,
Quæ iritauit te aduerſus matrem, ſemper in aurem
Mittens ſermones hoſtiles,
Nuncians ſomnia de Agamemnone:
Et hoc, quod oderint concubitum Ægiſthi

Dii

Φόνον δικάζων· εἰ δὲ δὴ τὰ μητέρος
Σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;
Οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐρινύσιν;
Ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,
Τῷ δ' οὐ πάρεισι μᾶλλον ἠδικημένῳ;
Σύ τοι φυτεύσας θυγατέρ' ὦ γέρον κακὴν,
Ἀπώλεσάς με. διὰ γὰρ τὸ κείνης θράσος,
Πατρὸς στερηθεὶς, ἐγενόμην μητροκτόνος.
Ὁρᾷς Ὀδυσσέως ἄλοχον; οὐ κατέκτανε
Τηλέμαχος, οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
Μένει δὲ ἐν οἴκοις ὑγιὲς εὐναστήριον.
Ὁρᾷς δ' Ἀπόλλων' ὃς μεσομφάλους ἕδρας
Ναίων, βροτοῖσι στόμα σαφέστατον νέμει;
Ὧι πειθόμεσθ' ἅπανθ', ὅσ' ἂν κεῖνος λέγῃ;
Τούτῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε·
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρῆν με δρᾶν;
Ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
Μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
Εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
Ἀλλ' ὡς μὲν οὐκ εὖ, μὴ λέγ', εἴργασται τάδε,
Ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
„ Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσι βροτῶν,
„ Μακάριος αἰών. οἷς δὲ μὴ πίπτουσιν εὖ,
„ Τά τ' ἔνδον εἰσὶ, τά τε θύραζε δυστυχεῖς.
χο. Αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
„ Ἔφυσαν ἀνδρῶν, πρὸς τὸ δυστυχέστερον.
τυν. Ἐπεὶ θρασύνῃ, κοὐχ ὑποστέλλῃ λόγῳ,
Οὕτω δ' ἀμείβῃ μ', ὥστε μ' ἀλγῦναι φρένας,
Μᾶλλόν μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον.
Καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων,
Ὧν οὕνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον.
Μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον,
Ἑκοῦσαν, οὐκ ἄκουσαν ἐπισείσω πόλιν,
Σοὶ, σῇ τ' ἀδελφῇ λεύσιμον δοῦναι δίκην.
Μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐστ' ἀξία,
Ἣ τῇ τεκούσῃ σ' ἠγρίωσ', εἰς οὖς ἀεὶ
Πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέστερον,
Ὀνείρατ' ἀγγέλλουσα τ' Ἀγαμέμνονος,
Καὶ τοῦθ', ὃ μισήσειαν Αἰγίσθου λέχος

Οἱ νέρτεροι θεοί. καὶ γὰρ ἐνθάδ' ἦν πικρὸν,
Ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω, δράσω τε πρός.
Εἰ τοὐμὸν ἔχθος ἐναριθμῇ, κῆδός τ' ἐμὸν,
Μὴ τῷδε ἀμύνειν φόνον, ἐναντίον θεοῖς.
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις·
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
Τοσαῦτ' ἀκούσας ἴσθι. μὴ δὲ δυσσεβεῖς
Ἕλῃ, παρώσας εὐσεβεστέρους φίλους.
Ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.
ὀρέ. Στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
Πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,
Διπλοῦς μερίμνης διπτύχους ἰὼν ὁδούς;
με. Ἔασον. ἐν ἐμαυτῷ τι συννοούμενος,
Ὅπη τράπωμαι τῆς τύχης ἀμηχανῶ.
ὀρέ. Μή νυν πέραινε τὴν δόκησιν· ἀλλ' ἐμοὺς
Λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.
με. ,, Λέγ'. εὖ γὰρ εἶπας. Ἔστι δ' οὗ σιγὴ λόγου
,, Κρείσσων γένοιτ' ἄν· ἔστι δ' οὗ σιγῆς λόγος.
ὀρέ. Λέγοιμ' ἂν ἤδη. Τὰ μακρὰ τῶν σμικρῶν λόγων
,, Ἐπίπροσθέν ἐστι, καὶ σαφῆ μᾶλλον κλύειν.
Ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου.
Ἃ δ' ἔλαβες, ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα.
Οὐ χρήματ' εἶπον. χρήματ' ἢν ψυχὴν ἐμὴν
Σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
Ἀδικῶ; λαβεῖν χρὴ
Μ' ἀντὶ τοῦδε τοῦ κακοῦ,
Ἄδικόν τι παρὰ σοῦ. καὶ γὰρ Ἀγαμέμνων πατὴρ
Ἀδίκως ἀθροίσας Ἑλλάδ', ἦλθ' εἰς Ἴλιον,
Οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν
Τῆς σῆς γυναικὸς, ἀδικίαν τ' ἰώμενος.
Ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
,, Ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
Τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἐκπονῶν,
Ὅπως σὺ τὴν σὴν ἀπολάβῃς ξυνάορον.
Ἀπότισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβὼν,
Μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ,
Σωτήριος στὰς, μὴ δέκ' ἐκπλήσας ἔτη.
Ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,

Ἐῶ σ'

Dii inferi:(id enim erat quod exacerbauit)
Donec incendit domum igne non Vulcanio.
Menelae tibi hoc dico,& præterea faciam etiam:
Si curas meam inimicitiam & affinitatem,
Non depellas iſti necem contra deos:
Sed ſine a ciuibus interfici ſaxis,
Aut non venias amplius in Spartanam terram.
Hæc memineris te audiuiſſe:neque impios
Elige amicos,pellens pios.
Vos miniſtri ducite me ab iſta domo.

Ore. Vade,vt ſequens oratio ſine interpellatore nobis
Ad hunc eat,ſenectam effugiens tuam.
Menelae quo moues pedem,in cogitatione
Ingrediens vias duplices duabus curis?

Me. Sine mecum cogitans,
Ad quam fortunam vertar,dubito.

Ore. Ne nunc perficias cogitationem,ſed meam
Orationem audiens prius,tunc delibera.

Me. ,, Dic, recte enim dixiſti. Eſt vbi ſilentium orationi
,, Præſtat,eſt & vbi oratio ſilentio.

Ore. Dicam ergo. Longa oratio breuiori
,, Eſt potior,& magis plana auditu.
Mihi tu Menelae tuarum rerum nihil dederis:
Sed quæ accepiſti redde,cum acceperis a meo patre.
Non loquor de pecunia,ſed re (ſi vitam meam
Seruabis) quæ eſt mihi inter meas chariſſima.
Pecco, oportet me accipere
In tali malo
Non debitum auxilium a te. nam & Agamemnon [pater
Iniuſte congregans Græciam,venit ad Ilion:
Ipſe non peccans,ſed peccatum
Vxoris tuæ & iniuſtitiam ſanans.
Vnum hoc oportet te mihi dare pro vno.
,, Et expoſuit,vt conuenit amicos amicis,
Corpus reuera tibi,in acie laborans,
Vt tuam tu reciperes coniugem.
Redde mihi hoc,cum illud acceperis,
Laborans,vno die pro nobis
Stans,vt ſis ſeruator,non implens decem annos.
Aulis quam accepit victimam meæ ſororis,

Sino te hanc habere, ſed Hermionem non occide.
Oportet te enim cum ſim ita calamitoſus,
Plus habere, & me ignoſcere:
Sed meam vitam da miſero patri,
Et meæ ſororis quæ fuit virgo longo tempore.
Nam mortuus relinquam orbam domum patris.
„ Dices, impoſſibile eſt hoc ipſum. Amicos
„ Oportet opem ferre amicis in aduerſis.
„ Quando autẽ res ſunt ſecundæ, quid opus eſt amicis?
„ Satis enim eſt ipſe Deus volens iuuare.
Videris omnibus Græcis amare coniugem,
(Non dico autem ſimulatione inſinuans me,)
Per hanc ſupplico tibi. O miſer propter mea mala
Ad quæ venio? quid oportet me laborare?
Supplico enim nunc pro tota domo.
O patrue patris frater, ſub terra
Mortuum audire hæc putes, volantem
Animam ſuper te, & dicere quæ ego dico.
Hæc inter lachrymas & luctum & calamitates
Dixi, & repoſco ſalutem
Quærens: quod omnes quærunt, & nõ ego ſolus.
Cho. Et ego tibi ſupplico, quanquam mulier ſim,
Vt iuues auxilio egentes: nam potes.
Me. Oreſtes, ego reuereor tuum caput,
Et volo te iuuare in malis iſtis,
„ Et enim oportet me ſic cognatorum mala
„ Simul ferre, ſi Deus det vires,
„ Etiamſi ſit moriendum, & interficiendi aduerſarii:
„ Vt poſſim autem, id peto conſequi a diis.
Venio enim haſtam vacuam viris ſociis
Habens, errans a multis laboribus,
Cum exiguis copiis reliquorum adhuc amicorum.
Pugnando autem non poſſumus ſuperare
Pelaſgum Argos: ſed vt mollibus verbis
Poſſimus, eo ſpei venio.
„ Nam quomodo capiat aliquis magna paruis
„ Laboribus? ſtultum eſt hoc velle.
„ Quando enim turget populus incidens in iram,
„ Perinde non poteſt extingui vt vehemens ignis:
„ Si autem molliter aliquis ei incenſo

Laxans

Digitized by Google

Ἐῶσ᾽ ἔχειν τοῦθ᾽· Ἑρμιόνην μὴ κτεῖνε σύ.
Δεῖ γάρ σ᾽ ἐμοῦ πράσσοντος ὡς πράσσω τανῦν,
Πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
Ψυχὴν δ᾽ ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρί,
Κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον.
Θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
,, Ἐρεῖς, ἀδύνατον αὐτὸ τοῦτο· τοὺς φίλους
,, Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν.
,, Ὅταν δ᾽ ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;
,, Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς, ὠφελεῖν θέλων.
Φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς.
Κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω.
Ταύτης ἱκνοῦμαί σ᾽. ὦ μέλεος ἐμῶν κακῶν,
Εἰς οἷον ἥκω; τί δὲ ταλαιπωρεῖν με δεῖ;
Ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
Ὦ πατρὸς ὅμαιμε, θεῖε, τὸν κατὰ χθονὸς
Θανόντ᾽ ἀκούειν τάδε δόκει, ποτωμένην
Ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ 'γὼ λέγω.
Ταῦτ᾽ εἴς τε δάκρυα, καὶ γόους, καὶ συμφορὰς
Εἴρηκα, κἀπήτηκα τὴν σωτηρίαν
Θηρῶν, ὃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος.

Χο. Κἀγώ σ᾽ ἱκνοῦμαι καὶ γυνή περ οὖσ᾽ ὅμως,
Τοῖς δεομένοισιν ὠφελεῖν. οἷός τε εἶ.

Με. Ὀρέστ᾽, ἐγώ τοι σὸν καταιδοῦμαι κάρα,
Καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι.
,, Καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
,, Συνεκκομίζειν, δύναμιν ἢν διδῷ θεός,
,, Θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους.
,, Τὸ δ᾽ αὖ δύνασθαι, πρὸς θεῶν χρῄζω τυχεῖν.
Ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
Ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
Σμικρᾷ σὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
Μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος. εἰ δὲ μαλθακοῖς λόγοις
Δυναίμεθ᾽, ἐνταῦθ᾽ ἐλπίδος προσήκομεν.
,, Σμικροῖσι μὲν γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
,, Πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
,, Ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσών,
,, Ὅμοιος ὥστε πῦρ κατασβέσαι λάβρον.
,, Εἰ δ᾽ ἡσύχως τις αὐτῷ ἐντείνοντι μὲν

,, Χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
,, Ἴσως ἂν ἐκπνεύσειεν. ὅταν δ' ἀνῇ πνοάς,
,, Τύχοις ἂν αὐτοῦ ῥαδίως ὅσον θέλεις.
Ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
Καραδοκοῦντι κτῆμα τιμιώτατον.
Ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι,
Πόλιν τε πεῖσαι, τῷ λίαν χρῆσθαι καλῶς.
,, Καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ,
,, Ἔβαψεν, ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
,, Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας.
,, Μισοῦσι δ' ἀστοί, δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
,, Σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
Ἀλκῇ δέ σ' οὐκ ἄν, ἣ σὺ δοξάζεις ἴσως,
Σώσαιμ' ἄν. οὐ γὰρ ῥάδιον λόγχῃ μιᾷ
Στῆσαι τρόπαια τῶν κακῶν, ἅ σοι πάρα.
Οὐ γάρ ποτ' Ἄργους γαῖαν εἰς τὸ μαλθακὸν
Προσηγόμεσθα. νῦν δ' ἀναγκαίως ἔχει
,, Δούλοισιν εἶναι τοῖς σοφοῖσι, τῆς τύχης.
ὀρέ. Ὦ, πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
Τἄλλ' οὐδέν. ὦ κάκιστε, τιμωρεῖν φίλοις,
Φεύγεις; ἀποστραφείς με; τὰ δ' Ἀγαμέμνονος
Φροῦδ'; ἄφιλος ἦσθ' ἄρ' ὦ πάτερ, πράσσων κακῶς.
Οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
Ὅπῃ τραπόμενος, θάνατον Ἀργείων φύγω.
Οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν
Πυλάδην, δρόμῳ στείχοντα Φωκέων ἄπο,
,, Ἡδεῖαν ὄψιν. Πιστὸς ἐν κακοῖς ἀνὴρ,
,, Κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

Τροχαῖοι.

πυλ. Θᾶσσον ἤ μ' ἐχρῆν προβαίνων, ἱκόμην περὶ ἄστεος,
Σύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς
Ἐπὶ σέ, σύγγονόν τε τὴν σήν, ὡς κτενοῦντας αὐτίκα.
Τί τάδε; πῶς ἔχεις; τί πράσσεις φίλταθ' ἡλίκων ἐμοὶ
,, Καὶ φίλων, καὶ συγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.
ὀρέ. Οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
πυλ. Συγκατασκάπτοις ἂν ἡμᾶς. Κοινὰ γὰρ τὰ τῶν φίλων.
ὀρέ. Μενέλεως κάκιστος εἰς ἐμὲ, καὶ κασιγνήτην ἐμήν.
πυ. ,, Εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίνεσθαι κακόν.
ὀρέ. Ὥσπερ οὐκ ἐλθὼν, ἔμοιγε ταὐτὸν ἀπέδωκε μολών.

πυλ.

Digitized by Google

„ Laxans cedit, obſeruans tempus,
„ Fortaſſis exhalet: tum quando remiſerit ſpiritum,
„ Poſſis eo vti quantum velis.
Eſt in eo miſeratio, eſt & magna iracundia,
Optima res obſeruanti tempora.
Vadens Tyndareo conabor
Et multitudini perſuadere, vt recte vtātur ſua potētia.
„ Nam & nauis intento vi clauo
„ Mergitur: manet rurſus, ſi relaxes clauum.
„ Odit Deus nimium vehementes impetus,
„ Et oderunt ciues. oportet me, (non fruſtra dico)
„ Seruare te ſapienter, non vi aduerſum præſtantiores.
Pugnando te non, vt tu fortaſſe putas,
Seruarim. Non eſt facile vna haſta
Siſtere trophæa de malis quæ tu habes.
Nunquam Argiuos molliter ſupplicando
Acceſſimus: nunc neceſſe eſt
„ Sapientibus, eſſe ſeruis fortunæ.
Ore. O, præterquam quod militaſti vxoris cauſa,
In aliis nulli⁹ pretii, ignauiſſime in defendēdis amicis.
Fugis auerſaris me? Agamemnonis beneficia
Sunt irrita? O pater, fuiſti ſine amicis in tuis calamita-
Hei proditus ſum, non ſunt ſpes. [tibus.
Quo conuerſus, effugiam ſupplicium Argiuorum?
Iſte erat mihi refugium ſalutis.
Sed video hunc amiciſſimum hominem
Pyladem, venientem curſu ex Phocenſibus,
„ Iucundum ſpectaculum: fidus amicus in aduerſis reb.
„ Iucundior eſt viſu, quam nautis tranquillitas.
Pyl. Citius quam me oportebat accedens veni ante vrbem
Audiens comitia vrbis, ipſe clare videns
Aduerſus te & tuā ſororē, tanq̄ ſtatim ſint interfecturi.
Quid hoc? quomodo habes? quid agis chariſſime meorum æqualium
„ Et amicorū & cognatorū? tu enim mihi es iſta omnia.
Ore. Periimus, vt breuiter exponam tibi mea mala.
Pyl. Simul euerteris nos: cōmunes ſunt enim res amicorū.
Ore. Menelaus infidelis eſt mihi & meæ ſorori.
Pyl. Cōuenienter ſe habet virū malę mulieris fieri malum.
Ore. Perinde mihi gratiam retulit ac ſi non veniſſet.

Pyl. An vere venit in hanc terram?
Ore. Tarde, ſed celerrime deprehenſus eſt infidus amicis.
Pyl. Et venit adducens naui peſſimam coniugem?
Ore. Non ille, ſed ipſa illum huc adduxit. [giuorum?
Pyl. Vbi eſt mulier, quæ vna perdidit plurimos filios Ar-
Ore. In meis ædibus: ſi licet iſtas vocare meas.
Pyl. Quid dixiſti tu tuo patruo?
Ore. Ne pateretur me & ſororem interfici a ciuibus.
Pyl. Per deos, quid ad hæc dixit? cupio enim ſcire.
Ore. Se timere: id quod ſolent dicere infidi amici amicis.
Pyl. Ad qualem excuſationem accedens? volo iſta oĩa ſcire.
Ore. Ille pater venit qui genuit optimas filias.
Pyl. Tyndarum dicis? fortaſſe tibi propter filiam iratus.
Ore. Intelligis. huius affinitatem magis elegit quam patris.
Pyl. Non eſt auſus capere labores pro te præſens?
Ore. Non eſt bellator, ſed inter mulieres ſtrenuus.
Pyl. Es in maximis malis, & neceſſe eſt te mori.
Ore. Opus eſt ciues ferre calculos de noſtra cæde.
Pyl. Quam rem ſtatuent? dic. ſum enim in metu.
Ore. Vt aut moriamur, aut viuamꝰ: nõ eſt lõga oratio de re-
Pyl. Fuge relinquens domũ cũ ſorore tua. [bus maximis.
Ore. Non vides? cuſtodimur præſidiis vndique.
Pyl. Vidi vias vrbis ſeptas armis.
Ore. Clauſi tenemur corpore, ſicut vrbs obſeſſa ab hoſ*tib.*
Pyl. Et me nũc interroga, ꝗd factꝰ ſim: nã ego quoq; pe-
Ore. Cuius ope? hoc malum acceſſerit ad mala mea. [rii,
Pyl. Strophius pater expulit me iratus ex ædibus.
Ore. Obiiciens crimen priuatum aut publicum?
Pyl. Quod patrarim tecum
Cædem matris, pollutum *me eſſe* dicens.
Ore. O miſer: videris & tu affici meis malis.
Pyl. Non vtemur morib. Menelai: ferenda ſunt hæc.
Ore. Non times, ne Argos velit & te, ſicut me, interficere?
Pyl. Non ꝑtineo, ꝙ ad pœnam, ad iſtos, ſed ad Phocenſes.
Ore. Multitudo eſt atrox, quando habet imꝓbos preſides.
Pyl. Sed quando nanciſcitur bonos, habet bona conſilia.
Ore. Eſto, ſed quid oportet dici de communi cauſa? *Pyl.* De
qua re neceſſaria?
Ore. Si dicã cauſam veniens ad ciues. *Py.* Quod iuſta feceris?
Ore. Vlciſcens necẽ patris. *Pyl.* Vereor, vt te ſint placide ac-
cepturi.

Ore.

Digitized by Google

πυλ. Ἦ γὰρ ἔστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
ὀρέ. Χρόνιος. ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
πυλ. Καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
ὀρέ. Οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
πυλ. Ποῦ 'στιν ἣ πλείστους Ἀχαιῶν ὤλεσε γυνὴ μία;
ὀρέ. Ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
πυλ. Σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
ὀρέ. Μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν, καὶ κασιγνήτην ἐμήν.
πυλ. Πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
ὀρέ. Εὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
πυλ. Σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
ὀρέ. Οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ.
πυλ. Τυνδάρεων λέγεις; ἴσως σοὶ θυγατέρος θυμούμενος.
ὀρέ. Αἰσθάνῃ. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ', ἢ πατρός.
πυλ. Κοὐκ ἐτόλμησε πόνων σῶν ἀντιλάζυσθαι παρών.
ὀρέ. Οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
πυλ. Ἐν κακοῖς ἄρ' εἶ μεγίστοις. καί σ' ἀναγκαῖον θανεῖν.
ὀρέ. Ψῆφον ἀφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
πυλ. Ἣ κρινεῖ τί πρᾶγμα; λέξον. διὰ φόβου γὰρ ἔρχομαι.
ὀρέ. Ἢ θανεῖν, ἢ ζῆν. ὁ μῦθος δ' οὐ μακρὸς μακρῶν πέρι.
πυλ. Φεῦγέ νυν, λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
ὀρέ. Οὐχ ὁρᾷς; ὡς φρουρίοις φυλασσόμεσθα πανταχοῦ.
πυλ. Εἶδον ἄστεος ἀγυιὰς τεύχεσι πεφραγμένας.
ὀρέ. Ὥσπερ εἰ πόλις πρὸς ἐχθρῶν, σῶμα πυργηρούμεθα.
πυλ. Κἀμὲ νῦν ἐροῦ τί πάσχω. καὶ γὰρ αὐτὸς οἴχομαι.
ὀρέ. Πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
πυλ. Στρόφιος ἤλασέ μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
ὀρέ. Ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
πυλ. Ὅτι συνηράμην σοι
φόνον μητρός, ἀνόσιον λέγων.
ὀρέ. Ὦ τάλας, ἔοικε καί σε τἀμὰ λυπήσειν κακά.
πυλ. Οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'; οἰστέον τάδε.
ὀρέ. Οὐ φοβῇ, μή σ' Ἄργος, ὥσπερ κἀμ', ἀποκτεῖναι θέλῃ;
πυλ. Οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ γῆ.
ὀρέ. Δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
πυλ. Ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
ὀρέ. Εἶεν. εἰς κοινόν τι λέγειν χρή; πυ. τίνος ἀναγκαίου
πέρι;
ὀρέ. Εἰ λέγοιμ' ἀστοῖσιν ἐλθών. πυ. ὡς ἔδρασας ἔνδικα;
ὀρέ. Πατρὶ τιμωρῶν ἐμαυτοῦ. πυ. μὴ λάβωσί σ' ἄσμενοι.

ὀρέ. Ἀλλ᾽ ὑποπτήξας, σιωπῇ κατθάνω; πυ. δειλὸν τόδε.
ὀρέ. Πῶς ἂν οὖν δρῴην; πυ. ἔχεις τιν᾽, ἢν μένῃς, σωτηρίαν·
ὀρέ. Οὐκ ἔχω. Π. μολόντι δ᾽ ἐλπίς ἐστι σωθῆναι κακῶν;
ὀρέ. Εἰ τύχοι, γένοιτ᾽ ἄν. Π. οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
ὀρέ. Ἀλλὰ δῆτ᾽ ἔλθω; Π. θανὼν γοῦν, ὧδε κάλλιον θανεῖν.
ὀρέ. Καὶ τὸ πρᾶγμ᾽ ἔνδικόν μοι. πυ. τὸ δοκεῖν, εὔχου μόνον.
ὀρέ. Εὖ λέγεις. φεύγω τὸ δειλὸν τῇδε. πυ. μᾶλλον, ἢ μένων.
ὀρέ. Καὶ τίς ἄν γέ μ᾽ οἰκτίσειε; πυ. μέγα γὰρ ηὑγένειά σου.
ὀρέ. Θάνατον ἀσχάλλων πατρῷον; πυ. πάντα ταῦτ᾽ ἐν ὄμμασιν.
ὀρέ. Ἰτέον. ὡς ἄνανδρον ἀκλεῶς τὸ κατθανεῖν. πυ. αἰνῶ τάδε.
ὀρέ. Ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ᾽ ἐμῇ; πυ. μὴ πρὸς θεῶν.
ὀρέ. Δάκρυα γοῦν γένοιτ᾽ ἄν. πυ. οὐκοῦν οὗτος οἰωνὸς μέγας.
ὀρέ. Δηλαδὴ σιγᾶν ἄμεινον. πυ. τῷ χρόνῳ δὲ κερδανεῖς.
ὀρέ. Κεῖνό μοι μόνον προσαντες. πυ. τί τόδε; καινὸν αὖ λέγεις.
ὀρέ. Μὴ θεαί μ᾽ οἴστρῳ κατάσχωσιν. πυ ἀλλὰ κηδεύσω σ᾽ ἐγώ.
ὀρέ. Δυσχερὲς, ψαύειν νοσοῦντος ἀνδρός. πυ. οὐκ ἔμοιγε σοῦ.
ὀρέ. Εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς. πυ. τόδ᾽ οὖν ἴτω.
ὀρέ. Οὐκ ἄρ᾽ ὀκνήσεις; πυ. Ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ὀρέ. Ἕρπε νῦν οἴαξ ποδός μοι. πυ. φίλα γ᾽ ἔχων κηδεύματα.
ὀρέ. Καί με πρὸς τύμβον πόρευσον πατρός. πυ ὡς τί δὴ τόδε;
ὀρέ. Ὥς νιν ἱκετεύσω, με σῶσαι. πυ. τὸ δὲ δίκαιον ὧδ᾽ ἔχει.
ὀρέ. Μητρὸς δὲ μήτ᾽ ἴδοιμι μνῆμα. πυ. πολεμία γὰρ ἦν.
Ἀλλ᾽ ἔπειγ᾽, ὡς μή σε πρόσθεν ψῆφος Ἀργείων ἕλῃ,
Περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ.
Ὡς ἐγὼ δι᾽ ἄστεός σε, σμικρὰ φροντίζων ὄχλου,
„ Οὐδὲν αἰσχυνθεὶς, ὀχήσω. Ποῦ γὰρ ὢν δείξω φίλος,
„ Εἴ σε μὴ δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;
ὀρέ. Τοῦτ᾽ ἐκεῖνο, κτᾶσθ᾽ ἑταίρους, μὴ τὸ συγγενὲς μόνον
„ Ὡς ἀνὴρ, ὅστις τρόποισι συντακῇ, θυραῖος ὤν,
„ Μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

ΕΠΩΔΙΚΑ.

Στροφή.

χο. 1 Ὁ μέγας ὄλβος, ἅτ᾽ ἀρετὰ,
2 Μέγα φρονοῦσ᾽ ἀν᾽ Ἑλλάδα, καὶ
3 Παρὰ Σιμουντίοις ὀχετοῖς,
4 Πάλιν ἀνῆλθ᾽ ἐξ εὐτυχίας Ἀτρείδαις,
5 Πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
6 Ὁπότε χρυσέας ἔρις ἀρνὸς
7 Ἤλυθε Τανταλίδαις,
8 Οἰκτρότατα θοινάματα, καὶ

Ore. An perculſus metu tacite moriar? *Py.* Hoc eſt timidi.
Ore. Quid ergo faciam? *Py.* Habes aliq̃ ſalutem, ſi maneas?
Ore. Non habeo. *Py.* Sed eunti eſt ſpes a malis ſeruari?
Ore. Si cõtigat, poſſet fieri. *P.* Ergo hoc meliꝰ eſt q̃ manere.
Ore. An igitur ibo? *P.* Etiãſi moriaris, honeſtiꝰ eſt ſic mori.
Ore. Habeo iuſtã cauſam. *P.* Opta modo vt ita videatur illis.
Ore. Recte dicis, effugiam ſic opinionem timiditatis. *Pyl.*
Ore. Magis quam manens. [litas tua.
Ore. Aliq̃s fortaſſe miſerebitur mei. *P.* Magna res eſt nobi-
Ore. Doles paternã mortẽ. *P.* Illa oĩa plꝰ valẽt in conſpectu.
Ore. Eũdũ eſt. quia nõ eſt virile, mori nõ glorioſe. *P.* Laudo
Ore. An dicam iſta meæ ſorori? *Pyl.* Non per Deos. [iſta.
Ore. Fierent lachrymæ. *Pyl.* Magnum eſt hoc omen.
Ore. Ergo melius tacere. *Pyl.* Tempore lucrum facies.
Ore. Illud eſt mihi difficile. *P.* Quid hoc? aliq̃d noui dicis.
Ore. Ne deæ me apprӕhendant œſtro. *Pyl.* Ego curabo te.
Ore. Difficile eſt tangere languentẽ virũ. *Py.* Non mihi te.
Ore. Caue fieri particeps mei furoris. *Py.* Hoc valeat,
Ore. Nõ cũctaberis? *Py.* Mora amici eſt magnũ malũ.
Ore. Vade ô gubernaculũ mei pedis. *P.* Tenens curã dignã
Ore. Ducas ad ſepulchrũ patris. *P.* Ad quid hoc? [amico.
Ore. Vt ſupplicem ipſi vt ſeruet me, *Pyl.* Recte facis.
Ore. Matris ne videam ſepulchrum. *P.* Erat enim hoſtis.
Sed ꝓpterea, ne te prius damnet calculꝰ Argiuorũ,
Iungens meis lateribus latus imbecillum morbo:
Quia ego te per vrbem, nihil curans populum,
» Nõ pudore deterritꝰ, vehã. Vbi oſtẽdã me eſſe amicũ,
» Si non iuuem te exiſtentem in atroci calamitate?
Ore. Hoc eſt habere amicos, non tantum cognatos.
» Adeo vir quanquã alienus q̃ cõglutinatꝰ eſt moribus,
» Magis meretur haberi amicus, quam multi cognati.

EPODICA. *Strophe.*

Ch. 1 Magna potentia & virtus
2 Superbiens per Græciam &
3 Ad Simoentis riuos,
4 Retro verſa eſt ex felicitate Atridis
5 Iam olim ab antiqua calamitate familiæ,
6 Quando lis de aureo vellere
7 Venit Tantalidis
8 Miſerrimæ epulæ, &

Neces nobilium liberorum. vade
Cædes cæde mutata,
Per cædes non deſinit
Inter duos Atridas.

Antiſtrophe.

Honeſtum, non eſt honeſtum: parentum
Secare ſæua manu
Corpus, & iſtum cæde nigrum
Enſem oſtendere in lumen Solis,
„ Iam ſcelus admittere, eſt magna impietas,
„ Et flagitioſorum hominum amentia.
Nam in metu mortis
Tyndaris miſera clamauit:
O fili, non facis pia,
Occidens tuam matrem.
Vide, ne colens paternam gratiam, contrahas
Infamiam perpetuam.

Epodus.

Quis morbus, aut quæ lachrymæ,
Aut quæ miſericordia eſt maior in terra,
Quam fieri homicidam matris?
Quali, quali re confecta
Inſanus factus eſt furiis,
Furiis propter cædem venatio eſt
Velocibus. circumferens oculos
Filius Agamemnonis,
O miſer, quando matris
Ex auratis veſtibus
Videns mammam exertam,
Interfecit matrem,
In vltionem paterni caſus.

Electra.

Elec. Mulieres, an aliquo abiit ab his ædibus
Miſer Oreſtes, victus diuinitus immiſſa rabie?
Cho. Non, ſed vadit ad populum Argiuum,
De vita propoſitum certamen
Obiturus, in quo oportet vos mori, aut viuere.
Elec. Hei mihi, quid fecit, quis perſuaſit eum?
Cho. Pylades. ſed videtur iſte nuncius cito
Dicturus, quid ſit ibi factum de tuo fratre.

Nun.

Digitized by Google

Σφάγια χθοναίων τέκνων. ὅθεν
Φόνῳ φόνος ἐξαμείβων,
Δι' αἵματος οὐ προλείπει
Δισσοῖσιν Ἀτρείδαις.

Ἀντιστροφή.

Τὸ καλὸν, οὐ καλὸν, τοκέων
Πυριγενεῖ τέμνειν παλάμᾳ
Χρόα, μελάνδετον δὲ φόνῳ
Ξίφος εἰς αὐγὰς ἀελίοιο δεῖξαι.
„ Τὸ δ' αὖ κακουργεῖν, ἀσέβεια μεγάλη,
„ Κακοφρόνων τ' ἀνδρῶν παράνοια.
Θανάτου γὰρ ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάχησε τάλαινα.
Τέκνον, οὐ τολμᾷς ὅσια,
Κτείνων σὰν ματέρα, μὴ πατρῴαν
Τιμῶν χάριν, ἐξανάψῃ
Δύσκλειαν εἰς ἀεί.

Ἐπῳδός.

Τίς νόσος, ἢ τίνα δάκρυα,
Καὶ τίς ἔλεος μείζων κατὰ γᾶν,
Ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
Οἷον οἷον ἔργον τελέσας
Βεβάκχευται μανίαις,
Εὐμενίσι θήραμα φόνῳ,
Δρομάσι δινεύων βλεφάροις
Ἀγαμεμνόνειος παῖς;
Ὦ μέλεος, ματρὸς ὅτε
Χρυσεοπηνήτων φαρέων
Μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν,
Σφάγιον ἔθετο ματέρα,
Πατρῴων παθέων ἀμοιβάν.

ΙΑΜΒΟΙ.

ἠλέ. Γυναῖκες, ἦ που τῶνδ' ἀφώρμηται δόμων
Τλήμων Ὀρέστης, θεομανεῖ λύσσῃ δαμείς;
χο. Ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεὼν,
Ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
Δώσων· ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
ἠλέ. Οἴμοι. τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;
χο. Πυλάδης. ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
Λέξειν τἀκεῖθεν σοῦ κασιγνήτου πέρι.

Digitized by Google

ἄγ. Ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ. πότνι' Ἠλέκτρα, λόγους
Ἄκουσον, οὕς σοι δυστυχεῖς ἥκω φέρων.
ἠλέ. Αἴ, αἴ. διοιχόμεσθα. δῆλος εἶ λόγῳ.
Κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.
ἄγ. Ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν,
Καί σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.
ἠλέ. Οἴμοι, προσῆλθεν ἐλπίς, ἣν φοβουμένη
Πάλαι, τὸ μέλλον ἐξετηκόμην γόοις.
Ἀτὰρ τίς ἀγών, τίνες ἐν Ἀργείοις λόγοι
Καθεῖλον ἡμᾶς, κἀπεκύρωσαν θανεῖν;
Λέγ' ὦ γεραιέ. πότερα λευσίμῳ χερὶ,
Ἢ διὰ σιδήρου πνεῦμ' ἀπορρῆξαί με δεῖ,
Κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
ἄγ. Ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
Βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ,
Τά τ' ἀμφ' Ὀρέστου. σῷ γὰρ εὔνοιαν πατρὶ
Ἀεί ποτ' εἶχον. καί μ' ἔφερβε σὸς δόμος,
„ Πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
Ὁρῶ δ' ὄχλον στείχοντα, καὶ θάσσοντ' ἄκραν,
Οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
Διδόντ', ἀθροῖσαι λαὸν εἰς κοινὰς ἕδρας.
Ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδών,
Τί καινὸν Ἄργει, μῶν τι πολεμίων πάρα
Ἄγγελμ' ἀνεπτέρωσε Δαναϊδῶν πόλιν;
Ὁ δ' εἶπ', Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
Στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
Ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μή ποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχονθ' ὁμοῦ.
Τὸν μὲν κατηφῆ, καὶ παρειμένον νόσῳ,
Τὸν δ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
Νόσημα κηδεύοντα παιδαγωγίᾳ.
Ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
Κῆρυξ ἀναστὰς εἶπε· τίς χρῄζει λέγειν,
Πότερον Ὀρέστην κατθανεῖν, ἢ μὴ χρεὼν,
Μητροκτονοῦντας; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
Ἔλεξε δ' ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ
Διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
Σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλοῖς κακοὺς

Λόγους

Nun. O miſera, ô infelix ducis
Agamemnonis filia, veneranda Electra, ſermones
Audi, quos infelices tibi ferens aduenio.
Elec. Hei. hei, perimus. ſignificas hoc oratione.
Nam vt videtur, venis nuncius malorum.
Nun. Calculo Argiuorum, vt interficiatur tuus frater,
Et tu ô miſera, ſtatutum eſt hodie.
Elec. Hei mihi, venit ſpes, quam metuens
Olim, propter futura contabeſcebam luctu,
Sed quod certamen, quæ orationes inter Argiuos
Damnauerunt nos; & ſuffragium tulerunt de morte?
Dic ô ſenex, vtrum lapidante manu,
An per ferrum oportet me abrumpere ſpiritum,
Habentem calamitatem cum fratre communem?
Nun. Eram ex agro intra portas
Vadens, volens audire de te
Et de Oreſte. Nam erga tuum patrem beneuolentiam
Semper habui, & me aluit tua familia
,, Pauperem quidem, ſed conſtantem in amicitia.
Video populum euntem, & inſidentem tumulo,
Vbi dicunt primum Danaum Ægypto pœnas
Dantem, congregaſſe populum in communes ſedes.
Videns congregationẽ, interrogaui aliquẽ ex ciuib.
Quid nouum Argis, num quod ab hoſtibus
Nuncium excitauit vrbem Danaidum?
Ille dixit, Non vides illum Oreſtem prope
Euntem, qui curret letale certamen,
Video inſperatã ſpeciem, quam vtinã nõ vidiſſem,
Pyladen & tuum fratrem euntes ſimul:
Hunc triſtem & languidum morbo,
Illum tanquam fratrem dolentẽ æqualiter cũ amico,
Ducendo curantem morbum.
Poſtquam concio Argiuorum facta eſt tota,
Præco ſurgens dixit, Quis vult dicere,
Vtrum oporteat Oreſtem mori, an non
Matricidam? & poſtea ſurgit
Talthybius, qui oppugnauit Phryges cum tuo patre
Dixit autem ſemper exiſtens ſub potentibus
Ambigua, reuerens tuum patrem,
Sed non laudans tuum fratrem, bonis mala

Dicta

Dicta inuoluens, quod faceret legem
Non bonam contra parentes: ſed oculum ſemper
Hilarem dabat Ægiſthi amicis.
» Nam hoc genus tale eſt. ad florentem partem
» Semper ſaliunt præcones: ille eſt eis amicus,
» Quiſquis eſt potens & in magiſtratibus vrbis.
Poſt hunc dicebat Diomedes rex.
Iſte neque te neque fratrem interficere
Sinebat, ſed punientes exilio recte facere.
Alii aſſenſerunt, quod honeſte diceret,
Alii non laudabant. Poſt hunc ſurgit
Vir quidam loquax, potens confidentia
Argiuus non Argiuus, coactus
In tumultu, & ſtulta audacia:
Valens perſuadendo coniicere eos in aliquod malum.
» (Nam quando facundus oratione, male ſentiens
» Perſuadet vulgo, eſt magnum malum vrbi.
» Quicunq; autem prudēter recta cōſulunt ſemper,
» Etiamſi non ſtatim, tamen poſtea ſunt vtiles
» Vrbi. Principem autem oportet ſic conſiderare
» Videntem. Nam ſimile periculum eſt
» Dicenti orationem, & principi.)
Qui dixit Oreſten & te occidi lapidibus debere
Coniectis: ſubornauit autem Tyndarus orationes
Tales dicere illum vos occidentem.
Alius ſurgens dicit iſti contraria.
Non conſpicuus ſpecie, ſed vir fortis
Raro polluens ciuitatem, & circulum fori,
Suas res agens (qui ſoli ſeruant terram)
Sed prudens, volens prope accedere ad rem.
Simplex, qui vixerat vitam non reprælıendendam,
Is cenſuit Oreſten filium Agamemnonis
Coronandum, qui voluit vlciſci patrem,
Interficiens malam mulierem & impiam,
Quæ effeciſſet, vt nemo vellet, neq; armare manum,
Neque militare relicta domo,
Si domi relicti, coniuges
Corrūpunt, afficiētes cōtumelia thalamos virorū.
Et videbatur bonis recte dicere,
Neque vllus amplius dixit, ſed acceſſit tuus frater,

Et

Λόγους ἐλίσσων, ὅτι καθεστήκη νόμους
Εἰς τοὺς τεκόντας οὐ καλούς. τὸ δ' ὄμμ' ἀεὶ
Φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
„ Τὸ γὰρ γένος τοιόνδ'. ἐπὶ τὸν εὐτυχῆ
„ Πηδῶσ' ἀεὶ κήρυκες. ὅδε δ' αὐτοῖς φίλος,
„ Ὃς ἂν δύνηται, πόλεως ἔν τ' ἀρχαῖσιν ᾖ.
Ἐπὶ τῷδ', ἀγόρευε Διομήδης ἄναξ.
Οὗτος κτανεῖν μὲν οὔτε σ', οὔτε σύγγονον
Εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
Ἐπερρόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι,
Οἱ δ' οὐκ ἐπῄνουν. κἀπὶ τῷδ' ἀνίσταται
Ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος, οὐκ Ἀργεῖος, ἠναγκασμένος,
Θορύβῳ τε πίσυνος, κἀμαθεῖ παρρησίᾳ,
Πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι.
„ Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
„ Πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.
„ Ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
„ Κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι
„ Πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
„ Ἰδόνθ'. ὅμοιον γὰρ τὸ χρῆμα γίνεται
„ Τῷ τοὺς λόγους λέγοντι, καὶ τιμωμένῳ.
Ὃς εἶπ', Ὀρέστην καί σ' ἀποκτεῖναι πέτροις
Βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
Τῷ σφὼ κατακτείναντι τοιούτους λέγειν.
Ἄλλος δ' ἀναστὰς, ἔλεγε τῷδ' ἐναντία,
Μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ,
Ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
Αὐτουργὸς (οἵπερ καὶ μόνοι σώζουσι γῆν)
Ξυνετὸς δὲ, χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
Ἀκέραιος, ἀνεπίληπτον ἠσκηκὼς βίον.
Ὅς γ' εἶπ', Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
Στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
Κακὴν γυναῖκα κἄθεον κατακτανὼν,
Ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα,
Μήτε στρατεύειν ἐκλιπόντα δώματα,
Εἰ τἄνδον οἰκουρήματ' οἱ λελειμμένοι
Φθείρουσιν, ἀνδρῶν εὐνίδας λαβόμενοι.
Καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο.
Κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος.

Ἔλεξε

Digitized by Google

Ἔλεγε δ', ὦ γῆν Ἰνάχου κεκτημένοι,
Πάλαι Πελασγοί, Δαναΐδαι δεύτερον,
Ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρί,
,, Ἔκτεινα μητέρ'. Εἰ γὰρ ἀρσένων φόνος
,, Ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
,, Θνήσκοντες. ἢ γυναιξὶ δουλεύειν χρεών.
Τοὐναντίον δὲ δράσετ', ἢ δρᾶσαι χρεών.
Νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρός,
Τέθνηκεν. εἰ δὲ δὴ κατακτενεῖτέ με,
Ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνήσκων τις ἄν.
Ὡς τῆς γε τόλμης οὐ σπανὶς γενήσεται.
Ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
Νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
Ὃς ἠγόρευε, σύγγονον, σέ τε κτανεῖν.
Μόλις δ' ἔπεισε μὴ πετρουμένους θανεῖν
Τλήμων Ὀρέστης. αὐτόχειρι δὲ σφαγῇ
Ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
Σὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων. σὺν δ' ὁμαρτοῦσι φίλοι.
Κλαίοντες, οἰκτείροντες. ἔρχεται δέ σοι
Πικρὸν θέαμα, καὶ πρόσοψις ἀθλία.
Ἀλλ' εὐτρέπιζε φάσγανον, ἢ βρόχον δέρῃ,
Ὡς δεῖ λιπεῖν σε φέγγος. εὐγένεια δὲ
Οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
Τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.
χο. Ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
Πρόσωπον εἰς γῆν σὸν βαλοῦσ', ἄφθογγος εἶ,
Ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

ἠλ. 1 Αἶ αἶ κατάρχομαι στεναγμὸν ὦ Πελασγία,
2 Τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων,
3 Αἱματηρὸν ἄταν.
4 Κτύπον τε κρατός, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς
5 Νερτέρων Περσέφασσα, καλλίπαις θεά.
6 Ἰαχείτω δὲ γᾶ Κυκλωπεία,
7 Σίδαρον ἐπὶ κάρα τιθεῖσα κούριμον, τῶν Ἀτρειδᾶν
8 Πήματ' οἴκων.
9 Ἔλεος ἔλεος ὅδ' ἔρχεται
10 Τῶν θανουμένων ὕπερ.

11 Στρα-

Digitized by Google

Et dixit, O incolentes terram Inachi,
Olim Pelaſgi, poſtea Danaidæ,
Vos vlciſcens, non minus quam patrem
„ Interfeci matrem. Nam ſi necare viros
„ Erit fas mulieribus, amplius non effugietis
„ Mortem, vel vxoribus neceſſe erit ſeruire.
Et contrarium facietis, quam oportet facere,
Nunc enim quæ prodidit lectum mei patris,
Eſt interfecta: ſi autem occidetis me,
Lex diſſoluetur, nec anteuertet mortem quiſquam,
Quia huius audaciæ non fiet raritas.
Sed nō perſuaſit turbę, cū quidē videretur recte dicere.
Et vincit ille malus dicens in multitudine,
Qui dixit interficiendum eſſe te & fratrem.
Vix perſuaſit, ne moriamini lapidati
Miſer Oreſtes: & ſua manu facta nece
Promiſit ſe relicturum vitam hac die
Tecum ducit eum ex concione
Pylades lachrymans, & comitantur amici
Plorantes, miſerentes. venit tibi
Acerbum ſpectaculum & miſer aſpectus.
Sed præpara gladium, aut laqueum collo,
Quia oportet te relinquere lucem, & nobilitas
Nihil tibi profuit, neque Pythius
Phœbus ſedens in tripode, ſed perdidit.

Cho. O miſera virgo, quam obductum
Vultum tuum in terram demittens, muta es,
Tanquam curſura in querelas & luctus?

ANTISTROPHICA.

Strophe.

El. 1 Ahah, inchoo luctus ô Pelaſgia,
2 Ponens album vnguem in genis,
3 Cruentam noxam,
4 Et fragorem capitis, quem nacta eſt ſub terra
5 Inferorum Proſerpina, formoſa dea.
6 Vlulet terra Cyclopea,
7 Ferrum ſupra caput ponens tonſorium Atridarum.
8 Propter mala domus.
9 Illa miſeratio, miſeratio venit
10 Pro morituris,

11 Qui

Digitized by Google

Qui aliquando fuerunt duces Græciæ.

Antiſtrophe.

Abiit enim, abiit, periit liberorum
Pelopis totum genus, & propter felicitatem
Quondam ſuſpiciendam familiam,
Inuidia nunc cepit diuinitus, & hoſtilis calculus
De morte inter ciues.
„ Heu, heu gentes miſeræ hominũ, plenæ lachrymarũ,
„ Laborioſæ, videte quomodo præter opinionem
„ Fatum venit.
„ Alia vero poſt alia ſuccedunt
„ Mala in longo tempore.
„ Tota autem vita hominum eſt inſtabilis.

MONOSTROPHICA.

Vtinam vadam ad medium cæli & terræ
Extenſum pendendo
Saxum catenis aureis, quod circumfertur
Volutationibus, gleba ex Olympo,
Vt in luctibus recitem
Seni patri Tantalo,
Qui peperit, peperit parentes
Meæ familiæ,
Qui viderunt mala.
Celerem curſum equarum
Quadriiugo curru,
Pelops quando ad mare gubernauit currum,
Myrtili cadauer abiiciens in gurgitem maris,
Iuxta albam Geraſtiam
Marinorum fluctuum
In littore aurigans:
Vnde familiæ noſtræ
Venit luctuoſa execratio
Fœtus in grege, a filio Maiæ:
Agnus aureo vellere, quando
Fuit prodigium ſane quam pernicioſum
Atrei equitis, vnde lis alatum
Currum ſolis mutauit, vt verſus oc-
caſum viam cœli accommodaret,
Verſus auroram qua vehitur vno equo, & ſeptem
Pleiadum curſus, in aliam viam

Iupiter

11 Στρατηλατῶν Ἑλλάδος πότ᾽ ὄντων.

Ἀντιστροφή.

1 Βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων
2 Πρόπασα γέννα Πέλοπος. ὅ, τ᾽ ἐπὶ μακαρίας
3 Ζηλωτὸς ὢν ποτ᾽ οἴκοις,
4 Φθόνος νιν εἷλε θεόθεν, ἅτε δυσμενὴς
5 Φονία ψῆφος ἐν πολίταις.
,, 6 Ἰὼ, ἰὼ, πανδάκρυτ᾽ ἐφαμέρων ἔθνη
,, 7 Πολύπονα, λεύσσεθ᾽ ὡς παρ᾽ ἐλπίδας
,, 8 Μοῖρα βαίνει.
,, 9 Ἕτερα δ᾽ ἑτέροις ἀμείβεται
,, 10 Πήματ᾽ ἐν χρόνῳ μακρῷ,
,, 11 Βροτῶν δ᾽ ὁ πᾶς ἀστάθμητος αἰών.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Μόλοιμι τὰν οὐρανοῦ μέσον χθονὸς
Τεταμέναν αἰωρήμασι
Πέτραν ἁλύσεσι χρυσέαισι, φερομέναν
Δίναισι βῶλον ἐξ Ὀλύμπου,
Ἵν᾽ ἐν θρηνοισιν ἀναβοάσω,
Γέροντι πατρὶ Ταντάλῳ
Ὃς ἔτεκεν ἔτεκεν γενέτορας
Ἐμέθεν δόμων,
Οἳ κατεῖδον ἄτας
Τὸ πτανὸν μὲν δίωγμα πώλων,
Τεθριπποβάμονι στόλῳ,
Πέλοψ ὁπότε πελάγεσι διεδίφρευσε,
Μυρτίλου φόνον δικὼν ἐς οἶδμα πόντου,
Λευκοκύμασι πρὸς Γερασίαις
Ποντίων σάλων
Ἠιόσιν ἁρματεύσας·
Ὅθεν δόμοισι τοῖς ἐμοῖς
Ἦλθ᾽ ἀρὰ πολύστονος,
Λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
Τὸ χρυσόμαλλον ἀρνὸς ὁπότε
Γένετο, τέρας ὀλοὸν ὀλοὸν
Ἀτρέως ἱπποβότα. ὅθεν ἔρις τὸ πτερωτὸν
Ἡλίου μετέβαλεν ἅρμα, τὰν πρὸς ἑ-
σπέραν κέλευθον οὐρανοῦ προσαρμόσας.
Μονόπωλον εἰς ἀῶ, ἑπταπόρου τε
Δρομήματα πλειάδος, εἰς ὁδὸν ἄλλαν

Ζεὺς

Digitized by Google

Ζεὺς μεταβάλλει. τῶν δὲ τ' ἀμείβει
Θανάτους θανάτων, τάτ' ἐπώνυμα
Δεῖπνα Θυέστου, λέκτρα τε κρήσσας
Ἀερόπας δολίας, δολίοισι γάμοις.
Τὰ πανύστατα δ' εἰς ἐμὲ καὶ γίνεται
Ἐμὸν ἤλυθε, δόμων πολυπόνοις ἀνάγκαις.

ΑΝΑΠΑΙΣΤΟΙ.

χο. Καὶ μὴν ὅδε σύγγονος ἕρπει,
Ψήφῳ θανάτου κατακυρωθεὶς,
Ὅ,τε πιστότατος πάντων Πυλάδης,
Ἰσάδελφος ἀνὴρ,
Ἰθύνων νοσερὸν κῶλον Ὀρέστου,
Ποδὶ κηδοσύνῳ παράσειρος.

ΙΑΜΒΟΙ.

ἠλέ. Οἲ ἐγώ. πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω
Ἀδελφὲ, καὶ πάροιθε νερτέρων πυρᾶς.
Οἲ ἐγὼ μάλ' αὖθις, ὡς ἰδοῦσά σ' ὄμμασι
Πανυστάτην πρόσοψιν, ἐξέστην φρενῶν.
ὀρέ. Οὐ σῖγ', ἀφεῖσα τοὺς γυναικείους γόους,
„ Στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
„ Φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας.
ἠλέ. Καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ
Τόδ' οὐκέτ' ἡμῖν τοῖς ταλαιπώροις μέτα;
ὀρέ. Σὺ μή μ' ἀπόκτειν'. ἅλις ὑπ' Ἀργείας χερὸς
Τέθνηχ' ὁ τλάμων. τὰ δὲ παρόντ' ἔα κακά.
ἠλέ. Ὦ μέλεος ἥβης σῆς Ὀρέστα, καὶ πότμου,
Θανάτου τ' ἀώρου. ζῆν ἐχρῆν σ' ὅτ' οὐκέτ' εἶ.
ὀρέ. Μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
Εἰς δάκρυα πορθεύμενος ὑπόμνησιν κακῶν.
ἠλέ. Θανούμεθ'. οὐχ οἷόν τε μὴ στένειν κακά.
„ Πᾶσι γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.
ὀρέ. Τόδ' ἦμαρ ἡμῖν κύριον. δεῖ δ' ἢ βρόχους
Ἅπτειν κρεμαστοὺς, ἢ ξίφος θήγειν χερί.
ἠλέ. Σύ νυν μ' ἀδελφὲ, μή τις Ἀργείων κτάνῃ,
Ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.
ὀρέ. Ἅλις τὸ μητρὸς αἷμ' ἔχω, σὲ δ' οὐ κτενῶ,
Ἀλλ' αὐτόχειρι θνῆσχ', ὅτῳ βούλει, τρόπῳ.
ἠλέ. Ἔσται τάδ'. οὐδέν σου ξίφους λελείψομαι,
Ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
ὀρέ. Τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε,

Jupiter mutat, & permutat
Neces necibus, & famoſam
Cœnam Thyeſtæ,& thalamum Cretenſis
Aeropæ doloſæ,doloſis nuptiis.
Poſtrema in me & patrem
Meum venerunt miſero fato familiæ.

Chorus.

Atqui frater tuus accedit
Capitali ſententia damnatus,
Et fideliſſimus omnium Pylades,
Vir par fratri, gubernans
Languidum pedem Oreſtis,
Iunctus greſſu officioſo.

Electra.

Hei mihi,videns te ante mortem gemo
Frater,& ante rogum inferorum.
Heu mihi rurſus,quam videns oculis
Vltimum aſpectum, animo abalienata ſum.

Ore. Non tacite,omiſſis mulebribus lamentationibus,
,, Boni cõſules q̃ fiunt? Sũt q̃ dẽ iſta miſerabilia, ſed tamẽ
,, Oportet te ferre præſentes fortunas,

Elec. Et quomodo tacebo?intueri lumen Dei
Hoc non amplius licet nobis miſeris.

Ore. Non occidas tu me:ſatis ab Argiua manu
Mortuus ſum miſer:ſine præſentia mala.

Elec. O miſer Oreſtes ptopter tuam adoleſcentiã & fatum,
Et mortẽ intẽpeſtiuã, oportebat te viuere, quãdo non [amplius es.

Ore. Ne per Deos iniicias mihi molliciem,
In lachrymas traducens, nõ cõmemorationẽ malorũ.

Elec. Moriemur,nõ eſt poſſibile non deplorare mala:
,, Omnibus hominib.eſt miſerabile,amittere charã vitã.

Ore. Iſta dies eſt nobis conſtituta, oportet aut laqueos
Penſiles ſuſpendere,aut acuere manu gladium.

Elec. Tu nunc me frater occide,ne quis Argiuorũ occidat,
Contumelia afficiens genus Agamemnonis.

Ore. Satis habeo ſanguinem matris,te non interficiam:
Sed moriaris nece quã tibi ipſa cõ ſciſas,quocunq; mo- [do vis.

Elec. Fiet:non deſerar a tuo gladio.
Sed volo brachia circundare tuo collo.

Ore. Delecteris inani voluptate,ſiq̃dẽ hoc te delectat,

„ Circundare brachia euntibus ad mortem.
Elec. O chariſſime,ô habens deſiderabile & dulciſſimum
Nomen ſororis tuæ,& vnam animam.
Ore. Liquefacies me,volo tibi reſpondere
Officio brachiorum. quid enim miſer erubeſcam?
O pectus ſororis,ô charus amplexus mihi,
Hæc pro filiorum oſculis & coniugali lecto
Alloquia adſunt inter miſeros vtrinque.
Elec. Heu, quomodo idem gladius nos interficiet, ſi fas ſit?
Et accipiet vnum ſepulchrum,opus cedri?
Ore. Suauiſſimum eſſet hoc:ſed vides,amicis
Quomodo caremus, vt coniungamur ſepulchro?
Elec. Nihil dixit,pro te operam nauans, ne moriaris
Menelaus prauus,proditor mei patris?
Ore. Ne oſtendit quidem oculũ,ſed in ſceptris habens
Spem,veritus eſt ſeruare amicos.
Sed ſine,vt generoſa & Agamemnone
Facientes digniſſima moriamur.
Et ego quidem ingenuitatem oſtendam vrbi.
Feriens gladio hepar:te autem oportet
Similia facere meis auſis.
Pylades,tu eſto nobis procurator mortis,
Et morientium bene cures corpora,
Et ſepeli ſimul,ferens ad patris tumulum,
Et vale:vado enim ad opus,vt vides.
Pyl. Differ. hoc enim primum te accuſo,
Si ſperaſti,me velle viuere te mortuo.
Ore. Quorſum enim attinet te mecum mori?
Pyl. Interrogaſti? quorſum vero viuere ſine tua amicitia?
Ore. Non interfeciſti tuam matrem, ſicut ego miſer.
Pyl. Tecum:ſimul hæc pati me oportet.
Ore. Redde tuum corpus patri, non moriaris mecum.
Tibi enim eſt ciuitas, mihi autem non iam.
Et domus patris,& magnus portus diuitiarum.
Nuptiis autem huius miſeræ fruſtratus es,
Quam deſpondi tibi, colens amicitiam:
Tu autem accipias aliam coniugem ad gignendum.
Affinitas enim mea & tua non amplius eſt.
Sed ô deſiderabilis ocule meæ familiaritatis
Vale. non enim hoc licet nobis,tibi tamen erit.

Digitized by Google

,, Θανάτου πύλας βεβῶσι περιβαλεῖν χέρας.
ἠλέ. Ὦ φίλτατ', ὦ ποθεινὸν, ἥδιστόν τ' ἔχων
Τῆς σῆς ἀδελφῆς ὄνομα, καὶ ψυχὴν μίαν.
ὀρέ. Ἔκ τοι με τήξεις· καί σ' ἀμείψασθαι θέλω
Φιλότητι χειρῶν. τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
Ὦ στέρν' ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ' ἐμὸν,
Τάδ' ἀντὶ παίδων καὶ γαμηλίου λέχους
Προσφθέγματ' ἀμφὶ τοῖς ταλαιπώροις πάρα.
ἠλέ. Φεῦ. πῶς ἂν ξίφος νὼ ταὐτὸν, εἰ θέμις, κτάνοι,
Καὶ μνῆμα δέξαιθ' ἓν, κέδρου τεχνάσματα;
ὀρέ. Ἥδιστ' ἂν εἴη ταῦθ'. ὁρᾷς δὲ δὴ φίλων
Ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν τάφου;
ἠλέ. Οὐδ' εἶφ' ὑπὲρ σοῦ, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακὸς, ὁ προδότης τοὐμοῦ πατρός;
ὀρέ. Οὐδ' ὄμμ' ἔδειξεν. ἀλλ' ἐπὶ σκήπτροις ἔχων
Τὴν ἐλπίδ', ηὐλαβεῖτο μὴ σώζειν φίλους.
Ἀλλ' εἶα, ὅπως γενναῖα, κἀγαμέμνονος
Δράσαντε κατθανούμεθ' ἀξιώτατα.
Κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
Παίσας πρὸς ἧπαρ φασγάνῳ. σὲ δ' αὖ χρεὼν
Ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασι.
Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεὺς,
Καὶ κατθανόντοιν εὖ περίστειλον δέμας,
Θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.
Καὶ χαῖρ'. ἐπ' ἔργον δ' ὡς ὁρᾷς πορεύομαι.
πυλ. Ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
Εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἤλπισας.
ὀρέ. Τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
πυλ. Ἤρου; τί δὲ ζῆν σῆς ἑταιρείας ἄτερ;
ὀρέ. Οὐκ ἔκτανες σὴν μητέρ', ὡς ἐγὼ τάλας.
πυλ. Σὺν σοί γε, κοινῇ ταὐτὰ καὶ πάσχειν με δεῖ.
ὀρέ. Ἀπόδος τὸ σῶμα πατρὶ, μὴ σύνθνησκέ μοι.
Σοὶ μὲν γάρ ἐστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δή.
Καὶ δῶμα πατρὸς, καὶ μέγας πλούτου λιμήν.
Γάμου δὲ τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
Ἥν σοι κατηγγύησ' ἑταιρείαν σέβων.
Σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβὼν,
Κῆδος δὲ τοὐμὸν καὶ σὸν, οὐκέτ' ἐστὶ δή.
Ἀλλ' ὦ ποθεινὸν ὄμμ' ὁμιλίας ἐμῆς,
Χαῖρ'. οὐ γὰρ ἡμῖν ἐστι τοῦτο. σοί γε μήν.

,, Οἱ γὰρ θανόντες, χαρμάτων τητώμεθα.
πυλ. Ἦ πού λέλειψαι τῶν ἐμῶν βουλευμάτων;
,, Μήθ᾽ αἷμά μου δέξαιτο κάρπιμον πέδον.
,, Μὴ λαμπρὸς αἰθὴρ, εἴ σ᾽ ἐγὼ προδούς ποτε,
,, Ἐλευθερώσας τοὐμὸν, ἀπολίποιμί σε.
Καὶ συγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
Καὶ πάντ᾽ ἐβούλευσ᾽, ὧν σὺ νῦν τίνεις δίκας.
Καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ, καὶ τῇδ᾽ ὁμοῦ.
Ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος ἐπῄνεσα,
Κρίνω δάμαρτα. τί γὰρ ἐρῶ καλόν ποτε
Γῆν Δελφίδ᾽ ἐλθὼν, Φωκέων ἀκρόπτολιν;
Ὃς, πρὶν μὲν ὑμᾶς δυστυχεῖν, φίλος παρῆν,
Νῦν δ᾽ οὐκέτ᾽ εἰμὶ δυστυχοῦντί σοι φίλος;
Οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
Ἐπεὶ δὲ κατθανούμεθ᾽, εἰς κοινοὺς λόγους
Ἔλθωμεν, ὡς ἂν Μενέλεως συνδυστυχῇ.
ὀρέ. Ὦ φίλτατ᾽, εἰ γὰρ τοῦτο κατθάνοιμ᾽ ἰδών.
πυλ. Πιθοῦ νυν, ἀνάμεινον δὲ φασγάνου τομάς.
ὀρέ. Μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.
πυλ. Σίγα νυν, ὡς γυναιξὶ πιστεύω βραχύ.
ὀρέ. Μηδὲν τρέσῃς τάσδ᾽, ὡς πάρεισ᾽ ἡμῖν φίλαι.
πυλ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.
ὀρέ. Πῶς, τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴ γ᾽ ἔσται καλῶς.
πυλ. Σφάξαντες. ἐν δόμοις δὲ κρύπτεται σέθεν.
ὀρέ. Μάλιστα. καὶ δὴ πάντ᾽ ἀποσφραγίζεται.
πυλ. Ἀλλ᾽ οὐκέτ᾽, ᾅδην νυμφίον κεκτημένη.
ὀρέ. Καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.
πυλ. Τίνας; Φρυγῶν γὰρ οὐδέν᾽ ἂν τρέσαιμ᾽ ἐγώ.
ὀρέ. Οἵους, ἐνόπτρων καὶ μύρων ἐπιστάτας.
πυλ. Τρυφὰς γὰρ ἥκει δεῦρ᾽ ἔχουσα Τρωϊκάς.
ὀρέ. Ὥσθ᾽ Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.
πυλ. Οὐδὲν τὸ δοῦλον, πρὸς τὸ μὴ δοῦλον γένος.
ὀρέ. Καὶ μὴν τόδ᾽ ἔρξας, δὶς θανεῖν οὐ χάζομαι.
πυλ. Ἀλλ᾽ οὐδ᾽ ἐγὼ μὴν, σοί γε τιμωρούμενος.
ὀρέ. Τὸ πρᾶγμα δήλου, καὶ πέραιν᾽ ὅπως λέγεις.
πυλ. Εἴσιμεν εἰς οἴκους δῆθεν ὡς θανούμενοι.
ὀρέ. Ἔχω τοσοῦτον. τἀπίλοιπα δ᾽ οὐκ ἔχω.
πυλ. Γόους πρὸς αὐτὴν θησόμεθ᾽, ἃ πάσχομεν.
ὀρέ. Ὥστ᾽ ἐκδακρῦσαί γ᾽ ἔνδοθεν κεχαρμένην.
πυλ. Καὶ νῷν παρέσται ταῦτ᾽, ἅπερ κείνῃ τότε.

ὀρέ.

» Nam mortui priuamur gaudio.
Pyl. Equidem non aſſequeris quid velim.
» Neque ſanguinem meum accipias ferax terra,
» Neque ſplendidus æther, ſi ego te vnquam prodens,
» Et liberans meum corpus, deſeram.
Nam & ſimul interfeci illam, non negabo:
Et totū conſiliū dedi de iis. ob q̄ tu nunc das pœnas.
Ergo & ſimul mori me oportet tecum & cum hac.
Nam ipſam meam, cui ſpopondi nuptias,
Iudico cōiugē. Nā quid vnquā honeſtum dicam,
Veniens in Delphidem, arcem Phocenſium?
Qui priusquam eſſetis miſeri, affui amicus,
Nunc non ſum amicus tibi infelici?
Nihil eſt, ſed hæc & mihi ſunt curæ.
Sed poſtquam ſumus morituri, vna rationem
Ineamus, quomodo Menelaus ſimul triſtetur.
Ore. O chariſſime, vtinam videns hoc moriar.
Pyl. Sequere nunc, ſed differ ſectionem enſis.
Ore. Differam, ſi poſſim vlciſci inimicum.
Pyl. Tace nunc, quia parum credo mulieribus.
Ore. Ne timeas has, quæ adſunt nobis amicæ.
Pyl. Helenā interficiem⁹? id afficiet Menelaū magno dolore.
Ore. Qđ o? paratus enim ſum, ſiquidē poterit præclare fieri.
Pyl. Interficiemus: latet enim in domo tua.
Ore. Maxime, & iam oīa obſignat. *quaſi cernēs hereditatem meam.*
Pyl. Sed non amplius, nacta Plutonem ſponſum,
Ore. Quomodo? habet enim barbaros comites,
Pyl. Quos? neminem Phrygem metuo.
Ore. Quales poſſint eſſe curatores ſpeculorū & vnguentorū.
Pyl. Venit ergo huc habens delicias Troianas?
Ore. Ita, vt Græcia ſit ei parua domuncula.
Pyl. Nihil eſt ſeruile genus ad non ſeruile.
Ore. Sane hoc faciens, non recuſo bis mori.
Pyl. Sed neque ego: modo tibi opem feram.
Ore. Oſtende rem, & perfice ſicut dicis.
Pyl. Intremus in domum. tanquam morituri.
Ore. Habeo hoc, reliqua non habeo.
Pyl. Lamentabimur ad ipſam de his quæ patimur.
Ore. Vt ploret, quanquam in animo gaudeat.
Pyl. Et nobis aderunt hæc, ſicut illi, tunc.

Digitized by Google

Ore. Deinde quomodo pugnabimus?
Pyl. Habebimus gladios,acutos in veſtibus.
Ore. Et coram miniſtris quæ nex fiet?
Pyl. Excludemus eos,alium alio in contignationibus.
Ore. Et eum qui non tacuerit,interficiemus.
Pyl. Deinde ipſa res docebit,quæ oporteat intendere.
Ore. Interficere Helenam, agnoſco ſymbolum.
Pyl. Tenes. audi nunc, quam honeſte conſulam,
Si enim in mulierem honeſtam
Mitteremus gladium,eſſet ignominioſa cædes,
Nunc dabit pœnas toti Græciæ,
Et illis quorũ parẽtes occidit,& quorũ liberos ꝑdidit,
Et ſponſas fecit orbatas maritis.
Erit vociferatio, & accendent ignem diis,
Precantes tibi & mihi multa glorioſa obtingere,
Eo quod fecimus cædem malæ mulieris.
Non vocaberis matricida,ſi hanc interfeceris:
Sed relinquens hoc,nomen habebis melius:
Diceris interfector Helenes,quæ multos interfecit.
Nõ oportet ſane,non oportet Menelaũ eſſe felicẽ,
Ac tuum patrem & te & ſororem mori:
(Matrem omitto.nam hoc non eſt honeſtum dicere.)
Et habere tuam domum,per Agamemnonis militiam
Qui recepit vxorem. Non amplius viuam,
Si non aduerſus illam ſtrinxero atrum enſem.
Sed ſi non potiemur cæde Helenes,
,, Incendentes hanc domum,moriemur.
,, Nam etſi alterutrũ non ſucceſſerit,habebimus gloriã
Honeſte mortui,aut male ſeruati.
Cho. ,, Digna eſt quæ odio habeatur ab omnibus mulieribus
Puella Tyndaris,quæ deformat genus.
Ore. ,, Ah,nihil eſt præſtantius quam certus amicus,
,, Non opes,non regnum:ac ſtultum eſt
Multitudinem eſſe compenſationem generoſi amici.
Nam tu & mala contra Ægiſthum inueniſti,
Et prope aderas mihi in periculis,
Et nunc rurſus das mihi vltionem hoſtium,
Et non abes. Sed deſinam te laudare. Quia
,, Etiam hoc eſt moleſtum, nimium laudari.
Ego autem omnino exhalans meam animam,

Volo

ὀρέ. Ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα;
πυλ. Κρύπτ' ἐν πέπλοισι δ' ἕξομεν ξίφη.
ὀρέ. Πρόσθεν δ' ὀπαδῶν τίς ὄλεθρος γενήσεται;
πυλ. Ἐκκλείσομεν σφᾶς, ἄλλον ἄλλοσ' ἐν στέγαις.
ὀρέ. Καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.
πυλ. Εἶτ' αὐτὸ δηλοῖ τοὔργον, ἢ τείνειν χρεών.
ὀρέ. Ἑλένην φονεύειν, μανθάνω τὸ σύμβολον.
πυλ. Ἔγνως. ἄκουσον δ' ὡς καλῶς βουλεύομαι.
Εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεστέραν
Ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος.
Νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
Ὧν πατέρας ἔκτειν', ὧν τ' ἀπώλεσε τέκνα,
Νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
Ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσι θεοῖς.
Σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
Κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
Ὁ ματροφόντης δ' οὐ καλῇ, τοῦτον λαχών.
Ἀλλ' ἀπολιπὼν τοῦτ', ἐπὶ τὸ βέλτιον πεσῃ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
Οὐ δεῖ ποτ' οὐ δεῖ, Μενέλεων μὲν εὐτυχεῖν,
Τὸν σὸν δὲ πατέρα, καὶ σέ, κἀδελφὴν θανεῖν,
Ματέρα τ' (ἐῶ τοῦτ'. οὐ γὰρ εὐπρεπὲς λέγειν)
Δόμους τ' ἔχειν σούς, δι' Ἀγαμέμνονος δόρυ
Λαβόντα νύμφην. μὴ γὰρ οὖν ζῴην ἔτι,
Εἰ μὴ 'πὶ κείνῃ φάσγανον σπάσω μέλαν.
Ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
Πρήσαντες οἴκους τούσδε, κατθανούμεθα.
„ Ἑνὸς γὰρ οὐ σφαλέντες, ἕξομεν κλέος
„ Καλῶς θανόντες, ἢ καλῶς σεσωσμένοι.
χο. Πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
„ Ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνε γένος.
ὀρέ. Φεῦ. οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ φίλος σαφής.
„ Οὐ πλοῦτος, οὐ τυραννίς. ἀλόγιστον δέ τι
„ Τὸ πλῆθος, ἀντάλλαγμα γενναίου φίλου.
Σὺ γὰρ τά τ' εἰς Αἴγισθον ἐξηῦρες κακά,
Καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί.
Νῦν δ' αὖ δίδως μοι πολεμίων τιμωρίαν.
Κοὐκ ἐκποδὼν εἶ. παύσομαί σ' αἰνῶν. ἐπεὶ
„ Βάρος τι κἀν τῷδ' ἐστὶν, αἰνεῖσθαι λίαν.
Ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμήν,

Δράσας τι χρήζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
Ἵν' ἀντιναλώσωμεν, οἵ με προὔδοσαν,
Στένωσι δ' οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
Ἠρξιωθείς. οὐ τύραννος, ἀλλ' ὅμως
Ῥώμην θεοῦ τιν' ἔσχεν. ὃν οὐ καταισχυνῶ,
Δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
Ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
Ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
Εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
Κτανοῦσιν, οὐ θανοῦσιν. εὔχομαι τάδε.
„ Ὃ βούλομαι γὰρ ἡδύ, καὶ διὰ στόμα
„ Πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένας.
ἠλέ. Ἐγὼ κασίγνητ' αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
Σωτηρίαν σοί, τῷδέ τ', ἐκ τρίτου τ' ἐμοί.
ὀρέ. Θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
Ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.
ἠλέ. Ἄκουε δὴ νῦν. καὶ σὺ δεῦρο νοῦν ἔχε.
ὀρέ. Λέγ'. Ὡς τὸ λέγειν ἀγάθ', ἔχει τιν' ἡδονήν.
ἠλέ. Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.
ὀρέ. Οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.
ἠλέ. Αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.
ὀρέ. Τί χρῆμα δράσουσ'; ὑποτίθης τίν' ἐλπίδα.
ἠλέ. Χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφου.
ὀρέ. Καὶ δὴ τί μοι τοῦτ' εἶπας εἰς σωτηρίαν;
ἠλέ. Συλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.
ὀρέ. Τίνος τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;
ἠλέ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ,
Ἢ τόνδε, κἀμὲ (πᾶν γὰρ ἓν φίλον τόδε)
Λέγ' ὡς φονεύσεις Ἑρμιόνην. ξίφος δὲ χρὴ
Δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
Κἂν μέν σε σώζῃ μὴ θανεῖν χρῄζων κόρην
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,
Μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας.
Ἢν δ' ὀξυθύμου μὴ κρατῶν φρονήματος,
Κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
Καὶ νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
Χρόνῳ μαλάξειν σπλάγχνον. οὔτε γὰρ θρασὺς,
Οὔτ' ἄλκιμος πέφυκε, τήνδ' ἡμῖν ἔχω
Σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.

Volo aliquid faciens inimicis meis mori:
Vt viciſſim perdamus illos,qui me prodiderunt,
Et gemant,qui me miſerum fecerunt.
Agamemnonis filius ſum, qui Græciæ
Imperauit,dignus iudicatus,non tyrannus,ſed tamen
Habuit robur a Deo,quem non afficiam dedecore,
Oppetens ſeruilem mortem,ſed libere
Vitam amittam,& Menelaum vlciſcar.
Eſſemus enim felices, ſi vnum poſſemus adipiſci,
Si alicunde inſperata ſalus accideret,
Necantibus,non morientibus: opto hæc.
„ Nam quod volo,ſuaue eſt,& per os
„ Volucri ſermone ſine ſumptu delectabo animum.
Elec. Ego frater,exiſtimo hoc ipſum ferre
Salutem tibi & huic,& tertio mihi.
Ore. Dicis diuinitus conſilium,ſed vbi hoc eſt?
Quia ſcio prudentiam adeſſe tuæ animæ.
Elec. Audi nunc,& tu huc aduerte animum.
Ore. Dic,quia bene dicere habet aliquam voluptatem.
Elec. Nouiſti filiam Helenæ?ſcientem interrogo.
Ore. Noui Hermionem, quam educauit mater mea.
Elec. Illa abiit ad ſepulchrum Clytæmneſtræ.
Ore. Quid factura?ſuggeris aliquam ſpem.
Elec. Libatura inferias ad ſepulchrum matris.
Ore. Quare vero dicis mihi hoc conferre ad ſalutem?
Elec. Capite hanc obſidem,quando redierit.
Ore. Cuius rei dicis hoc eſſe remediũ nobis tribus amicis,
Elec. Interfecta Helene,ſi q̃d Menelaus cõtra te vellet agere,
Aut hunc,& me(quia omnes tres ſumus vnũ corpus.)
Dic ꝙ ſis interfecturus Hermionẽ,& oportet te gladiũ
Strictum habere ad ipſum collum virginis:
Si te ſeruarit,petens ne interficiatur filia
Menelaus,videns corpus Helenes in ſanguine,
Sine patrem poſſidere puellæ corpus:
Si autem impotens vehementis animi
Volet te interficere, & tu ferito collum virginis.
Et ipſum exiſtimo,etiamſi primum aderit vehemens,
Deinde molliturum animum:non enim durus
Neque fortis eſt. Hoc habeo nobis
Propugnaculum ſalutis, dicta eſt oratio,

Ore.

Ore. O habens virilem animum,
Et corpus inter mulieres decorum,
Quam digna es magis viuere quam mori.
Pylades igitur fruſtraberis miſer tali
Muliere,cũ qua viuens haberes felix coniugium.
Pyl. Vtinam vero fiat, & veniat ad vrbem Phocenſem
Nacta felices nuptias.
Ore. Quando veniet ad domum Hermione?
Quia reliqua dixiſti,ſi hoc ſucceſſerit,
Optima capientibus catulum impii patris,
Elec. Puto vero iam eam eſſe prope domum.
Etenim ipſa temporis longitudo eo quadrat.
Ore. Recte, tu quidem ſoror Electra domum
Ante manens, obſerua pedem virginis,
Et obſerua,ſi quis priusquam fiat cædes,
Aut ſocius,aut frater patris,
Anteuertat veniens in domũ, clamita vero in domũ,
Aut valuas pulſans,aut mittens ſermonem intro.
Nos vero intrantes,ad poſtremum
Certamen armabimus manum enſe.
Pylades:tu enim iuuas me in laboribus.
O pater habitans domum atræ noctis,
Inuocat te Oreſtes filius tuus,vt venias auxiliator
Precantibus.Nam propter te iſta patior miſer.
Iniuſteque proditus ſum a tuo fratre,
Cum recte fecerim ,cuius volo vxorem captam
Interficere: tu vero eſto adiutor nobis in hac re.
Elec. O pater veni igitur,ſiquidem audis ſub terra
Vocantes liberos , qui tua cauſa moriuntur.
Pyl. O cognate mei patris,etiam meas preces
Agamemnon exaudi,ſerua liberos.
Ore. Interfeci matrem. *Pyl.* Et ego attigi gladium.
Elec. Ego inſtruxi inſidias,& liberaui a metu.
Ore. Te pater vlciſcens. *Ele.* Neque ego te prodidi.
Pyl. Ergo probra hæc audiens libera natos.
Ore. Libo tibi lachrymis. *Elec.* Et ego lamentationibus.
Pyl. Deſinite,& pergamus ad opus.
„ Siquidem enim ſub terram preces penetrant,
„ Audit. Tu vero ô Iupiter proaue, & numen Iuſtitiæ,
Date ſucceſſum in hac re iſti, mihi, & huic.

Tribus

ὀρέ. Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
Τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
Ὡς ἀξία ζῆν μᾶλλον, ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσῃ τάλας
Γυναικός. ἢ ζῶν, μακάριον κτήσῃ λέχος.
πυλ. Εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
Καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
ὀρέ. Ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
Ὡς τἄλλα γ' εἶπας, εἴ περ εὐτυχήσομεν,
Κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.
ἠλέ. Καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ.
Καὶ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
ὀρέ. Καλῶς. σὺ μὲν δὴ σύγγον' Ἠλέκτρα δόμων
Πάρος μένουσα, παρθένου δέχου πόδα.
Φύλασσε δ' ἤν τις, πρὶν τελευτηθῇ φόνος
Ἢ ξύμμαχός τις, ἢ κασίγνητος πατρὸς,
Ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνε δ' εἰς δόμους,
Ἢ σανίδας παίσασ', ἢ λόγους πέμψασ' ἔσω.
Ἡμεῖς δ' ἔσω στείχοντες, ἐπὶ τὸν ἔσχατον
Ἀγῶν' ὁπλιζόμεσθα φασγάνῳ χέρας.
Πυλάδη, σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
Ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
Καλεῖ σ' Ὀρέστης παῖς σὸς, ἐπίκουρον μολεῖν
Τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας.
Ἀδίκως προδέδομαί τ' ὑπὸ κασιγνήτου σέθεν,
Δίκαια πράξας. οὗ θέλω δάμαρθ' ἑλὼν,
Κτεῖναι. σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.
ἠλέ. Ὦ πάτερ, ἱκοῦ δῆτ', εἰ κλύεις εἴσω χθονὸς,
Τέκνων καλούντων, οἳ σέθεν θνήσκουσ' ὕπερ.
πυλ. Ὦ συγγένεια πατρὸς ἐμοῦ, καὶ ἐμὰς λιτὰς,
Ἀγάμεμνον, εἰσάκουσον. ἔκσωσον τέκνα.
ὀρέ. Ἔκτεινα μητέρα. Π. ἡψάμην δ' ἐγὼ ξίφους.
ἠλέ. Ἐγὼ δ' ἐπεβούλευσα, κἀπέλυσ' ὄκνου.
ὀρέ. Σοὶ πάτερ ἀρήγων. Η. οὐδ' ἐγὼ προὔδωκά σε.
πυλ. Οὔκουν ὀνείδη τάδε κλύων ῥύσαι τέκνα.
ὀρέ. Δακρύοις κατασπένδω σε. ἠλέ. ἐγὼ δ' οἴκτοισί γε.
πυλ. Παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
„ Εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραὶ,
„ Κλύει. σὺ δ' ὦ Ζεῦ πρόγονε, καὶ δίκης σέβας,
Δότ' εὐτυχῆσαι τῷδ', ἐμοί τε, τῇδέ τε.

Τελοτοῖς

Τέλος τοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία,
Ἢ ζῆν ἅπασιν, ἢ θανεῖν ὀφείλεται.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ α΄.

ἠλ. 1 Μυκηνίδες ὦ φίλαι,
2 Τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.
χο. 3 Τίνα θροεῖς αὐδὰν πότνια;
4 Παραμένει γὰρ ἔτι σοι τόδ᾽ ἐν
5 Δαναϊδῶν πόλει.

Σύστημα α΄.

ἠλ. 1 Στῆθ᾽ αἱ μὲν ὑμῶν, τὴν δ᾽ ἁμαξήρη τρίβον.
2 Αἱ δ᾽ ἐνθάδ᾽ ἄλλον οἶμον, ἐς φρουρὰν δόμων.

Στροφὴ β΄.

χο. 1 Τί δέ μοι τόδε χρέος ἀπύεις;
2 Ἔννεπέ μοι, φίλα.
ἠλ. 3 Φόβος ἔχει με, μή τις ἐπὶ δώμασι
4 Σταθεὶς ἐπὶ φόνιον αἷμα
5 Πήματα πήμασιν ἐξεύρῃ.

Σύστημα β΄.

ἡμι. 1 Χωρεῖτ᾽, ἐπειγώμεσθ᾽. ἐγὼ μὲν οὖν τρίβον
2 Τὴν δ᾽ ἐκφυλάξω, τὴν πρὸς ἡλίου βολάς.
ἡμι. 3 Καὶ μὴν ἐγὼ τήνδ᾽, ἣ πρὸς ἑσπέραν φέρει.

Στροφὴ γ΄.

ἠλ. 1 Δόχμια νῦν κόρας
2 Διάφερ᾽ ὀμμάτων
3 Ἐκεῖθεν, ἐνθάδ᾽. εἶτ᾽ ἐπ᾽
4 Ἄλλην σκοπιάν.
χο. 5 Ἔχομεν ὡς θροεῖς.

Ἀντιστροφὴ α΄.

1 Ἡ. ἑλίσσετε νῦν βλέφαρον,
2 Κόραισι δίδοτε διὰ βοστρύχων πάντῃ.
ἡμι. 3 Ὅδε τις ἐν τρίβῳ προσέρχεται.
4 Τίς ὅδ᾽ ἄρ᾽ ἀμφὶ μέλαθρον πολεῖ
5 Σὸν ἀγρότας ἀνήρ;

Ἀντισύστημα α΄.

ἠλ. 1 Ἀπωλόμεσθ᾽ ἄρ᾽ ὦ φίλαι, κεκρυμμένους
2 Θῆρας ξιφήρεις αὐτίκ᾽ ἐχθροῖς ἣν φανῇ.

Ἀντιστροφὴ β΄.

ἡμι. 1 Ἄφοβος ἔχε κενὸς γὰρ, ὦ φίλα,
2 Στίβος, ὃν σὺ δοκεῖς.

ἠλέ.

Tribus enim amicis eſt vnũ certamen,& vna vindicta.
Debent aut omnes viuere,aut mori.

PERICOMMATA.

Strophe I.

El. O charæ Mycenides,
Quæ eſtis primariæ in Pelaſgo ſolo Argiuorum.
Ch. Quam vocem ſonas ô veneranda?
Manet etenim te hoc in
Vrbe Danaidum.

Syſtema I.

El. State aliæ veſtrum in hac via publica,
Aliæ hic in alia via ad præſidium domus.

Strophe II.

Ch. Propter quam cauſam hoc me iubes?
Dic mihi, ô chara.
El. Metuo, ne quis ad domum
Stans propter cædem,
Inueniat mala in his malis.

Syſtema II.

Se. Eamus,feſtinemus,ego ſemitam
Hanc obſeruabo,ad ſolis ortum.
Se. Et ego iſtam,quæ fert ad occaſum.

Strophe III.

El. Oblique nunc pupillas
Oculorum differ,
Iſthinc, huc, deinde ad
Aliam ſpeculam.
Ch, Facimus vt iubes.

Antiſtrophe I.

Circumferte nunc palpebram,
Date pupillis vndique per capillos *locum.*
Se. Hic quis in via accedit,
Quis hic vadit circa domum
Tuam ruſticus vir?

Antiſyſtema I.

El. Periimus ô amicæ,abſconditas
Feras armatas ſi ſtatim indicet hoſtibus.

Antiſtrophe II.

Se. Sis ſine metu. nam inanis eſt ô chara
Via,quam tu putas.

Elec

Digitized by Google

El. 3 Quid vero, tua fides manet mihi adhuc firma?
4 Da mihi aliquem bonum nuncium,
5 An locus ante aulam ſit vacuus.

Antiſyſtema II.

Se. 1 Hic res bene habent, ſed retro vide.
2 Quia nemo ciuium accedit ad nos.
Se. 3 Venis eodem, neque enim hic turba eſt.

Antiſtrophe III.

El. 1 Age nunc in por-
2 tis audiam:
3 Quid cunctamini in ædibus
4 Per quietem
5 Mactare hoſtiam?

Antiſyſtema III.

1 Non audiunt. O miſera ego propter mala.
2 Num propter pulchritudinem obſtupuerunt gladii?

ANOMOEOSTROPHA.

Strophe I.

1 Forte aliquis Argiuus
2 Armatus properans,
3 Pede auxiliatore
4 Accurrit ad ædes:
Spectate nunc melius, non expedit ſedere:
Sed aliæ huc, aliæ illuc eatis.

Strophe II.

Ch. 1 Mutamus viam
2 Speculantes vndique.
Hele. O Pelaſgum Argos, pereo male.
Elec. Audiſtis? viri habent manus in cæde:
Eſt eiulatus Helenæ vt licet coniicere.

Strophe III.

Se. 1 O Iouis, ô Iouis immenſa potentia,
2 Veni auxilians meis amicis omnino.
Hele. Menelae, morior, tu vero præſens me non iuuas.

MONOSTROPHICA.

Elec. Interficite, ferite, occidite, perdite,
Duos ancipites gladios mittite,
Ferientes e manu
Deſertricē parentū, linquentē cōiugem, quę plurimos
Interfecit Græcorum

In

Digitized by Google

Ἠλ. 3 Τί δ᾽; τὸ σὸν βέβαιον ἐπ᾽ ἐμοὶ μένει;
4 Δὸς ἀγγελίαν ἀγαθάν τινά μοι,
5 Εἰ τάδ᾽ ἔρημα τὰ πρόσθ᾽ αὐλᾶς.

Ἀντισύστημα β΄.

Ἡμι. 1 Καλῶς τἀγ᾽ ἔνθεν, ἀλλὰ τἀπίσω σκόπει,
2 Ὡς οὔ τις ἡμῖν Δαναϊδῶν πελάζεται.
Ἡμι. 1 Εἰς ταὐτὸν ἥκεις. καὶ γὰρ οὐδὲ τῇδ᾽ ὄχλος.

Ἀντιστροφὴ γ΄.

Ἠλ. 1 Φέρε νυν ἐν πύλαι-
2 σιν ἀκοὰν βάλω,
3 Τί μέλλεθ᾽ οἱ κατ᾽ οἶκον
4 Ἐν ἡσυχίᾳ
5 Σφάγια φοινίσσειν;

Ἀντισύστημα γ΄.

1 Οὐκ εἰσακούουσιν. ὦ τάλαιν᾽ ἐγὼ κακῶν.
2 Ἆρ᾽ εἰς τὸ κάλλος ἐκκεκώφωται ξίφη;

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α΄.

1 Τάχα τις Ἀργείων
2 Ἔνοπλος ὁρμήσας,
3 Ποδὶ βοηδρόμῳ
4 Μέλαθρα προσμίξει.
Σκέψασθε νυν ἄμεινον. οὐχ ἕδρας ἀγών.
Ἀλλ᾽ αἱ μὲν ἐνθάδ᾽, αἱ δ᾽ ἐκεῖσ᾽ ἑλίσσετε.

Στροφὴ β΄.

Χο. 1 Ἀμείβομεν κέλευθον
2 Σκοποῦσαι πάντῃ.
Ἑλέ. Ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.
Ἠλέ. Ἠκούσατ᾽; ἄνδρες χεῖρ᾽ ἔχουσιν ἐν φόνῳ.
Ἑλένης τὸ κώκυμ᾽ ἐστὶν, ὡς ἀπεικάσαι.

Στροφὴ γ΄.

Ἡμι. Ὦ Διὸς ὦ Διὸς ἀέναον κράτος,
2 Ἔλθ᾽ ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.
Ἑλέ. Μενέλαε, θνήσκω. σὺ δὲ παρὼν μ᾽ οὐκ ὠφελεῖς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ἠλέ. Φονεύετε, καίνετε, θείνετε, ὄλλυτε.
Δίπτυχα, δίστομα φάσγανα πέμπετε,
Ἐκ χερὸς ἱέμενοι τὰν
Λειποπάτορα, λειπόγαμον. ἃ πλείστους
Ἔκτανεν Ἑλλανῶν

Δορὶ

Δορὶ παρὰ ποταμὸν ὀλλυμένους,
Ὅθι δάκρυα δάκρυσιν
Ἔπεσε σιδαρέοισι βέλεσιν.
Ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

ΙΑΜΒΟΙ.

χο. Σιγᾶτε, σιγᾶτ᾽. ᾐσθόμην κτύπου τινὸς
Κέλευθον, εἰσπεσόντος ἀμφὶ δώματα.
ἠλέ. Ὦ φίλταται γυναῖκες, εἰς μέσον φόνον
Ἥδ᾽ Ἑρμιόνη πάρεστι. παύσωμεν βοήν.
Στείχει γὰρ εἰσπεσοῦσα δικτύων βρόχους.
Καλὸν τὸ θήραμ᾽, ἢν ἁλῷ, γενήσεται.
Πάλιν καταστῆθ᾽ ἡσύχῳ μὲν ὄμματι,
Χροιᾷ τ᾽ ἀδήλῳ τῶν δεδραγμένων ὕπερ.
Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
Ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
Ὦ παρθέν᾽, ἥκεις τὸν Κλυταιμνήστρας τάφον
Στέψασα, καὶ σπείσασα νερτέροις χοάς;
ἑρ. Ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά με
Φόβος τις εἰσελήλυθ᾽, ἥν τιν᾽ ἐν δόμοις,
Τηλουρὸς οὖσα δωμάτων, κλύω βοήν.
ἠλέ. Τί δ᾽ ἄξι᾽ ἡμῖν τυγχάνει στεναγμάτων;
ἑρ. Εὔφημος ἴσθι. τί δὲ νεώτερον λέγεις;
ἠλέ. Θανεῖν Ὀρέστην κἄμ᾽ ἔδοξε τῇδε γῇ.
ἑρ. Μὴ δῆτ᾽, ἐμούς γε συγγενεῖς πεφυκότας.
ἠλέ. Ἄραρεν. ἀνάγκης δ᾽ εἰς ζυγὸν καθέσταμεν.
ἑρ. Ἦ τοῦδ᾽ ἕκατι καὶ βοὴ κατὰ στέγας;
ἠλέ. Ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ.
ἑρ. Τίς; οὐ γὰρ οἶδα μᾶλλον ἢν σὺ μὴ λέγῃς.
ἠλέ. Τλήμων Ὀρέστης, μὴ θανεῖν, ἐμοῦ θ᾽ ὕπερ.
ἑρ. Ἐπ᾽ ἀξίοισιν ἆρ᾽ ἀνευφημεῖ δόμος.
ἠλέ. Περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
Ἀλλ᾽ ἐλθὲ, καὶ μέτασχες ἱκεσίας φίλοις,
Σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ᾽ ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
Ἀλλ᾽ ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
Οἴκτειρον ἡμᾶς, κἀπικούφισον κακῶν.
Ἴθ᾽ εἰς ἀγῶνα δεῦρ᾽. ἐγὼ δ᾽ ἡγήσομαι.
Σωτηρίας γὰρ τέρμ᾽ ἔχεις ἡμῖν μόνη.
ἑρ. Ἰδοὺ διώκω τὸν ἐμὸν εἰς δόμους πόδα.
Σώθηθ᾽ ὅσον γε τοὐπ᾽ ἐμοί. Η. ὦ κατὰ στέγας

Φίλοι

In bello, apud fluuium pereuntes,
Vbi lachrymæ inter lachrymas
Ceciderunt propter ferrea tela,
Ad flumen Scamandrum.

Chorus.

Tacete, tacete, audio ſtrepitus cuiuſdam
Viam, irruentis circa domum.

Elec. O chariſſimæ mulieres, in media cæde
Iſta Hermione adeſt, ceſſemus a clamore.
Nam vadit incidens in laqueos retium:
Egregia præda erit, ſi capta fuerit.
Iterum ſtate quieto aſpectu,
Et colore non ſignificante factum.
Et ego habebo tetricas pupillas oculorum,
Tanquam non ſciens facta.
O virgo venis, Clytæmneſtræ ſepulchrum
Poſtquam coronaſti, & libaſti inferis inferias?

Her. Venio peracta placatione: ſed me
Metus quidam cepit, quem in ædibus
Procul exiſtens a domo, audio clamorem.

Elec. Quid? fiunt quæ ſunt digna noſtro luctu.

Her. Fauſta loquere: quid noui dicis?

Elec. Decretum eſt huic vrbi, hodie Oreſten & me mori.

Her. Nequaquam fiat, cum vos ſitis mei cognati.

Elec. Decretum eſt, ſumus in iugo neceſſitatis.

Her. An propterea eſt clamor in domo?

Elec. Supplex procidens ad genua Helenæ clamat.

Her. Quis? non ſatis ſcio, niſi tu dicas.

Elec. Miſer Oreſtes orat ne occidatur, & pro me.

Her. Domus merito plorat.

Elec. Nam de qua alia re quis magis fleat?
Sed veni, & ſis amicis particeps ſupplicationis,
Procidens ante tuam matrem valde beatam:
Menelaus videat nos morientes.
Sed ô tu, quæ es educata in manibus meæ matris,
Miſerere noſtri, & leua mala,
Veni huc in certamen, ego præcedam.
Sola enim habes nobis metam ſalutis.

Her. Ecce propere pono meum pedem in domum.
Seruati eſtis, quantū in me eſt. *El.* O in contignatione

Amici armati, non capietis prædam?
Her. Hei mihi, quos hic video? *Or.* Oportet tacere.
Venis enim nobis, non tibi, in ſalutem.
Elec. Tenete, tenete, & enſem ad collum
Admouentes, quieſcite, vt videat hoc
Menelaus: quia viros, non ignauos Phrygas
Inueniens paſſus eſt ea quæ oportet pati malos,
O amicę, excitate ſtrepitum, ſtrepirum & clamorē
Ante ædes, vt facta cædes
Non incutiat Argiuis vehementem terrorem,
Atque ob id opem ferant ad ædes tyrannicas,
Priusquam prompte videam Helenæ cædem
Cruentam in domo,
Aut ſermonem miniſtrorum audiamus.
Nam quasdam calamitates ſcio, quasdam non clare.

MONOSTROPHICA.

Cho. Iuſte venit Deorum
Vindicta contra Helenam:
Nam lachrymis totam Græciam impleuit
Propter Idæum pernicioſum
Parim, qui ad Ilium Græcos adduxit.
Sed, (nam crepant clauſtra regiæ domus)
Tacete, egreditur enim aliquis Phrygum,
Ex quo audiemus, quid agatur in ædibus.
Phr. Effugi Argiuum enſem ex morte,
In barbaris calceis,
Supra cedrina faſtigia thalamorum,
Doricaque pinnacula.
Euanida, euanida terra terra
Barbaris fugientibus.
Heu heu, quo effugiam ô hoſpitæ,
Per canum ætherem volitans,
An per pontum quem Oceanus
Habens taurinum caput cubitis
Circundans amplectitur terram?
Cho. Quid eſt Helenæ miniſter Idæe?
Phr. Ilium, Ilium heu mihi
Phrygia vrbs, habens bonam glebam,
Sacer mons Idæ,
Quam doleo te periiſſe,

Digitized by Google

Φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;
ἑρ. Οἴ 'γώ. τίνας τούσδ' εἰσορῶ; Ο. σιγᾶν χρεών.
Ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοὶ σωτηρία.
ἠλέ. Ἔχετ', ἔχετε, φάσγανον δὲ πρὸς δέρῃ
Βαλόντες, ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακοὺς
Εὑρών, ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.
Ἰὼ ἰὼ φίλαι, κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν
Πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
Μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
Βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
Πρὶν ἂν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
Καθαιμακτὸν ἐν δόμοισι κείμενον,
Ἢ καὶ λόγον τοῦ προσπόλων πυθώμεθα·
Τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

χο. Διὰ δίκας ἔβα θεῶν
Νέμεσις εἰς Ἑλέναν.
Δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
Διὰ τὸν ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
Ἀλλά, κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,
Σιγήσατ', ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
Οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.
φρ. Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
Βαρβάροις ἐν εὐμαρεῖσι,
Κεδρωτὰ παστάδων ὑπὲρ τέρεμνα,
Δωρικάς τε τριγλύφους.
Φροῦδα φροῦδα γᾶ γᾶ
Βαρβάροισι δρασμοῖς.
Αἶ, αἶ. πᾷ φύγω ξέναι,
Πολιὸν αἰθέρ' ἀμπτάμενος,
Ἢ πόντον, Ὠκεανὸς ὃν
Ταυρόκρανος ἀγκάλαις
Ἑλίσσων κυκλεῖ χθόνα;
χο. Τί δ' ἔσθ' Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;
φρ. Ἴλιον, Ἴλιον, ὤμοι μοι,
Φρύγιον ἄστυ καλλίβωλον
Ἴδας ὄρος ἱερόν,
Ὥς σ' ὀλόμενον στένω.

Ἁρμάτειον ἁρμάτειον μέλος
Βαρβάρῳ βοᾷ,
Διὰ τὸ τᾶς ὀρνιθογόνου ὄμμα
Κυκνόπτερον, καλλοσύνας Λήδας σκύμνου
Δυσελένας, ξεστῶν περγάμων Ἀπολ-
λωνίων Ἐριννύν. ὀτοτοῖ.
Ἰαλέμων ἰαλέμων Δαρδανία τλάμων,
Γανυμήδεος ἱπποσύνα Διὸς εὐνέτα.
χο. Σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις.
Τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.
φρ. Αἴλινον ἀρχὰν θανάτου
Βάρβαροι λέγουσιν αἶ αἶ,
Ἀσιάδι φωνᾷ, βασιλέων
Ὅταν αἷμα χυθῇ κατὰ γᾶν
Ξίφεσι σιδαρέοισιν ἀΐδα.
Ἦλθον εἰς δόμους, ἵν' αὔθ' ἕκαστά σοι λέγω,
Λέοντες Ἕλληνες δύο διδύμω·
Τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκληΐζετο,
Ὁ δὲ παῖς Στροφίου, κακομήτας ἀνήρ,
Οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος·
Πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν.
Ξυνετὸς πολέμου. φόνιός τε δράκων.
Ἔρροι τᾶς ἡσύχου προνοίας κακοῦργος ὤν.
Οἳ δὲ, πρὸς θρόνους ἔσω μολόντες,
Ἃς ἔγημ' ὁ τοξότας Πάρις,
Γυναικὸς, ὄμμα δακρύοις
Πεφυρμένοι, ταπεινοὶ
Ἕζονθ', ὁ μὲν τὸ κεῖθεν· ὁ δὲ τὸ κεῖθεν,
Ἄλλος ἄλλοθεν πεφραγμένοι.
Περὶ δὲ γόνυ χέρας ἱκεσίους
Ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
Ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
Ἀμφίπολοι Φρύγες.
Προσεῖπε δ' ἄλλος ἄλλον,
Πεσὼν ἐν φόβῳ,
Μή τις εἴη δόλος.
Κἀδόκει τοῖς μὲν οὔ,
Τοῖς δ' ἐς ἀρκυστάταν
Μηχανὰν ἐμπλέκειν
Παῖδα Τυνδαρείδ' ὁ μητροφόντας δράκων.

Lugubre lugubre carmen
Barbaria voce,
Propter oculum ex aue natum,
A cygno ortum, filiam formoſæ Lædæ
Infelicem Helenam, pulcre fabricatorũ murorũ Apollineorum Furiam: heu,
Vociferatio lugubris, lugubris vociferatio. O miſera
Inſolens, ob Ganymedẽ Iouis cõcubinũ. [Dardania

Cho. Clare dic nobis rurſus ſingula in ædibus quomodo ſe
Non enim facile coniicio priora. [habeant.

Phr. Heu heu, principium mortis
Barbari dicunt, heu heu,
Aſiatica voce, regum
Quando ſanguis effunditur in terram
Enſibus ferreis ad Plutonem.
Venerunt in domum (vt rurſus tibi ſingula dicam)
Duo leones Græci, gemini:
Pater alterius vocabatur dux,
Alter filius Strophii, doloſus vir
Sicut Vlyſſes, tacite doloſus,
Sed fidus amicis, & audax ad pugnam:
Peritus pugnandi, & lethalis draco.
Pereat ob tacitam prouidentiam, cum ſit maleficus,
Illi vero intro venientes ad thronum,
Eius quam habuit iaculator Paris,
Mulieris, oculos lachrymis
Madefacti, humiles
Sederunt: alter hinc, alter illinc,
Alius aliunde, armati:
Et manus ſupplices ad genu
Helenæ poſuerunt, poſuerunt ambo.
Celeres autem cucurrerunt, cucurrerunt,
Miniſtri Phryges:
Allocutus eſt autem alius alium,
Incidens in metum,
Ne quis eſſet dolus:
Aliis videbatur non eſſe,
Aliis in retiariam
Machinam implicare
Filiam Tyndari draco matricida.

Cho. Vbi tu tunc eras? an iam effugeras metu?
Phr. Prygio, Phrygio more
Ad comam, auram auram,
Helenæ Helenæ, circulo benefacto
Alato ad genam ciebam,
Barbaro more.
Illa vero linum in colo
Digitis voluebat,
Et fila mittebat ad ſolum,
Ex præda Phrygia ad tumulum
Monumenta facere
Volens ex lino, purpureos pannos,
Dona Clytæmneſtræ.
Allocutus autem eſt Oreſtes
Lacænam puellam, ô filia Iouis.
Pone veſtigium in ſolo huc ſurgens ex ſede,
Ad locum aui Pelopis
Veteris aræ,
Vt ſcias meam orationem.
Ducit, ducit eam, illa vero ſequebatur,
Non proſpiciens quæ facturus erat, [vadens:
Ac ſocius improbus homicida Phocenſis alia faciebat
Non diſceditis, dicebat, Phryges ſemper mali?
Et concluſit alium alio
In domo, quosdam in ſtabulis
Equorum, quosdam in latrinis,
Alios hinc inde, alium alio
Auellens procul a domina.
Cho. Quæ calamitas poſtea accidit?
Phr. Idæa, Idæa mater, potens, potens, heu heu
Cruentas clades, impiaque mala, quæ vidi,
Vidi in domo regia,
In veſtibus purpureis in caligine
Enſes extrahentes in manibus alius alio
Agitauit oculos, ne quis adeſſet.
Et ſicut apri montani
Stantes ante mulierem,
Dicunt: Morieris, morieris,
Maritus improbus te interficit,
Qui prodidit fratris filium vt moreretur Argis.

Digitized by Google

Χο. Σὺ δ᾽ ἦσθα ποῦ τότ᾽, ἢ πάλαι φεύγεις φόβῳ;
Φρ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
Παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ κύκλῳ
Πτερίνῳ πρὸ παρηΐδος ἀΐσσων,
Βαρβάροισι νόμοισιν.
Ἁ δὲ λίνον ἠλακάτᾳ
Δακτύλοις ἕλισσεν.
Νήματα δ᾽ ἵετο πέδῳ,
Σκύλων Φρυγίων ἐπὶ τύμβον
Ἀγάλματα συστολῆσαι
Χρήζουσα λίνῳ φάρεα πορφύρεα,
Δῶρα Κλυταιμνήστρᾳ.
Προσεῖπε δ᾽ Ὀρέστας
Λάκαιναν κόραν. ὦ Διὸς παῖ,
Θὲς ἴχνος πέδῳ δεῦρ᾽ ἀποστᾶσα κλισμοῦ,
Πέλοπος ἐπὶ προπάτορος ἕδραν
Παλαιᾶς ἑστίας,
Ἵν᾽ εἰδῇς λόγους ἐμούς.
Ἆγε δ᾽ ἄγε νιν. ἁ δ᾽ ἐφείπετο.
Οὐ πρόμαντις ὧν ἔμελλεν.
Ὁ δὲ συνεργὸς, ἄλλ᾽ ἔπρασσ᾽ ἰὼν, κακὸς Φωκεύς.
Οὐκ ἐκποδὼν ἴτ᾽ ἀλλὰ κακοὶ Φρύγες;
Ἔκλῃσε δ᾽ ἄλλον ἄλλοσε
Στέγης. τοὺς μὲν ἐν σταθμοῖσιν
Ἱππικοῖς, τοὺς δ᾽ ἐν ἕδραισι,
Τοὺς δ᾽ ἐκεῖσε κεῖθεν, ἄλλον ἄλλοσε
Διαρμόσας ἀποπρὸ δεσποίνας.
Χο. Τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίνετο;
Φρ. Ἰδαία μᾶτερ μᾶτερ ὀβρίμα, ὀβρίμα, αἶ αἶ
Φονίων παθέων, ἀνόμων τε κακῶν, ἅπερ ἔδρακον,
Ἔδρακον ἐν δόμοις τυράννων,
Ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
Ξίφη σπάσαντες ἐν χεροῖν, ἄλλος ἄλλοσε
Δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
Ὡς κάπροι δ᾽ ὀρέστεροι
Γυναικὸς ἀντίοι σταθέντες,
Ἐννέπουσι. κατθανῇ, κατθανῇ,
Κακός σ᾽ ἀποκτείνει πόσις,
Κασιγνήτου προδοὺς ἐν Ἄργει θανεῖν γόνον.

Ἁ δ' ἴακεν, ὤμοι μοι.
Λευκὸν ἐμβαλοῦσα πῆχυν στέρνοις
Κτύπησε κρᾶτα μέλεον πλαγάν.
Φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον ἴχνος
Ἔφερεν. ἐς κόμας δὲ δακτύλους
Δικὼν Ὀρέστας, μυκηνίδ' ἀρβύλαν προβὰς,
Ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
Παίειν λαιμῶν ἔμελλεν εἴσω μέλαν ξίφος.
Χο. Ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;
Φρ. Ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
Μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
Βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης.
Ὁ μὲν πέτρους, ὁ δ' ἀγκύλας,
Ὁ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
Ἔναντα δ' ἦλθε Πυλάδης ἀλίαστος,
Οἷος οἷος Ἕκτωρ ὁ φρύγιος, ἢ τρικόρυθος Αἴας,
Ὃν εἶδον εἶδον ἐν πύλαισι πριαμίσι·
Φασγάνων δ' ἀκμὰς συνήψαμεν.
Τότε δὴ τότε διαπρεπεῖς
Ἐγένοντο Φρύγες, ὅσον Ἄρεος ἀλκὴν
Ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς.
Ὁ μὲν οἰχόμενος φυγὰς, ὁ δὲ νέκυς ὢν,
Ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος
Θανάτου προβολάν. ὑπὸ σκότον γ' ἐφεύγομεν.
Νεκροὶ δ' ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἔκειντο.
Ἔμολε δ' ἡ τάλαιν' Ἑρμιόνα δόμους
Ἐπὶ φόνῳ χαμαιπετεῖ ματρὸς, ἅ νιν ἔτικτε τλάμων.
Ἄθυρσοι δ' οἷά νιν δραμόντες βάκχαι,
Σκύμνον ἐν χεροῖν ξυνήρπασαν.
Πάλιν δὲ τὰν Διὸς κόραν ἐπὶ σφαγὰν ἔτεινον.
Ἁ δ' ἐκ θαλάμων ἐγένετο διὰ προδόμων
Ἄφαντος (ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς, καὶ νὺξ)
Ἤτοι φαρμάκοισιν, ἢ μάγων τέχναις, ἢ θεῶν κλοπαῖς.
Τὰ δ' ὕστερον, οὐκέτ' οἶδα. δραπέτην γὰρ ἐξέ-
Κλεπτον ἐκ δόμων πόδα.
Πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος, ἀνόνητον ἀπὸ Τροίας
Ἔλαβε τὸν Ἑλένας γάμον.
Χο. Καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε.
Ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων

Βαίνοντ'

Illa vero vociferata eſt: Heu mihi, mihi
Immittens candidum cubitum pectori,
Percuſſit caput triſti plaga,
Fugiente autem pede veſtigium aureis ſandalis
Fecit. Sed in comam digitos
Mittens Oreſtes, ſiſtens Mycenæos calceos,
Siniſtro humero incuruans collum,
Erat verberaturus nigro gladio guttur.
Cho. Vbi vero erant Phryges in domo ad auxiliandū?
Phr. Audita vociferatione, fores ædium & ſtabula
Vectibus eiicientes, vbi manebamus,
Accurrimus alius ex alia habitatione,
Alius ſaxa, alius cuſpides,
Alius enſem cū longo capulo habēs in manibus.
Venit autem contra nos Pylades impauidus:
Qualis qualis Hector Phrygius, aut Aiax ornatus galea
Quē vidi, vidi in portis Priami. [tres habente conos,
Commiſimus autem acies enſium.
Tunc vero, tunc conſpicui
Erant Phryges, quantum in pugna Martis
Nos ſimus inferiores Græcis pugnatoribus:
Alius abiens fugitiuus, alius mortuus,
Alius vulnus ferens, alius ſupplex
Propter intentatam mortē, fugimus in tenebras.
Mortui vero ceciderunt, alii erant caſuri, alii iacebant.
Ingreſſa eſt autem in domum miſera Hermione,
Propter cædem matris humi iacentis, q̄ miſera illā pe-
Iſti vero currentes velut Bacchæ ſine thyrſis [perit:
Rapuerunt velut pullum in manibus.
Rurſus tendebant cædem aduerſus filiam Iouis:
Illa euaſerat extra domum
Non viſa (ô Iupiter & terra & lumen & nox) [rum.
Siue veneficiis, ſiue arte magorū, ſiue deceptione deo-
Quæ poſtea acciderint neſcio. nam fugitiuū ſuſ-
tuli pedem ex ædibus.
Multiplices autem, multiplices ærumnas
Menelaus ſuſtinens, inutile a Troia
Recipit coniugium Helenes.
Cho. Atqui ſequitur aliud nouum ex nouis:
Nam video tenentem gladium ante ædes

Euntem

Euntem Oreſten attonito pede.

Oreſtes.

Vbi eſt iſte qui effugit ex ædibus meum enſem?

Phr. Adoro te rex, procidens barbaro more.

Ore. Iſta non fiunt in Ilio, ſed in Argiua terra.

Phr. Vbiq; ſapientibus eſt ſuauius viuere, quam mori.

Ore. Num feciſti clamorem Menelao, vt accurreret?

Phr. Tibi adſum vt opituler: es enim dignior.

Ore. Iuſte ne igitur periit filia Tyndari?

Phr. Iuſtiſſime, ſi haberet triplex guttur ad moriendũ.

Ore. Propter metũ lingua gratificaris, intus nõ ita ſentiens.

Phr. Cur non? quæ perdidit Græciam cum ipſis Phrygibus?

Ore. Iura, (alias te necabo) te hęc non dicere in meã gratiã.

Phr. Per animam meam iuraui: & quidẽ bona velim fide.

Ore. Siccine etiã ad Troiã oẽ ferrum erat Phrygibus terrori?

Phr. Amoue enſem. nam cum ꝓpe adeſt, oſtendit cædem.

Ore. Metuis ne fias lapis, tanquam intuens Gorgona?

Phr. Imo ne moriar: non enim intueor caput Gorgonis.

Ore. Cum ſis ſeruus, metuis mortẽ, quę te liberabit a malis?

Phr. Qnilibet etiam ſeruus gaudet videre lucem.

Ore. Recte dicis, ſeruat te prudẽtia, ſed ingredere in domũ.

Phr. Non igitur occides me. *Or.* Es dimiſſus. *Phr.* Dicis hoc pulchrum verbum.

Ore. Sed poterimus retractare. *Ph.* Hoc non pulchre dicis.

Ore. Stultus es, ſi putas me cruentaturum tuum collum:
Nam neque mulier es, neque es inter viros.
Propterea egreſſus ſum ex ædibus, ne excites clamorẽ.
Nam totũ Argos cum audierit clamorẽ, cito excitatur.
Non eſt mihi metus Menelaum excipere gladio.
Sed veniat ſuperbiens flauis capillis ſuper humerum.
Si enim adducet Argiuos ad hanc domum,
Perſequens cædem Helenæ, & me non volet ſeruare,
Et ſororem meam, & Pyladem, qui in his me adiuuit,
Videbit duo cadauera, vxorem & virginem.

ANOMOEOSTROPHA.

Strophe I.

Cho. Heu, heu ô fortuna in aliud certamen, in aliud iterum
Cadit domus terribile circa Atridas.

Semi. Quid faciemus? nunciabimus hæc in vrbem?
An tacitæ erimus tutius ô charæ?

Stro-

Βαίνοντ' Ὀρέστην ἐκπεπληγμένῳ ποδί.

Τροχαῖοι.

ὀρέ. Ποῦ 'στιν οὗτος, ὃς πέφευγεν ἐκ δόμων τοὐμὸν ξίφος;
φρ. Προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.
ὀρέ. Οὐκ ἐν Ἰλίῳ τάδ' ἐστίν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.
φρ. Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.
ὀρέ. Οὔ τι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;
φρ. Σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν. ἀξιώτερος γὰρ εἶ.
ὀρέ. Ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;
φρ. Ἐνδικώτατ', εἴ γε λαιμοὺς εἶχε τριπτύχους θανεῖν.
ὀρέ. Δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν.
φρ. Οὐ γάρ; ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
ὀρέ. Ὄμοσον. εἰ δὲ μή, κτενῶ σε, μὴ λέγειν ἐμὴν χάριν.
φρ. Τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.
ὀρέ. Ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;
φρ. Ἄπεχε φάσγανον. πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
ὀρέ. Μὴ πέτρος γένῃ, δέδοικας, ὥστε Γοργόν' εἰσιδών.
φρ. Μὴ μὲν οὖν νεκρός. τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.
ὀρέ. Δοῦλος ὢν φοβῇ τὸν ᾅδην, ὅς σ' ἀπαλλάξει κακῶν;
φρ. Πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ὀρέ. Εὖ λέγεις. σώζει σε σύνεσις. ἀλλὰ βαῖν' εἴσω δόμων.
φρ. Οὐκ ἄρα κτενεῖς με. Ο. ἀφεῖσαι. φρ. καλὸν ἔπος
λέγεις τόδε.
ὀρέ. Ἀλλὰ μεταβουλευσόμεσθα. φρ. τοῦτο δ' οὐ καλῶς λέγεις.
φρ. Μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην.
Οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.
Τοῦ δὲ μὴ στῆσαί σε κραυγήν, οὕνεκ' ἐξῆλθον δόμων.
Ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους,
Ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος.
Εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασι λαβών,
Τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει,
Σύγγονόν τ' ἐμήν, Πυλάδην τε τὸν τάδε συνδρῶντά μοι,
Παρθένον τε, καὶ δάμαρτα, δύο νεκρὼ κατόψεται.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

χο. Ἰὼ ἰὼ τύχα. ἕτερον εἰς ἀγῶν' ἕτερον αὖ
Δόμος φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πιτνεῖ.
ἡμι. Τί δρῶμεν; ἀγγέλλωμεν εἰς πόλιν τάδε,
Ἢ σῖγ' ἔχωμεν ἀσφαλέστερον, φίλαι;

Στρο-

Στροφὴ β'.

ἡμι. Ἴδε πρὸ δωμάτων, ἴδε προκηρύσσει
Θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
χο. Ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
Τοὺς Ταντάλειους, οὐδ' ἀφίστανται φόνου.

Στροφὴ γ'.

" Τέλος ἔχει δαίμων βροτοῖσι, τέλος ὅπᾳ θέλει.
Μεγάλα δέ τις ἁ δύναμις δι' ἀλάστορων
Ἔπεσεν ἔπεσε μέλαθρα τάδε δι' αἱμάτων,
Διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.

Τροχαῖοι.

χο. Ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
Ὀξύπουν, ᾐσθημένον που τὴν τύχην, ἣ νῦν πάρα.
ἠλέ. Οὐκέτ' ἂν φθάνοιτε κλεῖθρα συμπεραίνοντες μοχλοῖς
" Ὦ κατὰ στέγας Ἀτρεῖδαι; Δεινὸν εὐτυχῶν ἀνὴρ
" Πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν Ὀρέστα δυστυχεῖς.

ΙΑΜΒΟΙ.

με. Ἥκω κλυὼν τὰ δεινὰ καὶ δραστήρια
Διοσσοῖν λεόντοιν. οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
Ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον,
Ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται.
Κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
Ἤγγειλέ μοί τις, ἀλλὰ τοῦ μητροκτόνου
Τεχνάσματ' ἐστὶ ταῦτα, καὶ πολὺς γέλως.
Ἀνοιγέτω τις δῶμα, προσπόλοις λέγω
Ὠθεῖν πύλας τάσδ', ὡς ἂν ἀλλὰ παῖδ' ἐμὴν
Ῥυσώμεθ' ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
Καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ' ἐμὴν
Λάβωμεν, ἣ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
Τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
ὀρέ. Οὗτος, σὺ κλείθρων τῶνδε μὴ ψαύσῃς χερσίν.
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει.
Ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν
Ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
Μοχλοῖς δ' ἄραρε κλεῖθρα, σῆς βοηδρόμου
Σπουδῆς ἅ σ' εἴρξει μὴ δόμων εἴσω περᾶν.
με. Ἔα, τί χρῆμα λαμπάδων ὁρῶ σέλας,
Δόμων δ' ἐπ' ἄκρων τούσδε πυργηρουμένους,
Ξίφος δ' ἐμῆς θυγατρὸς ἐπιφρουροῦν δέρῃ
ὀρέ. Πότερον ἐρωτᾶν, ἢ κλύειν ἐμοῦ θέλεις;
με. Οὐδέτερον. ἀνάγκη δ' ὡς ἔοικε σου κλύειν. ὀρέ.

Strophe II.

Semi. Ecce ante ædes, ecce denunciat aliquid
Iſte fumus ſaliens in aerem ſurſum.
Cho. Incendunt pinus, tanquam inflammaturi domũ
Tantaleam, neque deſiſtunt a cæde.

Strophe III.

„ Finis eſt hominibus, vbi Deus vult.
Magna quædam vis per aduerſos genios
Feriit, ferit hanc domum per cædes,
Propter Myrtili caſum ex curru.

Chorus.

Sed video Menelaum prope domum,
Qui celeriter audiuit forte fortunam, quæ nunc adeſt.
Elec. Non anteuertetis coniungentes fores vectibus
„ O Atridę in domo? vehemẽs res eſt vir in reb. ſecundis
„ Contra eos qui ſunt in aduerſis, ſicut tu Oreſtes nunc.
Me. Venio audiens facinora violenta
Duorum leonum, non enim voco eos viros.
Nam audiui de mea vxore,
Quod non ſit interfecta, ſed abrepta vt non conſpiciatur.
Audiens inanem famam, quam metu deceptus
Quidam nunciauit mihi: ſed matricidæ
Sunt hæ technæ, & in magnum ludicrum.
Aperiat aliquis domum, ſeruis iubeo
Pellere iſtas fores, vt ſaltem filiam meam
Liberem ex manibus hominum impiorum,
Et miſeram meam vxorem
Accipiam, cum qua oportet interfici mea manu
Eos qui perdiderunt meam coniugem.
Ore. Heus tu non attingas manibus iſta clauſtra.
Te Menelaum compello, qui elatus es ſuperbia,
Aut hac pinna confringam tuum caput,
Frangens vetus tectum, opus artificum,
Munita eſt ianua vectibus aduerſus tuum defendendi
Studium, qui te arcebunt, ne intres in domum.
Me. Age: quam rem video? ſplendorem flammæ,
Et in ſummis ædibus iſtos obſeſſos teneri,
Et gladium admotum collo meæ filiæ.
Ore. Vtrum vis interrogare, an me audire?
Me. Neutrũ quidem: ſed neceſſe eſt, vt videtur, te audire.

Ore. Sum occiſurus tuam filiam, ſi vis audire.
Me. Interfecta Helena addes cædem cædi?
Ore. Vtinam vero tenuiſſem, non deceptus a diis.
Me. Negas cum occideris, & ad cōtumeliam dicis hæc?
Ore. Inuitus nego: vtinam enim.
Me. Quid optares facere. incutis enim mihi terrorem.
Ore. Furiam Græciæ interficere.
Me. Redde cadauer vxoris, vt operiam tumulo.
Ore. Repete a diis, ego vero interficiam tuam filiam.
Me. Matricida facit cædem ſupra cædem.
Ore. Defenſor patris, quē tu prodidiſti vt moreretur.
Me. Non ſuffecit tibi prior cædes matris?
Ore. Non defatigabor ſemper interficiendo malas.
Me. Vtrum & tu Pylade es particeps huius cædis?
Ore. Tacens affirmat: ego vero ſufficiam dicens.
Me. Sed non gaudens. niſi effugeris alis.
Ore. Non effugiemus, ſed inflammabimus ædes igne.
Me. An vero vaſtabis has ædes paternas?
Ore. Vt ne tu eas habeas, hanc mactantes ad ignem.
Me. Interfice, quia interficiens dabis horum mihi pœnas.
Ore. Sic erit. *Me.* Heu heu nequaquam facies hoc.
Me. Tace nunc, & ſuſtine iuſte patiens calamitatem.
Ore. An iuſtum eſt te viuere? *Or.* Et imperare in terra.
Me. Qua? *Or.* In Argo hoc Pelaſgico.
Me. Recte igitur attinges ſacrificia *Or.* Cur non?
Me. Et offeres hoſtias ante pugnam? *Ore.* Tu autem honeſte?
Me. Habeo puras manus. *Or.* Sed non mentem.
Me. Quis te alloquetur? *Or.* Quicunque eſt amans patris.
Me. Qui autem honorat matrem? *Or.* Eſt felix.
Me. Tu autem non. *Or.* Quia non placent mihi malæ.
Me. Amoue enſem a filia. *Or.* Mendax es.
Me. Interficies meam filiam? *Or.* Iam non es mendax.
Me. Hei mihi q̃d faciā? *O.* Perſuade ad Argiuos ꝓficiſcens.
Me. Cui perſuadebo? *Or.* Pete a ciuitate, ne nos occidat.
Me. An filiam meam interficietis? *Or.* Sic eſt.
Me. O miſera Helena. *O.* An meæ res nō ſunt miſeræ?
Me. Aduexi tibi victimā ex Phrygibus? *Or.* Vtinā hoc eſſet.
Me. Suſtinens labores magnos. *Or.* Non mea tamen cauſa.
Me. Acerba paſſus ſum. *Or.* Tunc enim eras inutilis.

Me.

Digitized by Google

ὀρέ. Μέλλω κτανεῖν σου θυγατέρ', εἰ βούλει μαθεῖν.
με. Ἑλένην φονεύσας, ἐπὶ φόνῳ πράσσεις φόνον;
ὀρέ. Εἰ γὰρ κατέσχον, μὴ θεῶν κλεφθεὶς ὕπο.
με. Ἀρνῇ κατακτὰς, κἀφ' ὕβρει λέγεις τάδε;
ὀρέ. Λυπράν γε τὴν ἄρνησιν. εἰ γὰρ ὤφελον.
με. Τί χρῆμα δράσων; παρακαλεῖς γὰρ εἰς φόβον.
ὀρέ. Τὴν Ἑλλάδος μιάστορ' εἰς ᾅδου βαλεῖν.
με. Ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
ὀρέ. Θεοὺς ἀπαίτει, παῖδα δὲ κτανῶ σέθεν.
με. Ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.
ὀρέ. Ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
με. Οὐκ ἤρκεσέ σοι τὸ πρὶν αἷμα μητέρος;
ὀρέ. Οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
με. Ἦ καὶ σὺ Πυλάδη τοῦδε κοινωνεῖς φόνου;
ὀρέ. Φησὶ σιωπῶν, ἀρκέσω δ' ἐγὼ λέγων.
με. Ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
ὀρέ. Οὐ φευξόμεσθα, πυρὶ δ' ἀνάψομεν δόμους.
με. Ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
ὀρέ. Ὡς μή τ' ἔχῃς σύ. τήνδ' ἐπισφάξας πυρί.
με. Κτεῖν', ὡς κτανών γε, τῶνδέ μοι δώσεις δίκην.
ὀρέ. Ἔσται τάδε. Μ. ἆ, ἆ. μηδαμῶς δράσῃς τάδε.
ὀρέ. Σίγα νυν, ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
με. Ἦ γὰρ δίκαιον ζῆν σε; Ο. καὶ κρατεῖν γε γῆς.
με. Ποίας; Ο. ἐν Ἄργει τῷδε τῷ πελασγικῷ.
με. Εὖ γ' οὖν θίγοις ἂν χερνίβων; Ο. τί γὰρ οὔ;
με. Καὶ σφάγια πρὸ δορὸς καταβάλοις; ὀρέ. σὺ δ' ἂν καλῶς.
με. Ἁγνὸς γάρ εἰμι χέρας. Ο. ἀλλ' οὐ τὰς φρένας.
με. Τίς δ' ἂν προσείποι σ'; Ο. ὅστις ἐστὶ φιλοπάτωρ.
με. Ὅστις δὲ τιμᾷ μητέρ'; Ο. εὐδαίμων ἔφυ.
με. Οὔκουν σύ γε. Ο. οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
με. Ἄπαιρε θυγατρὸς φάσγανον. Ο. ψευδὴς ἔφυς.
με. Ἀλλὰ κτανεῖς μου θυγατέρ'; Ο. οὐ ψευδὴς ἔτ' εἶς.
με. Οἴμοι, τί δράσω; Ο. πεῖθ' ἐς Ἀργείους μολών.
με. Πειθὼ τίνα; Ο. ἡμᾶς μὴ κτανεῖν, αἰτοῦ πόλιν.
με. Ἦ παῖδά μου φονεύσετε; Ο. ὧδ' ἔχει τάδε.
με. Ὦ τλῆμον Ἑλένη. Ο. τἀμὰ δ' οὐχὶ τλήμονα;
με. Σοὶ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν; Ο. εἰ γὰρ τόδ' ἦν.
με. Πόνους πονήσας μυρίους. Ο. πλήν γ' εἰς ἐμέ.
με. Πέπονθα δεινά. Ο. τότε γὰρ ἦσθ' ἀνωφελής.

με. Ἔχεις με. Ο. σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
Ἀλλ' εἶ', ὕφαπτε δώματ' Ἠλέκτρα τάδε.
Σύ τ' ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε
Πυλάδη κάταιθε γεῖσα τείχεος τάδε.
με. Ὦ γαῖα Δαναῶν, ἱππίου τ' Ἄργους κτίται,
Οὐκ οὖν ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
Πᾶσαν γὰρ ἡμῶν ὅδε βιάζεται πόλιν,
Ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.
απ. Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον.
Φοῖβός σ' ὁ Λητοῦς παῖς, ὅδ' ἐγγὺς ὢν, καλῶ.
Σύ θ', ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ' ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένην μὲν, ἣν σὺ διολέσαι πρόθυμος ὢν,
Ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
Ἥδ' ἐστὶν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
Σεσωσμένη τε, κοὐ θανοῦσα πρὸς σέθεν.
Ἐγώ νιν ἐξέσωσα, κἀπὸ φασγάνου
Τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν, ζῆν νιν ἄφθιτον χρεὼν,
Κάστορί τε, Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
Σύνθακος ἔσται, ναυτίλοις σωτήριος.
Ἄλλην δὲ νύμφην εἰς δόμους κτῆσαι λαβών.
Ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,
Θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
Ὕβρισμα θνητῶν, ἀφθόνου πληρώματος.
Τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει, σὲ δ' αὖ χρεὼν
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους,
Παῤῥάσιον οἰκεῖν δάπεδον, ἐνιαυτοῦ κύκλον.
Κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον,
Ἀζᾶσιν, Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
Ἐνθένδε τ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν,
Δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς. θεοὶ δέ σοι δίκης βραβεῖς,
Πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
Ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
Ἐφ' ἧς δ' ἔχεις Ὀρέστα φάσγανον δέρῃ,
Γῆμαι πέπρωταί σ' Ἑρμιόνην. ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτέ.
Θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,

Δίκας

Digitized by Google

Me. Tenes me. *Or.* Tu cepiſti teipſum,cum ſis malus.
Sed eia,Electra incende iſtas ædes:
Et tu ô candidiſſime mihi amicorum
Pylades,incende tecta huius parietis.
Me. O terra Danaorum & incolæ equeſtris Argus,
Non armato pede opem feretis?
Nam iſte vim facit toti noſtræ ciuitati.
Vt viuat, cum fecerit abominabilem cædem matris.
Ap. Menelae, deſiſte ab irata voluntate.
Ego Phœbus Latonæ filius,prope exiſtens te voco:
Et tu,qui inſidiaris armatus iſti puellæ.
Oreſtes, vt ſcias,quam orationem afferam.
Helena quidem,quam tu cupiens perdere,
Fruſtratus es, iratus Menelao,
Hæc eſt quam videtis in voluminibus aeris,
Seruata & non interfecta a te.
Ego ipſam ſeruaui,& ab enſe
Tuo rapui, iuſſus a Ioue patre.
Nam,vt filiam Iouis, oportet viuere immortalem,
Caſtori & Polluci in voluminibus aeris
Aſſidebit,nautis ſalutaris.
Tu accipies aliam vxorem in domum:
Poſtquam dii huius pulchritudine,
Commiſerunt Græcos & Phrygas,
Et fecerunt mortes,vt exhaurirent ex terra
Onus iniuſtum,magnæ multitudinis hominum.
Res ſic ſe habent. Te autem oportet
Oreſta, poſtquam huius terræ fines ſuperaueris,
Habitare ſolum Parrhaſium,per circulum anni:
Vocabitur autem locus a tuo nomine ab exilio,
Vt vocetur Azanibus & Arcadibus Oreſteum.
Inde veniens in vrbem Athenienſium,
Redde rationem de cæde materna
Tribus furiis: & dii gubernatores iudicii,
In vico Martio iuſtiſſimam
Sententiam ferent, vbi oportet te vincere.
Et ad cuius collum Oreſte habes gladium,
Fatum eſt, te Hermionem ducere: & qui putat
Neoptolemus ſe ducturum eſſe,non ducet.
Nam eſt ei fatum mori Delphico enſe,

Digitized by Google

Poſtulanti a me pœnas de patre Achille.
Pyladę autem connubium ſororis, cui promiſiſti,
Da, ſequens vita eos felix manet.
Menelae, ſine Oreſten imperare Argis:
Et tu rediens impera in Spartana terra,
Habens dotem vxoris, quæ te multos
Dans in labores huc reduxit.
Res vrbis ego huic recte conſtituam,
Qui ipſum coegi interficere matrem.

Ore. O Apollo vates, in tuis oraculis
Non eras vtique vanus, ſed verax?
Me ſubie erat metus, ne aliquem audiens
Dæmonem, viderer audire tuam vocem.
Sed bene facta res, obtemperabo tuæ orationi.
Ecce dimitto Hermionem a nece:
Et promitto coniugium, ſi dederit pater.

Me. O Helena, filia Iouis, ſalue, ſuſpicio te,
Tenentem beatam ſedem Deorum.
Oreſtes, tibi ego deſpondeo filiam
Phœbo dicente, generoſus ex generoſa familia
Ducens, ſis beatus & tu, & ego qui eam tibi do.

Ap. Vadat nunc quisque quo mandamus,
Et deſinite contentionem. *Me.* Oportet obedire.

Ore. Et ego talis redeo in gratiam a calamitatibus.
Menelae, & propter tua oracula Apollo.

Apollo.

Ite nunc in viam, pulcherrimam
„ Deorum honorantes pacem. Ego vero
Helenam ad aulam Iouis adducam,
Vadens per polum ſplendidorum aſtrorum,
Vbi Iunoni & Herculis
Hebæ aſſidens Dea hominibus
Erit, honorabilis ſemper ſacrificiis
Cum Tyndaridis filiis Iouis,
In rem nautarum curans mare.

Cho. O valde glorioſa victoria, meam
Vitam habeas,
Et non deſinas coronare.

Finis Oreſtis.

Digitized by Google

Δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντί με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ᾔνεσας,
Δός. ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην Μενέλεως ἔα κρατεῖν.
Ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονὸς,
Φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
Πόνοις διδοῦσα, δεῦρ' ἀεὶ διώλεσε.
Τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
Ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.
ὀρέ. Ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων,
Οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
Καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
Ἀλαστόρων, δόξαιμι σὴν κλύειν ὄπα.
Ἀλλ' εὖ τελεῖται. πείσομαι δὲ σοῖς λόγοις.
Ἰδοὺ μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
Καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.
με. Ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ, ζηλῶ δέ σε.
Θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος, εὐγενὴς δ' ἀπ' εὐγενοῦς
Γήμας, ὄναιο καὶ σὺ, καὶ ὁ διδοὺς ἐγώ.
ἀπ. Χωρεῖτε νῦν ἕκαστος, οἷ προστάσσομεν,
Νείκους τε διαλύεσθε. Μ. πείθεσθαι χρεών.
ὀρέ. Κἀγὼ τοιοῦτος. σπένδομαι δὲ συμφοραῖς
Μενέλαε, καὶ σοῖς Λοξία θεσπίσμασιν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀπ. Ἴτε νῦν καθ' ὁδὸν, τὴν καλλίστην
„ Θεῶν εἰρήνην τιμῶντες. ἐγὼ
Δ' Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
Λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
Ἔνθα παρ' Ἥρᾳ, τῇ δ' Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
Ἔσται σπονδαῖς ἔντιμος αἰεὶ,
Σὺν Τυνδαρίδαις τοῖς Διὸς υἱοῖς
Ναύταις μεδέουσα θαλάσσης.
χο. Ὦ μέγα σεμνὴ νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Τέλος τοῦ Ὀρέστου.

ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην. φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου. κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν. ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη, ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην θέσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων, ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος, ἐβούλετο. καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν. οἵ τε Ἀργεῖοι νικηθέντες τῆς μάχης, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν. Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν. Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

ΚΑΙ ΑΛΛΩΣ.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπόλλυται γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων. καὶ Ἰοκάστη ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐν τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευόμενοι Ἀργεῖοι, ἀπώλοντο. καὶ ἄταφος Πολυνείκης πρόκειται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν μεστόν τε καὶ καλῶν.

ARGVMENTVM PHŒNISSARVM.

Eteocles accepto regno Thebarũ, priuat parte fratrem ſuum Polynicem. Exul ille cedens Argos, duxit filiam regis Adraſti. Cupiens autem redire in patriam, & perſuaſo ſocero, congregauit magnum exercitum contra fratrem, & ad Thebas venit. mater eius Iocaſte fecit eum, factis induciis, in vrbem venire, & colloqui prius cum fratre de principatu. Terribiliter ſe gerente Eteocle propter tyrannidem, mater Iocaſte filios reconciliare non potuit. Polynices vero tanquam ad pugnam inſtructus, deinde ceſſit ex vrbe. Vaticinatur Tireſias, victoriam propoſitam eſſe Thebanis, ſi filius Creontis Menœceus Marti ſacrificaretur. Creon vero ſe daturum filium ciuitati inficiatur: iuuenis tamen voluit, datoque illi exilio vna cum pecuniis a patre mortem ſibi conſciuit. & negotium peregit. Inde Thebani duces Argiuorum interfecerunt. Eteocles vero & Polynices, ſingulari certamine congreſſi, trucidarunt ſe mutuo. Mater eorum inueniens mortuos filios, ſibi ipſi mortem conſciuit. Eius autem frater Creon, regnum accepit, & Argiui ſuperati in pugna, ceſſerunt. Creon ægre ferens, eos qui interfecti in bello erant ſub Cadmea, noluit concedere ad ſepulturam: Polynicem vero inhumatum abiecit, & Oedipum miſit in exilium: in aliquibus ſeruans humanam legem, in aliquibus iram ſequens, non miſeratus calamitatem eorum.

ALIVD.

Plena ſunt affectuum Phœniſſæ in hac tragœdia Mortuus enim eſt filius Creontis pro ciuitate de muro præceps actus: mortui ſunt & fratres duo mutua cæde: & mater eorum Iocaſta ſeipſam interfecit inter filios: & duces Argiui, qui ad Thebas duxerant exercitum, perierunt: & inſepultus Polynices proponitur: & Oedipus ex patria eiicitur, & vna cum eo filia Antigone. Fabula hac habet multas perſonas, & plena eſt multis ac præſtantibus ſententiis.

Digitized by Google

ALIVD.

Hoc poema pulchrum eſt in apparatu ſcenico, quia multa habet additamenta. Antigone de mœnibus ſpectans, non eſt pars fabulæ: & factis induciis, Polynices fruſtra in vrbem venit. Super hæc omnia Oedipus loquaci carmine in exilium miſſus, adiicitur ſuperuacue.

ORACVLVM DATVM LAIO Thebano.

Laie Labdacida poſtulas beatum genus filiorum.
Dabo tibi charum filium: ſed fatale eſt,
Te pueri tui manibus relicturum lumen. ſic enim annuit
Iupiter Saturnius, perſuaſus diris triſtibus Pelopis,
Cuius charum rapuiſti filium, ille imprecatus eſt tibi hæc omnia.

ÆNIGMA SPHINGIS.

Eſt bipes in terris, & quadrupes, cui vna eſt vox,
Et tripes, ſolum mutat naturã omnium quæ ſuper terram
Reptilia mouentur, & in aere & in mari.
Sed quando plurimis feſtinans pedibus venit,
Tunc celeritas membrorum eius debiliſſima eſt.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Iocaſte.	*Polynices.*	*Nuncius.*
Pædagogus.	*Eteocles.*	*Alter nuncius.*
Antigone.	*Creon.*	*Oedipus.*
Chorus ex Phœniſſis mulierib.	*Menœceus.*	
	Tireſias.	

Prologum autem agit Iocaſte.

EVRI-

Digitized by Google

ΚΑΙ ΑΛΛΩΣ.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥ τε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα, μέρος οὐκ ἔστι δράματος. καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται, ὅ τε ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος Οἰδίπους, προσέρριπται διακενῆς.

ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
Δώσω τοι φίλον υἱόν. ἀτὰρ πεπρωμένον ἐστὶ,
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὧς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνή,
Καὶ τρίπον. ἀλλάσσει δὲ φυὴν μόνον. ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Ἰοκάστη.
Παιδαγωγός.
Ἀντιγόνη.
Χορὸς ἐκ Φοινισσῶν γυναικῶν.
Πολυνείκης.
Ἐτεοκλῆς.
Κρέων.
Μενοικεύς.
Τειρεσίας.
Ἄγγελος.
Ἕτερος ἄγγελος.
Οἰδίπους.

Προλογίζει δὲ ἡ Ἰοκάστη.

Digitized by Google

ΕΥΡΙΠΙΔΟΥ

ΦΟΙΝΙΣΣΑΙ.

ΙΑΜΒΟΙ.

Ὦ Τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
Ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
Τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα.
Ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε. τοῦ δὲ, Λάβδακον
Φῦναι λέγουσιν. ἐκ δὲ τοῦδε, Λάϊον.
Ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ.
Καλοῦσι δ' Ἰοκάστην με. τοῦτο γὰρ πατὴρ
Ἔθετο. γαμεῖ δὲ Λάϊός με. ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖβον. ἐξαιτεῖ θ' ἅμα
Παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
Ὁ δ' εἶπεν· ὦ Θήβαισιν εὐίπποις ἄναξ,
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, ἔς τε βακχεῖον πεσὼν,
Ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
Γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
Λειμῶν' ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον.
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
Φέρουσ' ἐς οἴκους. ἔς τε δεσποίνης χέρας
Ἔθηκαν. ἡ δὲ, τὸν ἐμὸν ὠδίνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος

Παῖς

Digitized by Google

EVRIPIDIS

PHOENISSÆ.

Iocaſte.

O Qui ſecas viam cæli in aſtris,
Et in aurea ſedes ſede,
Sol, voluens flammam celeribus equis:
Quam infelicem Thebanis eo tum die
Radiũ immiſiſti, quãdo Cadmus venit in terram
Hanc, relinquens Phœniciam terram maritimam.
Qui quondam ducens Harmoniam filiam Veneris,
Polydorum genuit: ex hoc Labdacum
Dicunt natum: ex eo vero Laium.
Ego vero vocor filia Menœcei:
Et Creon frater natus eſt ex eadem matre.
Vocant vero me Iocaſten, (hoc enim nomen pater
Indidit) duxit vero me Laius: cum autem ſine liberis
Eſſet, diu habens connubium meum in domo.
Veniens interrogat Phœbum, & poſcit ſimul
Liberorum in ædibus maſculorũ cõmunem prolem.
Ille reſpondit ei: O rex equeſtrium Thebarum,
Ne ſemina liberorum ſulcum inuitis diis:
Si enim genueris filiũ, interficiet te ille q̃ natus fuerit,
Et tota domus tua ibit per ſanguinem.
Ille vero dans ſe voluptati, & cõcedens inſanię Bacchi,
Seminauit nobis filium: & cum ſeminaſſet infantem,
Agnoſcens erratum, & Dei oraculum,
In pratum Iunonis, & culmen Cithæronis
Dat paſtoribus exponi puerum,
Fodiens ferreos aculeos per talos medios:
Vnde ipſum Græcia vocat Oedipum.
Polybi vero paſtores equorum, accipientes puerum,
Ferunt domum, & in manus dominæ
Poſuerunt: ipſa vero mei puerperii laborem
Vberibus ſubmiſit, & ſuo viro perſuadet ſe peperiſſe.
Iam vero vir factus, cum genæ inciperent flaueſcere

Filio

Filio meo, aut animaduertens ipſe, aut admonitus ab
Iuit, volens explorare parentes, [aliquo
Ad domũ Apollinis: & Laius eodẽ meus maritus,
Quærens cognoſcere expoſitum filium,
An non eſſet ſuperſtes. & coniungunt pedem
Ambo in idem loci in Phocidis biuio.
Et auriga Laii compellat eum:
O hoſpes, cede de via tyrannis: [rẽs. equi v. eum
Ille ſerpebat humi ſine voce, ſed animũ excelſum ge-
Vngulis rubefecerũt ſanguine extremos pedũ tẽdines.
Vnde (ſed quid opus eſt aliena a meis malis dicere?)
Filius meus patrem ſuum occidit. & accipiens currus
Dat nutrici Polybo. Poſtquam vero infeſtabat
Sphinx rapinis vrbem, extincto meo marito,
Creon frater præconium facit de connubio meo:
Quisquis poſſet exponere ænigma ſapientis virginis,
Se daturum eſſe huic connubium: exponit forte
Sphingis ænigma filius meus Oedipus.
Vnde dominus huius terræ factus eſt.
Et accipit ſceptra huius terrę tanq̃ præmium ſapientię.
Inde ducit matrem ignorans miſer,
Neſciebat mater, ſe cum filio concumbere.
Pario vero pueros meo filio: duos quidem mares
Eteoclem, & clarum Polynicen:
Et duas filias, alteram Iſmenem pater
Vocauit, alteram maiorem natu, ego Antigonẽ.
Cum cognouiſſet autem, ſe maritum eſſe matris
Oedipus, ſuſtinens omnia mala,
Eruit ſibi oculos ſuos,
Aureis fibulis cruentans pupulas.
Poſtquam aũt filiorum meorũ genæ teguntur barba,
Abdiderũt patrẽ intra clauſtrũ, ne ſpargeretur hęc cala-
Quę vt cęlaretur, habebat opꝰ multis artificiis. [mitas.
Adhuc viuit domi. æger autem animo ꝓpter hãc cala-
Diris deuouet liberos execrandis, [mitatẽ.
Vt perdant hanc domum acuto ferro.
Filii mei vero incidentes in metum, ne ratas
Diras illas dii perficerent, ſi habitarent ſimul,
Paciſcentes conſtituerunt vt iunior Polynices
Tantiſper volens exularet hac terra:

Eteocles

Παῖς οὑμὸς, ἢ γνοὺς. ἤ τινος μαθὼν πάρα,
Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου. Λάϊος θ' οὑμὸς πόσις.
Τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν
Εἰ μηκέτ' εἴη. καὶ ξυνάπτετον πόδα
Ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Καί νιν κελεύει Λαΐου τροχηλάτης·
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
Ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν. πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
Ὅθεν, τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;
Παῖς πατέρα καίνει. καὶ λαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπιζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων τ' ἀδελφὸς τἀμὰ κηρύσσει λέχη.
Ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών.
Ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.
Γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα, παιδὶ συγκοιμωμένη.
Τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρσενας,
Ἐτεοκλέα, κλεινήν τε Πολυνείκους βίαν.
Κόρας τε δισσάς. τὴν μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
Μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων,
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Εἰς ὄμματ' αὐτοῦ δεινὸν ἐμβάλλει φόνον,
Χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
Ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
Κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔστ' ἐν οἴκοις. πρὸς δὲ τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τὼ δ' εἰς φόβον πεσόντε, μὴ τελεσφόρους
Ἀρὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα.

Ἐτεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
Ἐνιαυτὸν ἀλλάσσοντ'. ἐπεὶ δ' ἐπὶ ζυγοῖς
Καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
Ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
Πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων, ἄγει.
Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα, καὶ μέρη χθονός.
Ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
Ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
Ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
Ἀλλ' ὦ φαεννὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς. δὸς δὲ ξύμβασιν τέκνοις.
„ Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
„ Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι.
παι. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
Ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε, μελάθρων δ' ἐς διήρες ἔσχατον,
Στράτευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαις σαῖς,
Ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
Κἀμοὶ μὲν ἔλθοι φαῦλος ὡς δούλῳ ψόγος,
Σοὶ δ' ὡς ἀνάσσῃ. πάντα δ' ἐξειδὼς, φράσω,
Ἅτ' εἶδον, εἰσήκουσά τ' Ἀργείων πάρα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἐνθένδ' ἐκεῖσε, δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ', οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
Κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί.
Σκόπει δὲ πεδία, καὶ παρ' Ἰσμηνοῦ ῥοὰς,
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

1 Ὄρεγε νῦν ὄρεγε γεραιὰν
2 Νέα χεῖρ' ἀπὸ κλιμάκων
3 Ποδὸς ἴχνος ἐπαντέλλων.
παι. Ἰδοὺ, ξύναψον παρθέν'. ἐς καιρὸν δ' ἔβης.
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

Στροφὴ β'.

αν. 1 Ἰὼ πότνια παῖ Λατοῦς

Eteocles vero manens,ſceptra terræ teneret,
Per vices mutarent annum. Poſtquã autem in throno
Regni conſedit,non diſcedit ex regno,
Sed extrudit exulem Polynicem ex hac terra.
Ille vero Argos veniens, iunctus affinitate Adraſto,
Magnum conſcribens exercitum Argiuorum adducit:
Et veniens ad ipſa hęc Thebana mœnia ſeptẽ portarũ,
Repetit paternum regnum,& partem terræ.
Ego vero vt reconciliarem eos, perſuaſi filio Polynici,
Vt factis induciis veniret ad fratrẽ, priusq̃ congrede-[rẽtur acie:
Nuncius miſſus ait eum venturum eſſe.
O habitans lucidas plicas cæli,
Iupiter ſerua nos,da reconciliationem liberis.
„ Oportet .n. te,ſiquidem curas res mortaliũ,non ſinere
„ Eundem hominem ſemper eſſe miſerum.

Pa. O Antigone egregium germen patris in domo
Poſtquam te mater gynæceum relinquere
Permiſit,in extrema contignatione domus,
Vt videas exercitum Argiuorum, propter preces tuas:
Expecto donec inueſtigauero viam,
Ne quis ciuium in ſententia cogitabundus vagetur,
Et mihi vt ſeruo,veniat mala reprahenſio,
Tibi vero tanquã reginę,cũ explorauerim oĩa, dicã
Et quæ vidi & quæ audiui ab Argiuis:
Quando veni ferens fratri tuo fidem publicam
Hinc illuc,& huc rurſus ab illo.
Sed nemo ciuium appropinquat his ædibus.
Supera pedibus veteres ſcalas ex cedro factas,
Et conſidera campos ad Iſmenum fluuium,
Et fontem, quantus exercitus hoſtium.

ANOMOEOSTROPHA.

Strophe I.

1 Porrige nunc, porrige ſenilem
2 Iuueni manum de gradibus,
3 Subleuans veſtigium pedis.

Pa. Ecce iunge manum virgo,opportune aſcendiſti,
Exercitus Græcorum iam mouetur,
Iam ſeparant a ſe inuicem cohortes.

Strophe II.

An. 1 O veneranda filia Latonæ

2 Hecate æneus totus
3 Campus fulget.
Pa. Non ſegniter enim venit in hanc terram Polynices,
Inſtructus magno equitatu,& multis clypeis ſtrepens.

Strophe III.

An. 1 Nunquid portæ clauſtris,
2 Æneique vectes
3 Saxeis Amphionis inſtrumentis
4 Iuncti ſunt muris?
Pa. Confide:quod interiora attinet,bene munita eſt vrbs.
Sed vide primum,ſi vis ſcire quis ſit.

Strophe IIII.

An. 1 Quis eſt ille fulgenti cono,
2 Qui antecedit exercitum,
3 Æneum clypeum circa
4 Brachium leuiter gerens?
Pa. Dux eſt,ô domina. *Ant.* Quis nam?Vnde natus?
Dic ô ſenex,quomodo nominatur?
Pa. Hic Myncenæus quidem dicitur genere,
Habitat vero ad Lernæam paludē, rex Hippomedon.

Strophe V.

An. 1 Heu quam ſuperbus,quam terribilis
2 Aſpectu, Giganti
3 Terrigenæ ſimilis.
4 Sideris inſtar vultu ſplendens in picta veſte, non
5 Conueniens manſuetæ naturæ.
Pa. Non vides illum,qui præterit Dirces aquam,
Ducem? *Ant.* Alius alius eſt hic armorum motus.
Quis vero eſt iſte? *Pa.* Filius quidem Oenei eſt
Tydeus,Martem vero Ætolum in pectore habet.

Strophe VI.

An. 1 Iſte Polynicis, ô ſenex,
2 Sororis ſponſæ,
3 Maritus eſt?
4 Quam alieno colore armorum,ſemibarbarus.
Pa. Sunt enim clypeati omnes Ætoli,ô filia,
Et iaculatores,haſtis bene collimantes.
An. Tu vero ô ſenex quomodo ſcis certo hæc?
Pa. Videns ſigna clypeorum tunc notaui,
Quando veni,fidem publicam ferens tuo fratri,

Quæ

2 Ἑκάτα, κατάχαλκον ἅπαν
3 Πεδίον ἀστράπτει.
παι. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Στροφὴ γ΄.

αν. 1 Ἆρα πύλαι κλείθροις,
2 Χαλκόδετά τ' ἔμβολα,
3 Λαϊνέοις Ἀμφίονος ὀργάνοις
4 Τείχεος ἥρμοσται;
παι. Θάρσει. τάγ' ἔνδον, ἀσφαλῶς ἔχει πόλις.
Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

Στροφὴ δ΄.

αν. 1 Τίς οὗτος ὁ λευκολόφας,
2 Πρόπαρος ὃς ἄγει στρατοῦ,
3 Πάγχαλκον ἀσπίδ' ἀμφὶ
4 Βραχίονι κουφίζων;
παι. Λοχαγὸς, ὦ δέσποινα. αν. τίς; πόθεν γεγώς;
Αὔδασον ὦ γεραιὲ, τίς ὀνομάζεται;
παι. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ', Ἱππομέδων ἄναξ.

Στροφὴ ε΄.

αν. 1 Ἒ ἔ ὡς γαῦρος, ὡς φοβερὸς
2 Εἰσιδεῖν, γίγαντι
3 Γηγενέτᾳ προσόμοιος,
4 Ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ
5 Πρόσφορος ἀμερίῳ γέννᾳ.
παι. Τὸν δ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ
Λοχαγόν; αν. ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν οὗτος; παι. παῖς μὲν Οἰνέως ἔφυ
Τυδεὺς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

Στροφὴ ς΄.

αν. 1 Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
2 Αὐτοκασιγνήτας νύμφας,
3 Ὁμόγαμος κυρεῖ;
4 Ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.
παι. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
αν. Σὺ δ' ὦ γέρον πῶς αἰσθάνῃ σαφῶς τάδε;
παι. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων.

Ἃ προσ-

Α. [illegible]ς δέδορκας, οἶδα τοὺς ὡπλισμένους.

Στροφὴ ζ'.

αν. 1 Τίς δ' οὗτος ἀμφὶ μνῆμα τοῦ Ζήθου περᾷ,
2 Καταβόστρυχος, ὄμμασι
3 Γοργὸς εἰσιδεῖν, νεανίας;
παι. 4 Λοχαγός. Α. ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
5 Πάνοπλος ἀμφέπει.
παι. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

Στροφὴ η'.

αν. Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα, τόξοις δαμάσασα,
Ὀλέσειεν, ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
παι. Εἴη τάδ', ὦ παῖ. σὺν δίκῃ δ' ἥκουσι γῆν.
„ Ὧι καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

Στροφὴ θ'.

αν. 1 Ποῦ ποῦ δ' ὃς ἐμοὶ
2 Μιᾶς ἐγένετ' ἐκ ματέρος
3 Πολυπόνῳ μοίρᾳ;
4 Ὦ φίλτατ', εἰπὲ ποῦ 'στι Πολυνείκης, γέρον.
παι. Ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης, Ἀδράστῳ πλησίον παραστατεῖ.
Ὁρᾷς; αν. ὁρῶ δῆτ' οὐ σαφῶς. ὁρῶ δέ πως
Μορφῆς τύπωμα, στέρνα τ' ἐξῃκασμένα.

Στροφὴ ι'.

1 Ἀνεμώκεος εἴθε δρόμον νεφέλας
2 Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
3 Πρὸς ἐμὸν ὁμογενέτορα.
4 Περὶ δ' ὠλένας δέρᾳ φιλτάτᾳ
5 Βάλοιμι χρόνῳ φυγάδα μέλεον,
6 Ὡς ὅπλοισι χρυσέοισιν ἐκπρεπής, γέρον.
7 Ἑώοις ὅμοια φλεγέθων
8 Βολαῖς ἀελίου.
παι. Ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς
Ἔνσπονδος. αν. οὗτος δ' ὦ γεραιέ, τίς; πόθεν κυρεῖ;
Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
παι. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε.
Σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαίματοι ῥοαί.

Στροφὴ ια'.

αν. 1 Ὦ λιπαροζώνου θύγατερ
2 Ἀελίου σελαναία,

3 Χρυ-

Quæ intuens noui armatos.

Strophe VII.

An. 1 Quis vero iſte, qui circa monimentum Zethi tranſit.
2 Comatus, oculis
3 Terribilis, & aſpectu iuuenis?
Pa. 4 Eſt dux. *An.* Quanta multitudo ipſum ſequens
5 Armata circundat.
Pa. Hic eſt Parthenopæus Atalantæ filius.

Strophe VIII.

Ant. Sed eum per montes cum matre
Properans Diana, telis domans
Perdat, q aduerſus meã vrbẽ venit eã expugnaturꝰ.
Pa. Sint hæc ô filia, iure tamen veniunt in hanc terram.
» Idcirco etiam metuo, ne recte eos conſiderent dii.

Strophe IX.

An. 1 Vbi eſt ille qui mecum
2 Vna natus eſt ex matre
3 Laborioſo fato?
4 O chariſſime ſenex, dic vbi ſit Polynices.
Pa. Ille prope ſepulchrum ſeptem virginum
Niobes, ſtat prope Adraſtum. [modo
Vides? *An.* Video, ſed nõ ſatis clare, video tamẽ aliquo
Simulachrum formæ ipſius, & pectus adumbratũ:

Strophe X.

1 Velocis vtinam curſum nubis
2 Pedibus conficere poſſem per aerem
3 Ad meum fratrem.
4 Brachia enim circum collum amiciſſimum
5 Iacerem longo poſt tempore, exulem miſerum.
6 Armis aureis quam decorus eſt, ô ſenex.
7 Matutini fulgurans ſicut
8 Radii ſolis.
Pa. Venit ad hanc domum, vt te expleat gaudio
Fide publica accepta. *An.* iſte vero ô ſenex, quis eſt? va-
Qui currũ candidũ gubernat, cui inſidet. [de occurrit
Pa. Eſt vates Amphiaraus, ô domina, hic: [terram.
Victimę vero cũ eo, & libationes ſanguineę fluentes in

Strophe XI.

An. 1 O ſplendidam zonam habentis filia
2 Solis Luna,

3 Aureo circulo decorum lumen
4 Quam quietos ſtimulos,
5 Et modeſtos equis
6 Inferens, gubernat currum.
7 Vbi vero eſt q atrocia inſolenter minatur huic vrbi
Capaneus?

Pa. Iſte conſiderat aditus ſeptem
Turrium, ſurſum ac deorſum muros metiens.

Strophe XII.

Ant. Io Nemeſis, & Iouis
Grauiter ſonantia tonitrua,
Et ignis fulminis caliginoſe,
„ Tu ſuperbiam immodicam
„ Sedas: hicne eſt captas
Qui minatur armis ſe Thebanas mulieres ad Mycenas
Ducturum, & ad Lernæum tridentem,
Ad aquas Neptunias Amymones,
Cōiiciens eas in ſeruitutem? Nunquam,
Nunquam hanc ô veneranda, auro capillos reuincta,
O Iouis filia Diana,
Seruitutem ſuſtineam.

Pa. Ingredere in domum ô filia, & in contignatione
In gynæceo manens tuo: poſtquam deſiderii tui
Ad delectationē veniſti, eorum quæ cupiebas videre.
Cœtus enim (poſtquam tumultus vrbē ingreſſus eſt)
Mulierum venit ad domum tyrannicam.
„ Querulum enim eſt muliebre genus:
„ Et cum paruas occaſiones ſermonis accipiunt,
„ Plures addunt. Voluptas vero quædam
„ Mulieribus eſt, vt nihil ſani inter ſe dicant.

EPODICA.

Strophe.

Ch. 1 Relinquens Tyrium mare, veni
2 (Primitiæ ſpoliorum Loxiæ
3 Phœniſſa ex inſula,
4 Phœbo, miniſtra aulæ,
5 Vt ſub iugis niuoſi
6 Parnaſſi degerem)
7 Ionium per mare
8 Remo nauigans, circum-

9 ſluos

3 Χρυσεόκυκλον φέγγος,
4 Ὡς ἀτρεμέα κέντρα
5 Καὶ σώφρονα πώλοις
6 Μεταφέρων, ἰθυνοῖ.
7 Ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς;

παι. Ἐκεῖνος ἐπὶ τὰς προσβάσεις τεκμαίρεται
Πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

Στροφὴ ιβ'.

ἀν. Ἰὼ Νέμεσις, καὶ Διὸς
Βαρύβρομοι βρονταὶ,
Κεραύνιόν τε πῦρ αἰθαλόεν;
„ Σύ τοι μεγαλανορίαν ὑπεραύχενα
„ Κοιμίζεις. ὅδ' ἐστὶν, αἰχμαλωτίδας
Ὃς δορὶ Θηβαίας Μυκήναισι,
Λερναίᾳ τε δώσειν τριαίνᾳ,
Ποσειδανείοις ἀμυμωνείοις ὕδασι
Δουλείαν περιβαλών; μήποτε
Μήποτε τάνδ' ὦ πότνια, χρυσεοβόστρυχον
Ὦ Διὸς ἔρνος Ἄρτεμι,
Δουλοσύναν τλαίην.

παι. Ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
Εἰς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.
Ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθε πόλιν,
Χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
„ Φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ.
„ Σμικρὰς δ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
„ Πλείους ἐπεισφέρουσιν. ἡδονὴ δέ τις
„ Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

χο. 1 Τύριον οἶδμα λιποῦσ', ἔβαν
2 (Ἀκροθίνια Λοξίᾳ
3 Φοινίσσας ἀπὸ νάσου,
4 Φοίβῳ δούλα μελάθρων,
5 Ἵν' ὑπὸ δειράσι νιφοβόλοις
6 Παρνασσοῦ κατενάσθην)
7 Ἰόνιον κατὰ πόντον
8 Ἐλάτᾳ πλεύσασα, περιρ-

9 Ῥυτῶν ὑπὲρ ἀκαρπίστων
10 Πεδίων Σικελίας,
11 Ζεφύρου πνοαῖς ἱππεύσαντος ἐν οὐρανῷ
12 Κάλλιστον κελάδημα.

Ἀντιστροφή.

1 Πόλεως ἐκπροκριθεῖσ' ἐμᾶς.
2 Καλλιστεύματα Λοξίᾳ,
3 Καδμείων ἔμολον γᾶν,
4 Κλεινῶν Ἀγηνοριδᾶν,
5 Ὁμογενεῖς ἐπὶ Λαΐου
6 Πεμφθεῖσα ἐνθάδε πύργους.
7 Ἴσα δ' ἀγάλμασι χρυσοτεύκτοις
8 Φοίβῳ λάτρις ἐγενόμαν.
9 Ἔτι δὲ Κασταλίας ὕδωρ
10 Ἐπιμένει με, κόμας ἐμᾶς
11 Δεῦσαι, παρθένιον χλιδάν,
12 Φοιβείαισι λατρείαις.

Ἐπῳδός.

1 Ἰὼ λάμπουσα πέτρα πυρὸς
2 Δικόρυφον σέλας, ὑπὲρ ἄκρων
3 Βακχείων, Διονύσου οἶνά θ',
4 Ἃ καθημέριον στάζεις τὸν
5 Πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν.
6 Ζάθεά τ' ἄντρα δράκοντος,
7 Οὔρειαί τε σκοπιαὶ θεῶν,
8 Νιφόβολόν τ' ὄρος ἱερὸν
9 Εἱλίσσων ἀθανάτας θεοῦ
10 Χορὸς, γενοίμαν ἄφοβος,
11 Παρὰ μεσόμφαλα γύαλα
12 Φοίβου, Δίρκαν προλιποῦσα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

1 Νῦν δέ μοι πρὸ τειχέων
2 Θούριος μολὼν Ἄρης,
3 Αἷμα δάϊον φλέγει
4 Τᾷδ', ὃ μὴ τύχοι, πόλει.
5 Κοινὰ γὰρ φίλων ἄχη.
6 Κοινὰ δ', εἴ τι πείσεται
7 Ἑπτάπυργος ἅδε γαῖα,
8 Φοινίσσᾳ χώρᾳ. φεῦ, φεῦ.

9 Κοινὸν

Digitized by Google

Fluos ſuper ſteriles
Campos Siciliæ,
Zephyri flatibus ſpirantis in cælo
Pulcherrimum ſtridorem.

Antiſtrophe.

Vrbe electa ex mea
Vt eſſem pulcherrimum donum Apollini,
Cadmeam veni in terram,
Inclytorum liberorum Agenoris,
Cognatas ad Laii
Miſſa huc turres.
Similis autem ſtatuis ex auro factis
Phœbo miniſtra ſum facta.
Præterea vero Caſtalii fontis aqua
Expectat me, comas meas
Vt riget, virginum delicias,
In ſacrificio Phœbi.

Epodus.

O ſplendens petra ignis
Duorum verticum lumine, ſupra cacumen
Bacchi, & tu ô Bacchi vitis,
Quæ quotidianum exſtillas *potum*.
Fœcundum vitis florentis producens botrum.
O diuina antra draconis,
Montanæque ſpeculæ deorum,
Niuoſumque montem ſacrum
Circumdans immortalis Deæ
Chorus, vtinam ſim ſine metu.
In medio vmbilico latebrarum
Phœbi, relicta Dirce.

ANTISTROPHICA.

Strophe.

Nunc vero mihi ante mœnia
Impetuoſus profectus Mars,
Sanguinem hoſtilem incendit
Huic, quod vtinam ne accidat, vrbi.
Communes enim ſunt amicorum dolores.
Communes etiam ſunt, ſi quid patiatur
Septem munita turribus hæc terra,
Phœniſſæ regioni. Eheu, heu.

Communis ſanguis, communes liberi
Corningeræ ſunt Iûs.
Quorum laborum ego ſum particeps.

Antiſtrophe.

Circum vrbem autem nubes
Clypeorum denſa fulget,
Species cruentæ pugnæ,
Quam mars mox afferet
Filiis Oedipi, ferens
Noxam ab Erinnybus,
Argos ô Pelaſgicum,
Metuo tuum robur,
Et diuinam vindictam. Non enim iniuſtum
Ad certamen hoc armatus ruit
Filius, qui ſuam repetit domum.

Polynices.

Clauſtra quidem ianitorum me receperunt,
Facile, vt venirem in vrbem.
Propter quod etiam metuo, ne me intra retia
Accipientes, non dimittant ſine cæde corpus.
Quapropter circumferendi ſunt vndique oculi
Huc & illuc, ne quis ſit dolus.
Armatus vero manum hoc enſe,
Fiduciam mihi ipſi confidentiæ præbebo:
Heus quid iſtuc eſt? an vero ſtrepitum metuo.
„ Omnia enim audentibus periculoſa videntur,
„ Quando per hoſtilem pes incedit terram.
Confiſus ſum matri (& tamen non plane confido)
Quæ mihi perſuaſit, vt factis induciis huc venirē.
Sed prope eſt auxilium: foci enim altarium
Prope adſunt, & non deſertæ domus.
Age dimittam gladium in obſcuram vaginam,
Et has interrogabo, quæ nam aſtent ædibus
Peregrinæ mulieres, Dicite, qua nam ex patria
Acceditis ad Græcas domos?

Cho. Terra quidem Phœniſſa patria aluit me
Agenoris vero nepotes ex ſpoliis
Miſerunt me huc Phœbo primitias:
Cumque eſſet me miſſurus Oedipi filius inclytus
Ad venerandum oraculum Apollinis, & penetralia,

Interea

Κοινὸν αἷμα, κοινὰ τέκνα
Τᾶς κερασφόρου πέφυκεν Ἰοῦς.
Ὧν μέτεστί μοι πόνων.

Ἀντιστροφή.

Ἀμφὶ δὲ πόλιν νέφος
Ἀσπίδων πυκνὸν φλέγει,
Σχῆμα φονίου μάχης,
Ἂν Ἄρης τάχ᾽ εἴσεται
Παισὶν Οἰδίπου φέρων
Πημονὰν Ἐριννύων.
Ἄργος ὦ πελασγικὸν,
Δειμαίνω τὰν σὰν ἀλκὰν,
Καὶ τὸ θεόθεν. οὐ γὰρ ἄδικον
Εἰς ἀγῶνα τόνδ᾽ ἔνοπλος ὁρμᾷ
Παῖς, ὃς μετέρχεται δόμους.

ΙΑΜΒΟΙ.

Πολ. Τὰ μὲν πυλωρῶν κλεῖθρά μ᾽ εἰσεδέξατο
Δι᾽ εὐπετείας, τειχέων εἴσω μολεῖν.
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες, οὐ μεθῶσιν αἱμακτὸν χρόα.
Ὧν οὕνεκ᾽ ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὰ πίστ᾽ ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
Ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα.
„ Ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
„ Ὅταν δι᾽ ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
Πέποιθα μέν τοι μητρὶ, κοὐ πέποιθ᾽ ἅμα,
Ἥτις μ᾽ ἔπεισε δεῦρ᾽ ὑπόσπονδον μολεῖν.
Ἀλλ᾽ ἐγγὺς ἀλκή. βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ᾽ ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τούσδ᾽ ἔρωμαι, τίνες ἐφεστᾶσι δόμοις.
Ξέναι γυναῖκες, εἴπατ᾽ ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασι πελάζετε;
Χο. Φοίνισσα μὲν γῆ πατρὶς, ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ᾽ ἔπεμψαν ἐνθάδ᾽ ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ᾽ Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίου τ᾽ ἐπ᾽ ἐσχάρας,

Ἐν τῷδ᾽ ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ᾽ ἀντάμειψαί μ᾽, ὅστις ὢν ἐλήλυθας
Ἑπτάστομον πύργωμα Θηβαίας χθονός.
πο. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου.
Ἔτικτε δ᾽ Ἰοκάστη με, παῖς Μενοικέως.
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

χο. Ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπίτνω
Σ᾽ ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.
Ἔβας ἔβας ὦ χρόνῳ γᾶν πατρῴαν.
Ἰὼ ἰὼ πότνια, μόλε πρόδομος,
Ἀναπέτασον πύλας,
Κλύεις ὦ τεκοῦσα τόνδε; μᾶτερ, τί μέλλεις
Ὑπώροφα μέλαθρα
Περᾶν, θιγεῖν τ᾽ ὠλέναις τέκνου;
ιο. Φοίνισσαι, ὦ νεάνιδες, βοὰν ἔσω
Δόμων κλύουσα τῶνδε,
Γήρᾳ τρομερὰν
Ἕλκω ποδὸς βάσιν. ἰὼ τέκνον, χρόνῳ
Σὸν ὄμμα, μυρίαις τ᾽ ἐν ἁμέραις προσεῖδον.
Ἀμφίβαλλε μαστὸν ὠλέναισι ματρός,
Παρηίδων τ᾽ ὄρεγμα,
Βοστρύχων τε κυανόχρωτα χαίτας
Πλόκαμον, σκιάζων δέραν ἐμάν.
Ἰὼ ἰώ, μόλις φανεὶς
Ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις. τί φῶ σε; πῶς ἅπαντα
Καὶ χερσί, καὶ λόγοισι, πολυέλικτον ἁδονὰν
Ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα, τέρψιν
Παλαιᾶν λάβω χαρμονᾶν; ἰὼ τέκος,
Ἔρημον πατρῷον ἔλιπες δόμον,
Φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ.
Ἦ ποθεινὸς φίλοις;
Ἦ ποθεινὸς Θήβαις;
Ὅθεν ἐμάν τε λευκόχροα κείρομαι,
Δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν,
Ἄπεπλος φαρέων λευκῶν, τέκνον.
Δυσόρφναιά δ᾽ ἀμφὶ τρύχη τάδε σκότια
Ἀμείβομαι. ὁ δ᾽ ἐν δώμασι πρέσβυς

Ὀμμα-

Interea Argiui duxerunt exercitum ad vrbem.
Tu vero reſponde mihi,quis nam ſis qui venis
Ad Thebas vrbem ſeptem turrium.

Pol. Pater mihi quidem eſt Oedipus Laii filius,
Peperit vero me Iocaſte filia Menœcei,
Vocatque me Polynicem Thebanus populus.

MONOSTROPHICA.

Cho. O cognatio filiorum Agenoris,
Meorum dominorum,a quibus miſſa ſum.
Procumbo ad genua
Tibi ô rex,colens legem patriam.
Veniſti veniſti tandẽ poſt lõgũ tẽpus in terrã patriam.
Heus heus veneranda mater,venias extra ædes,
Aperi portas,
Num audis hunc quẽ peperiſti? q̃d cũctaris mater
Excelſa atria
Tranſire,& amplecti vlnis filium?

Io. O puellæ,vocem Phœniſſam intra
Ædes iſtas audiens,
Senecta tremulum
Inceſſum pedis traho. O fili, poſt longum interual-
Et poſt multos dies aſpicio oculum tuum. [lum
Amplectere vbera matris brachiis tuis,
Genaſque cupitas,
Comæque cæruleam *ad meos* capillos
Cæſariem *applica*,obumbrans collum meum.
Io, Io vix apparens [cõpellabo te? q̃do oĩa *peragam*,
Præter ſpem,& p̃ter opinionẽ in matris brachiis. Qd̃o
Et manibus & verbis multiplicem voluptatem,
Huc & illuc inambulans,& delectationem
Veteris gaudii accipiam? O fili,
Reliquiſti paternam domum deſertam,
Exul miſſus fratris iniuria.
Quam deſideratus amicis.
Quam deſideratus Thebis?
Vnde raſi canos meos,
Demittens capillos funeſtos & luctuoſos,
Et non induta ſum candidis veſtibus,ô fili,
Atras vero & ſqualidas has tenebris ædes
Incolo: ſenex vero in domo

Ex-

Excæcatus, iumenti comparis
Eius, ꝙ diſiūctū a ſua familia, deſideriū lachrymoſum
Semper habens, inſiliit in gladium,
Inque manu propria factam cædem,
Sublimesque laqueos,
Cum gemitu proferens execrationes in ſuos liberos.
Cum vociferationibus autem querelarum
In tenebris occultatur.
Te vero ô fili, audio connubio
Coniunctum, coniugalem voluptatem
Habere in externa terra,
Peregrinamque affinitatem curare.
Hæc ſunt intolerabilia matri,
Et Laio auo tuo,
Nuptiarum eſſe accerſitam noxam:
Ego vero neque lumen ignis accendi tibi
Legitimum in nuptiis,
Vt decet matrem beatam.
Nec Iſmenus curauit Hymenæum,
Qui ex balneis conſtat deliciarum.
Per Thebanam vero vrbem
Præteritus eſt ſilentio ingreſſus tuæ ſponſæ.
Pereant iſta, ſiue ferrum,
Siue diſſidium, ſiue pater tuus in cauſa eſt,
Siue fatum petulanter inuaſit
Domum Oedipi.
Ad me enim veniunt dolores horum malorum.

Chorus.

Graues ſunt mulieribus, qui cū dolore edūtur partus.
„ Ac totum genus muliebre amans eſt liberorum.
Pol. Mater, bene & non bene cogitans, veni
„ Ad viros inimicos, ſed neceſſe eſt
„ Omnes amare patriam. qui vero aliter dicit,
„ Verbis delectatur, mentem vero illic habet.
Adeo autem ad turbas & timorem veni,
Ne quis dolus a fratre me occidat,
Vt habens manum armatam gladio per vrbem
Venerim circumferens vultum. Vnū vero me iuuat,
Induciæ & tua fides, quæ me introduxit
Intra mœnia paterna. veni vero multum lachrymans,

Poſt

Ὀμματοστερὴς, ἀπούσας ὁμοπτέρου,
Τᾶς ἀποζυγείσας δόμων, πόθον ἀμφιδάκρυτον
Αἰεὶ κατέχων, αὐήιξε μὲν ξίφους
Ἐπ' αὐτόχειρά τε σφαγὰν,
Ὑπὲρ τέραμνά τ' ἀγχόνας,
Στενάζων ἀρὰς τέκνοις.
Σὺν ἀλαλαῖσι δ' αἰαγμάτων,
Σκότια κρύπτεται.
Σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
Ζυγέντα, παιδοποιὸν ἁδονὰν
Ξένοισιν ἐν δόμοις ἔχειν,
Ξένον τε κῆδος ἀμφέπειν.
Ἄλαστα ματρὶ τᾷδε,
Λαΐω τε τῷ παλαιγενεῖ,
Γάμων ἐπακτὸν ἄταν.
Ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
Νόμιμον ἐν γάμοις,
Ὡς πρέπει ματρὶ μακαρίᾳ.
Ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
Λουτροφόρου χλιδᾶς.
Ἀνὰ δὲ Θηβαίαν πόλιν
Ἐσιγάθη σᾶς εἴσοδος νύμφας.
Ὄλοιτο τάδ', εἴτε σίδαρος,
Εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
Εἴτε τὸ δαιμόνιον κατεκώμασε
Δώμασιν Οἰδιπόδαο.
Πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

ΙΑΜΒΟΙ.

χο. Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί.
„ Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
πολ. Μᾶτερ, φρονῶν εὖ, κοὐ φρονῶν, ἀφικόμην
„ Ἐχθροὺς ἐς ἄνδρας. Ἀλλ' ἀναγκαίως ἔχει
„ Πατρίδος ἐρᾶν ἅπαντας. ὃς δ' ἄλλως λέγει,
„ Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
Οὕτω δὲ τάρβους εἰς φόβον τ' ἀφικόμην,
Μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
Ὥστε ξιφήρη χεῖρ' ἔχων, δι' ἄστεος
Κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
Σπονδαί τε, καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε
Τείχη πατρῷα. πολύδακρυς δ' ἀφικόμην

Digitized by Google

Χρόνιος ἰδὼν μέλαθρα, καὶ βωμοὺς θεῶν,
Γυμνάσιά θ' οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ·
Ὧν οὐ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
Ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυρροοῦν.
Ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σε δέρκομαι,
Κάρα ξυρηκὲς, καὶ πέπλους μελαγχίμους
Ἔχουσαν. οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν.
,, Ὡς δεινὸν ἔχθρα μῆτερ οἰκείων φίλων,
,, Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
Τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
Σκότον δεδορκώς; τί δὲ κασιγνήτα δύο;
Ἦ πού στένουσι τλήμονες φυγὰς ἐμάς;
ἰο. Κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
Οὕτω γὰρ ἤρξατ', ἀνόμως μὲν τεκεῖν ἐμὲ,
Κακῶς δὲ γῆμαι πατέρα σὸν, φῦναί τε σέ.
,, Ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
Ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
Δέδοιχ' ἃ χρῄζω. διὰ πόθου δ' ἐλήλυθα.
πο. Ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς.
Ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ μῆτερ φίλα.
ἰο. Καὶ δή σ' ἐρωτῶ πρῶτον, ὧν χρῄζω τυχεῖν.
,, Τί, τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα;
πο. Μέγιστον. ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.
ἰο. Τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσι τὸ δυσχερές;
πο. Ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
ἰο. Δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.
πο. Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
ἰο. Καὶ τοῦτο λυπρὸν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
πο. Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
ἰο. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος;
πο. Καλοῖς βλέπουσί γ' ὄμμασι, μέλλουσι δέ.
ἰο. Οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς.
πο. Ἔχουσιν Ἀφροδίτην τίν' ἡδεῖαν θεόν.
ἰο. Πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
πο. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον αὖ.
ἰο. Φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
πο. Εὖ πρᾶσσε. τὰ φίλων δ' οὐδὲν, ἤν τις δυστυχῇ.
ἰο. Οὐδ' ἡ εὐγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
πο. Κακὸν τὸ μὴ ἔχειν. τὸ γένος οὐκ ἔβοσκέ με.
ἰο. Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς;

Digitized by Google

Poſt longum tempus videns aulam & aras deorũ,
Et gymnaſia in quibus nutritus ſum,& aquã Dirces,
A quibus non iuſte pulſus,peregrinam vrbem
Habito,habens aſpectum per oculos lachrymantem.
Sed enim ob dolores meos dolere te quoque video,
Caput raſum,& veſtes atratas
Habentem. Hei mihi propter mea mala.
„ Quam miſera res eſt,ô mater, odiũ inter domeſticos,
„ Et quam difficilem habet reconciliationem.
Quid vero meus pater ſenex in ædibus agit,
Videns tenebras?quid etiam ſorores duæ?
An non miſeræ gemunt exilium meum?
Ioc. Aliquis Deus male perdit genus Oedipi.
Sic enim cœpit,vt ego parerem contra fas,
Et vt male duceret vxorẽ pater tuus, tuq; naſcereris.
„ Verum ad quid hæc? oportet ferre fatalia.
Quomodo autẽ interrogem, ne mordeã tuũ animũ,
Metuo,quæ volo:venis enim mihi deſideratus.
Pol. At exquirere nihil omittas.
Quæ enim tu vis,ea & mihi grata ſunt mater.
Ioc. Interrogo igitur primum quæ volo conſequi.
„ Quid,eſſe exulem,nonne magnum malum eſt?
Pol. Maximum. re vero maius eſt quam verbis.
Ioc. Quonã modo hoc? q̄d eſt vſq; adeo malum exulibus?
Pol. Vnũ quidem eſt maximũ, nõ habent libertatẽ dicẽdi.
Ioc. Serui eſt,(ꝙ dixiſti) nõ dicere aliquẽ id,ꝙ ſentiat.
Pol. Oportet ferre ſtultitias illorum qui dominantur.
Ioc. Et hoc acerbum eſt,deſipere cum ſtultis.
Pol. Sed ſeruiendũ eſt propter vtilitatem contra naturam.
Ioc. At ſpes alunt exules, vt dicitur.
Pol. Aſpiciunt eæ pulchris oculis,cunctantur tamen.
Ioc. Neque tempus oſtendit tibi eas eſſe inanes?
Pol. Habent Venerem, ſuauem deam quandã. [victum?
Ioc. Vnde vero alebaris, priusquam per nuptias inuenires
Pol. Aliquando habebã in diem , aliquando nõ habebam,
Ioc. Non iuuabant te amici patris,& hoſpites?
Pol. Feliciter rem gere. amicorũ enim res in calamitatibus
Ioc. Nõ extulit te nobilitas ad magnũ gradũ? [nihil ſunt.
Pol. Malum eſt nihil habere. Genus non aluit me.
Ioc. Patria,vt videtur,cariſſima res mortalibus eſt.

Pol.

Digitized by Google

Pol. Non quidem dicere poſſum, quam dulcis ſit.
Ioc. Quomodo veniſti Argos? quid conſilii habuiſti?
Pol. Apollo Adraſto quoddam oraculum dedit.
Ioc. Quale? quid hoc dixiſti? non poſſum intelligere.
Pol. Iuſſit dare nuptum filias apro & leoni.
Ioc. At tibi quænã ſocietas erat nominis beſtiarũ, ô fili?
Pol. Non ſcio, fatum me ad hanc fortunam vocabat.
Ioc. Sapiens enim eſt Deus. Sed q̃do nactus es connubiũ?
Pol. Nox erat, cum veni ad porticus Adraſti.
Ioc. Quærens cubile, ſicut exul errans?
Pol. Hæc erat cauſa: deinde venit etiam alius exul.
Ioc. Quis iſte? quam vero miſer & ille erat.
Pol. Tydeus, quem dicunt natum Oeneo patre.
Ioc. Quare vero feris vos Adraſtus comparauit?
Pol. Eo quod venimus in certamen de ſtragulis.
Ioc. Ibi filius Talai intellexit vaticinia?
Pol. Et dedit nobis duobus duas puellas.
Ioc. Suntne igitur felices aut infauſtæ nuptiæ?
Pol. Non repræhendo nuptias ad hoc vſque tempus.
Ioc. Quomodo perſuaſiſti huc te ſequi exercitum?
Pol. Adraſtus iurauit duobus generis hoc,
Tydeo & mihi, (hic enim eſt affinis meus)
Se reducturum vtrunque in patriam, me vero prius.
Multi autem principes Danaorum & Mycenæorum
Adſunt, officium mihi triſte, ſed neceſſarium
Dantes: duco enim exercitum aduerſus meam
Patriam. Deos autem iuro quod inuitus
Intuli bellum chariſſimis parentibus.
Sed ad te pertinet reconciliatio horum malorum,
O mater, vt reconciliatis charis fratribus,
Liberes a laboribus me, & te, & totam vrbem.
Iam olim quidem celebratum eſt, ſed tamen dicam:
,, Opes hominibus ſunt honoratiſſimæ,
,, Et habent maximam potentiam inter homines.
Quas ego propter huc venio, ducens multas
,, Haſtas: Nam nobilis vir, ſi pauper ſit, nihil eſt.
Cho. Atqui Eteocles ad reconciliationem huc
Accedit: tui officii eſt, ô mater Iocaſte, dicere
Tales ſermones, quibus reconciliare poſſis filios.
Eteo. Mater, adſum. dans vero tibi hanc gratiam.

Veni.

πολ. Οὐδ' ὀνομάσαι δύναιμ' ἄν, ὡς ἐστὶ φίλον.
ἰοκ. Πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔχεις;
πολ. Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
ἰοκ. Ποῖον, τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
πολ. Κάπρῳ, λέοντί θ' ἁρμόσαι παίδων γάμους.
ἰοκ. Καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
πολ. Οὐκ οἶδ'. ὁ δαίμων μ' ἐκάλεσε πρὸς τὴν τύχην.
ἰοκ. Σοφὸς γὰρ ὁ θεός. τίνι τρόπῳ δ' ἔσχες λέχος;
πολ. Νὺξ ἦν. Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.
ἰοκ. Κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;
πολ. Ἦν ταῦτα. κἆτα γ' ἦλθεν ἄλλος αὖ φυγάς.
ἰοκ. Τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
πολ. Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦσαι πατρός.
ἰοκ. Τί θηρσὶ δ' ὑμᾶς δῆτ' Ἄδραστος εἴκασε;
πολ. Στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
ἰοκ. Ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;
πολ. Κἄδωκεν ἡμῖν δύο δυοῖν νεανίδας.
ἰοκ. Ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις, ἢ δυστυχεῖς;
πολ. Οὐ μεμπτὸς ἡμῖν ὁ γάμος εἰς τόδ' ἡμέρας.
ἰοκ. Πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
πολ. Δισσοῖς Ἄδραστος ὤμοσε γαμβροῖς τόδε,
Τυδεῖ τε, κἀμοί, σύγγαμβρος γάρ ἐστ' ἐμός,
Ἄμφω κατάξειν εἰς πάτραν· πρόσθεν δ' ἐμέ.
Πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
Πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ' ἐμοὶ
Διδόντες. ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
Πόλιν. θεοὺς δ' ἐπώμοσ', ὡς ἀκουσίως
Τοῖς φιλτάτοις τοκεῦσιν ἠράμην δόρυ.
Ἀλλ' εἰς σὲ τείνει τῶνδε διάλυσις κακῶν
Μᾶτερ, διαλλάξασαν ὁμογενεῖς φίλους.
Παῦσαι πόνων με, καὶ σέ, καὶ πᾶσαν πόλιν.
Πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ.
„ Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
„ Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
Ἁ 'γὼ μεθ' ἥκω δεῦρο, μυρίαν ἄγων
„ Λόγχην. Πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.
χο. Καὶ μὴν Ἐτεοκλῆς εἰς διαλλαγὰς ὅδε
Χωρεῖ. σὸν ἔργον μᾶτερ Ἰοκάστη, λέγειν
Τοιούσδε μύθους, οἷς διαλλάξεις τέκνα.
ἐτε. Μᾶτερ, πάρειμι. τὴν χάριν δέ σοι διδοὺς,

Ἦλθον.

Ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δέ τις λόγου.
Ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
Τάσσων, ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
Κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
Τόνδ' εἰσεδέξω τειχέων, πείσασά με.
Ιο. Ἐπίσχες. Οὔτι τὸ ταχὺ τὴν δίκην ἔχει.
„ Βραδεῖς δὲ μῦθοι, πλεῖστον ἀνύουσι σοφόν.
Σχάσον δὲ δεινὸν ὄμμα, καὶ θυμοῦ πνοάς.
Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
Σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες. εἰς γὰρ ταὐτὸν ὄμμασι βλέπων,
Λέξεις τ' ἄμεινον, τοῦδέ τ' ἐνδέξῃ λόγους.
Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν.
„ Ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
„ Εἰς ἓν συνελθὼν, ὄμματ' ὄμμασι διδῷ,
„ Ἐφ' οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν.
„ Κακῶν δὲ τῶν πρὶν μηδαμῶς μνείαν ἔχειν.
Λόγος μὲν οὖν σὸς πρόσθεν, Πολύνεικες τέκνον.
Σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
Ἄδικα πεπονθὼς, ὡς σὺ φῄς· κριτὴς δέ τις
Θεῶν γένοιτο, καὶ διαλλακτὴς κακῶν.
πο. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
„ Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων.
„ Ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ' ἄδικος λόγος,
„ Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν.
Ἐγὼ δὲ δωμάτων πατρὸς προὐσκεψάμην.
Τοὐμόν τε, καὶ τοῦδ', ἐκφυγεῖν χρῄζων ἀράς,
Ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
Ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονός,
Δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
Ὥστ' αὐτὸς ἀρχὴν αὖθις ἀνὰ μέρος λαβὼν,
Καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολὼν,
Κακόν τι δρᾶσαι, καὶ παθεῖν, ἃ γίνεται.
Ὁ δ' αἰνέσας ταῦθ', ὁρκίους τε δοὺς θεούς,
Ἔδρασεν οὐδὲν ὧν ὑπέσχετ', ἀλλ' ἔχει
Τυραννίδ' αὐτὸς, καὶ δόμων ἐμῶν μέρος.
Καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν,
Στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός,
Οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβών,

Καὶ

Veni. quid me facere oportet? incipiat aliquis dicere
Quia circa mœnia iuga currus & manipulos
Inſtruens, inhibui ciuitatem, vt te audirē [profectum
De communi recōciliatione, propter q̄ factis induciis
Hunc recepiſti intra muros, perſuaſo me.
Ioc. Expecta. Celeritas non iuſte agit.
,, Tarda vero conſilia efficiunt multa ſapienter.
Remitte toruos oculos, & animi flatus.
Non enim intueris præciſum a faucibus caput
Gorgonis, ſed vides venientem fratrem tuum.
Tu quoque viciſſim vultum ad fratrem verte
Polynices: nam in idem videns oculis,
Dices melius, & melius excipies huius ſermones.
Admonere vero vos aliquid ſapienter volo.
,, Quando amicus aliquis iratus amico
,, Congrediens, mutuo aſpicit,
,, Oportet tantum ea conſiderare propter quæ venit,
,, Priorum vero malorum nequaquam meminiſſe.
O fili Polynices, tua oratio prior erit.
Tu enim venis adducens exercitum Græcorū,
Paſſus iniuſta, vt tu dicis: iudex vero aliquis
Deorum fiat, & reconciliator malorum.
Pol. Oratio veritatis ſimplex eſt,
,, Et nō habet opus multis hinc inde interpretationibus:
,, Res enim ipſa pro ſe dicit: mala vero cauſa
,, Languens in ſeſe, habet opus accuratis pharmacis.
Ego ſollicitus de domo patris,
Et meas & huius volens effugere execrationes,
Quas Oedipus dixit aduerſus nos aliquando,
Diſceſſi ſponte mea ex hac terra,
Cōcedēs fratri vt regnū teneret in patria p̄ vnū annū,
Vt ipſe regnarem rurſus per vices accipiens,
Et non huc veniens per inimicitiam & cædem,
Aliquid mali facerem & paterer quæ fiunt.
Ipſe probans hæc, & inuocans deos teſtes,
Nihil eorum fecit quæ dixit, ſed habet
Ipſe regnum, & partem meæ domus.
Et nunc paratus ſum mea recipiens,
Exercitum extra hanc terram dimittere,
Et gubernare meam domum per vices accipiens,

Et huic permittere æquale rurſus tēpus *regendam*,
Et non vaſtare patriam, neque admouere
Turribus compactarum ſcalarū gradus ad aſcendēdū.
Quæ non conſecutus ius experiar,
Vt faciam *quæ ſtatui*. teſtes vero horum deos voco,
Quod omnia iuſte faciens, præter ius
Spolier patria iniquiſſime.
Hæc ſingula mater non perplexos
Sermones colligens dixi, ſed & ſapientibus
Et hebetibus iuſta, vt mihi videtur.

Cho. Mihi quidem, etiamſi non in Græcia
Simus educatæ, videtur tamen prudenter dicere.

Eteo. Si omnibus idem eſſet pulchrum, egregiumq; ſimul,
,, Non eſſet ambigua diſſenſio inter homines:
,, Nunc vero nihil ſimile, nihil æquale hominibus eſt
,, Præter nomina, res vero non eſt eadem.
,, Ego enim mater non occultans, dicam.
Aſtra aſcenderem Solis ad ortum,
Et ſub terram *deſcenderem*, ſi poſſem efficere hæc,
Vt haberem tyrannidem deorum maximam.
Hoc igitur bonum, ô mater, non volo
Alteri concedere magis, quam mihi ſeruare.
,, Ignauus enim eſt, re maiori quiſquis amiſſa,
,, Minorem acceperit. præterea vero pudet me
Venientem hunc cum armis, & vaſtantem terram.
Conſequi quæ poſtulat. Thebis enim hoc
Fuerit probrum, ſi haſtæ Myceneæ
Metu, traderem ſceptra mea, vt hic haberet,
Oportebat vero ipſum non armis reconciliationem
,, Facere, ô mater. Id enim omne conficit oratio,
,, Quod vel ferrum hoſtium facere poſſit.
Sed ſi vult alioqui habitare hanc terram,
Licet ſane: illud vero haud volens concedam,
Cum liceat mihi regnare, vt ſeruiam huic vnquam.
Quare veniant mihi ignes, veniant enſes,
Iungite equos, campos implete curribus,
Quia non concedam huic meum regnum.
,, Si .n. iniuſte facere oportet, regni cauſa [lere oportet.
,, Pulcherrimū eſt iniuſte facere: in aliis vero pietatē co-

Cho. Non conuenit pulchra dicere in rebus inhoneſtis.

Non

Καὶ τῷδ᾽ ἀφεῖναι τὸν ἴσον αὖθις χρόνον,
Καὶ μή τε πορθεῖν πατρίδα, μήτε προσφέρειν
Πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις.
Ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
Δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
Ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
Ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
Ταῦτ᾽ αὔθ᾽ ἕκαστα. μῆτερ, οὐχὶ περιπλοκὰς
Λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς,
Καὶ τοῖσι φαύλοις ἔνδιχ᾽, ὡς ἐμοὶ δοκεῖ.
χο. Ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ᾽ Ἑλλήνων χθόνα
Τεθράμμεθ᾽, ἀλλ᾽ οὖν ξυνετά μοι δοκεῖ λέγειν.
ἐτε. Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ, σοφόν θ᾽ ἅμα,
,, Οὐκ ἦν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
,, Νῦν δ᾽ οὔθ᾽ ὅμοιον οὐδὲν, οὔτ᾽ ἴσον βροτοῖς,
,, Πλὴν ὀνομάσαι. τὸ δ᾽ ἔργον οὐκ ἔστι τόδε.
,, Ἐγὼ γὰρ οὐδὲν μῆτερ ἀποκρύψας, ἐρῶ.
Ἄστρων ἂν ἔλθοιμ᾽ ἡλίου πρὸς ἀντολὰς,
Καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν δρᾶσαι τάδε,
Τὴν θεῶν μεγίστην ὥστ᾽ ἔχειν τυραννίδα.
Τοῦτ᾽ οὖν τὸ χρηστὸν μῆτερ οὐχὶ βούλομαι
Ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
,, Ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
,, Τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ᾽, αἰσχύνομαι
Ἐλθόντα σὺν ὅπλοις τόνδε, καὶ πορθοῦντα γῆν,
Τυχεῖν ἃ χρῄζει. ταῖς γὰρ ἂν Θήβαις τόδε
Γένοιτ᾽ ὄνειδος, εἰ μυκηναίου δορὸς
Φόβῳ, παρείην σκῆπτρα τἀμὰ τῷδ᾽ ἔχειν.
Χρῆν δ᾽ αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς,
,, Μῆτερ, ποιεῖσθαι. πᾶν γὰρ ἐξαιρεῖ λόγος,
,, Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
Ἀλλ᾽ εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
Ἔξεστ᾽. ἐκεῖνο δ᾽ οὐχ ἑκὼν μεθήσομαι.
Ἄρχειν παρόν μοι, τῷδε δουλεύσω ποτέ.
Πρὸς ταῦτ᾽, ἴτω μοι πῦρ, ἴτω δὲ φάσγανα,
Ζεύγνυσθε δ᾽ ἵππους, πεδία πίμπλαθ᾽ ἁρμάτων,
Ὡς οὐ παρήσω τῷδ᾽ ἐμὴν τυραννίδα.
,, Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
,, Κάλλιστον ἀδικεῖν. τἆλλα δ᾽ εὐσεβεῖν χρεών.
χο. Οὐκ εὖ λέγειν χρὴ μὴ ᾽πὶ τοῖς ἔργοις καλοῖς.

Digitized by Google

,, Οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.
ΙΟΚ. Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
,, Ἐτεόκλεες, πρόσεστιν. ἀλλ' ἡ 'μπειρία
,, Ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
Φιλοτιμίας, παῖ; μὴ σύγ'. ἄδικος ἡ θεός.
Πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
Εἰσῆλθε, κἀξῆλθεν, ἐπ' ὀλέθρῳ τῶν χρωμένων.
,, Ἐφ' ᾗ σὺ μαίνῃ. Κεῖνο κάλλιον, τέκνον,
,, Ἰσότητα τιμᾷν. ἣ φίλους ἀεὶ φίλοις,
,, Πόλεις τε πόλεσι, ξυμμάχους τε ξυμμάχοις
,, Συνδεῖ. τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
,, Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
,, Τοὔλασσον, ἐχθρᾶς δ' ἡμέρας κατάρχεται.
,, Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν,
,, Ἰσότης ἔταξε, κἀριθμὸν διώρισε.
,, Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἡλίου τε φῶς,
,, Ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον.
,, Κοὐδέτερον αὐτῶν φθόνον ἔχει νικώμενον.
,, Εἶθ' ἅλιος μὲν, νύξ τε δουλεύει βροτοῖς.
Σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον,
Καὶ τῷδ' ἀπονεῖμαι; κᾆτα ποῦ 'στιν ἡ δίκη;
Τί τὴν τυραννίδ' ἀδικίαν εὐδαίμονα,
Τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι τόδε;
Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
Ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι
Βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον.
,, Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
,, Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,
,, Τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα.
,, Ὅταν δὲ χρήζωσ', αὖτ' ἀφαιροῦνται πάλιν.
,, Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
Ἄγ', ἤν σ' ἔρωμαι δύο λόγους προθεὶς ἅμα,
Πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
Ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,
Ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
Ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε.
Ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας,
,, Βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
Ὀδυνηρὸς ἄρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,

Γενή-

„ Non enim eſt hoc bonũ,ſed acerba res eſt iuſtitiæ.
Ioc. O fili,non omnia mala ſenectuti
„ Adſunt, Eteocles: ſed experientia
„ Habet aliquid dicere ſapientius quam iuuenes,
Quare peſſimam dearum concupiſcis
Ambitionẽ, ô fili ne facias *hæc*. iniuſta .*n*. *eſt* hæc Dea
In multas enim familias,& vrbes beatas
Intrauit,& egreſſa eſt cum pernicie vtentium.
„ Propter quam tu inſanis. Illud multo melius eſt,ô fili,
„ Æqualitatem colere,quæ ſemper amicos amicis,
„ Vrbes vrbibus,& ſocios ſociis
„ Colligat. æqualitas enim eſt legitima inter homines.
„ Abundantiori vero ſemper inimicum eſt
„ Id quod minus eſt, & inchoat ſtatim hoſtilẽ diẽ.
„ Etenim menſuras hominibus & pondera
„ Æqualitas ordinauit,& numeros conſtituit:
„ Obſcuramque palpebram noctis, & lumen ſolis,
„ Vt æqualiter circuirent annuum circulũ. *conſtituit*.
„ Et neutrum horum duorum victum inuidet alteri,
„ Atque ita ſol & nox ſeruiunt hominibus.
„ Tu aũt nõ ſuſtinebis habere ęquam partẽ regni,
Et huic tribuere ſuam partem? vbi vero eſt ius?
Quid tyrannidem, beatam iniuſtitiam
Honoras ſupra modum, & magni facis hoc?
Circũſpici,*ſuſpiciq́*, *putas eſſe* honorificũ? at h.e. inane.
An multum laborare,habens multa in domo,
Vis? quid eſt hoc amplius? nomen habet tantum.
Nam ſufficientia ſufficiunt modeſtis.
„ Neque enim homines proprias poſſident opes,
„ Sed habentes a diis datas,curamus eas:
„ Quum autem *illi* volunt,auferunt ipſas rurſus.
„ Opulentia enim non eſt ſtabilis,ſed in diem.
„ Age, ſi interrogẽ,duas ſententias proponens ſimul,
Vtrum regnare, an vrbem ſeruare mauis?
Regnare velle dices? Si vero vicerit te iſte,
Et Argiuorum haſtę exercitũ Thebanũ ceperint,
Videbis domitam Thebanorum ciuitatem hanc:
Videbis etiam multas puellas captiuas,
„ Vi raptas ab hoſtibus.
Dolorem igitur hæc potentia,quam habere quęris,

Allatura eſt Thebanis: tu vero es ambitioſus.
Tibi quidem hęc dico, tibi vero Polynices hęc declaro.
Adraſtus contulit in te intempeſtiuam gratiam:
Et ſtulte veniſti tu quoque, expugnaturus patriam.
Age, ſi ceperis hanc vrbem (quod auertant
Dii) quomodo eriges trophæa iſtius pugnæ?
Q̄d̄o vero primitias dedicabis in ſacrificãdo, capta pa- [tria?
Et quomodo inſcribes ſpolia ad flumē Inachi?
Nempe de Thebis incenſis Polynices diis hos
Clypeos poſuit. nunquam ô fili, gloriam
Talem tibi contingat a Græcis conſequi.
Sin fueris victus, & res huius ſuccedant:
Quomodo Argos redibis innumeris relictis mortuis?
Et dicet aliquis: O infelices nuptias
Adraſte collocans, propter vnius puellæ coniugium
Periimus. duplex malum acceleras, ô fili.
Illis priuari, & cadere in medio horum. [duorum
„ Remittite nimiã aĩ cupiditatē, remittite: inſcitia enim
„ Quando in vnum conuenit, maximum malum eſt.
Cho. O dii, ſitis auerſores iſtorum malorum,
Et date reconciliationem aliquam filiis Oedipi.

Eteocles.

Mater, nō eſt certamē diſputationis, ſed perit tempus.
Q̄d̄ eſt in medio, fruſtra, tua vero diligētia nihil efficit.
Non enim poſſumus aliter reconciliari, niſi prædictis conditionibus,
Vt ego ſceptra tenens, rex ſim huius terræ.
Omittens vero longas admonitiones, ſine me.
Et tu Polynices vade extra hæc mœnia, aut morieris.
Pol. Per quem? quis ſic eſt inuulnerabilis, qui in nos enſem
Letalem immittens, non feret ſimilem necem?
Eteo. Prope adeſt, ante quem ſtas. aſpicisne manus meas?
Pol. Intueor. timidę vero res sũt diuitię, & amãs vitę malũ.
Eteo. Et ideo cũ exercitu veniſti ad eũ ꝗ nihil eſt in pugna?
Pol. Cautus enim dux præſtat feroci.
Eteo. Superbus es, confidēs induciis, quæ te ſeruant a morte.
Pol. Iterum repoſco a te ſceptra, & partem terræ.
Eteo. Non repoſce: ego enim meam habitabo domum.
Pol. Tenens plus quam partem? *Eteo.* Ita affirmo. verum diſcede ex terra.

Pol.

Γενήσεται Θήβαισι. φιλότιμος δὲ σύ.
Σοὶ μὲν τάδ᾽ αὐδῶ. σοὶ δὲ Πολύνεικες λέγω.
Ἀμαθεῖς Ἄδραστος χάριτας εἰς σ᾽ ἀνήψατο.
Ἀσύνετα δ᾽ ἦλθες καὶ σὺ πορθήσων πόλιν.
Φέρ᾽, ἢν ἕλῃς γῆν τήνδ᾽, ὃ μὴ τύχοι ποτὲ,
Πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσεις δορός;
Πῶς δ᾽ αὖ κατάρξῃ θυμάτων ἑλὼν πάτραν,
Καὶ σκῦλα γράψεις πῶς ἐπ᾽ Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας, τάσδε Πολυνείκης θεοῖς
Ἀσπίδας ἔθηκε· μή ποτ᾽ ὦ τέκνον κλέος
Τοιόνδε σοὶ γένοιτ᾽ ἂν ὑφ᾽ Ἑλλήνων λαβεῖν.
Ἢν δ᾽ αὖ κρατηθῇς, καὶ τὰ τοῦδ᾽ ὑπερδράμῃ,
Πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
Ἐρεῖ δὲ δή τις, ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθείς, διὰ μιᾶς νύμφης γάμον
Ἀπωλόμεσθα. δύω κακὼ σπεύδεις, τέκνον,
Κείνων στερέσθαι, τῶνδε τ᾽ ἐν μέσῳ πεσεῖν.
,, Μέθετον τὸ λίαν, μέθετον. ἀμαθία δυοῖν,
,, Εἰς ταυτὸθ᾽ ὅταν μόλητον, ἔχθιστον κακόν.
χο. Ὦ θεοὶ, γένοισθε τῶνδ᾽ ἀποτρόποι κακῶν,
Καὶ ξύμβασίν τιν᾽ Οἰδίπου τέκνοις δότε.

Τροχαῖοι.

ἐτε. Μᾶτερ, οὐ λόγων ἔτ᾽ ἀγὼν, ἀλλ᾽ ἀναλοῦται χρόνος
Οὑν μέσῳ μάτην, περαίνει δ᾽ οὐδὲν ἡ προθυμία.
Οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ ᾽πὶ τοῖς εἰρημένοις,
Ὥστε με σκήπτρων κρατοῦντα, τῆσδ᾽ ἄνακτ᾽ εἶναι χθονός.
Τῶν μακρῶν δ᾽ ἀπαλλαγεῖσα νουθετημάτων μ᾽ ἔα.
Καὶ σὺ τῶνδ᾽ ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.
πολ. Πρὸς τίνος; τίς δ᾽ ὧδ᾽ ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
Φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;
ἐτε. Ἐγγύς. οὐ πρόσω βέβηκας. εἰς χέρας λεύσσεις ἐμάς;
πολ. Εἰσορῶ. Δειλὸν δ᾽ ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν.
ἐτε. Κᾆτα σὺν πολλοῖσιν ἦλθες, πρὸς τὸν οὐδὲν ἐς μάχην;
πολ. Ἀσφαλὴς γάρ ἐστ᾽ ἀμείνων, ἢ θρασὺς στρατηλάτης.
ἐτε. Κομπὸς εἶ σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσι θανεῖν.
πολ. Καὶ σὲ δεύτερόν γ᾽ ἀπαιτῶ σκῆπτρα, καὶ μέρη χθονός.
ἐτε. Οὐκ ἀπαιτούμεσθ᾽. ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.
πολ. Τὸ μέρος ἔχων τὸ πλεῖστον; ἐτε. φημί. ἀπαλλάσσου δὲ γῆς.

πολ. Ὦ θεῶν βωμοὶ πατρῷοι. ἐτε. οὓς σὺ πορθήσων πάρει.
πολ. Κλύετέ μου; ἐτε. τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;
πολ. Καὶ θεῶν τῶν λευκοπώλων δώματα. ἐτε. οἵ στυγοῦσί σε.
πολ. Ἐξελαυνόμεσθα ἀπὸ πατρίδος. ἐτε. Καὶ γὰρ ἦλθες ἐξελῶν.
πολ. Ἀδικίᾳ γε σῇ, ὦ θεοί. ἐτε. Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.
πολ. Ἀνόσιος πέφυκας. ἐτε. ἀλλ' οὐ πατρίδος, ὡς σύ, πολέμιος.
πολ. Ὅς μ' ἄμοιρον ἐξελαύνεις. ἐτε. καὶ κατακτενῶ γε πρός.
πολ. Ὦ πάτερ, κλύεις ἃ πάσχω; ἐτε. καὶ γὰρ οἷα δρᾷς κλύει.
πολ. Καὶ σὺ μῆτερ; ἐτε. οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα.
πολ. Ὦ πόλις. ἐτε. μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.
πολ. Εἶμι, μὴ πόνει. σὲ δ' αἰνῶ μῆτερ. Ε. ἔξιθι χθονός.
πολ. Ἔξειμι. πατέρα δέ μοι δὸς εἰσιδεῖν. Ε. οὐκ ἂν τύχοις.
πολ. Ἀλλὰ παρθένους ἀδελφάς. Ε. οὐδὲ τάσδ' ὄψει ποτέ.
πολ. Ὦ κασίγνηται. ἐτε. τί ταύτας ἀνακαλεῖς, γ' ἔχθιστος ὤν;
πολ. Μῆτερ, ἀλλὰ σύ μοι χαῖρε. ἰοκ. χαρτὰ γοῦν πάσχω, τέκνον;
πολ. Οὐκέτ' εἰμὶ παῖς σός. ἰοκ. εἰς πολλά γ' ἄθλια πέφυκ' ἐγώ.
πολ. Ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει. ἐτε. καὶ γὰρ ἀνθυβρίζομαι.
πολ. Ποῦ ποτε στήσῃ πρὸ πύργων; ἐτε. ὡς τί μ' ἱστορεῖς τόδε;
πολ. Ἀντιτάξομαι κτενῶν σε. Ε. κἀμὲ τοῦδ' ἔρως ἔχει.
ἰοκ. Ὦ τάλαιν' ἐγώ. τί δράσετ' ὦ τέκνα; ἐτε. αὐτὸ σημανεῖ.
ἰοκ. Πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς; πολ. ἐρρέτω πρόπας δόμος.
ἐτεο. Ὡς τάχ' οὐκέτ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
πολ. Τὴν δὲ θρέψασάν με γαῖαν, καὶ θεοὺς μαρτύρομαι,
Ὡς ἄτιμα οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονός,
Δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πρὸς Οἰδίπου γεγώς.
Κἄν τι σοι πόλις γένηται, μή με, τόνδ' αἰτιῶ.
Οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
Καὶ σὺ Φοῖβ' ἄναξ ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
Ἥλικές τ' οὑμοί, θεῶν τε δεξίμηλ' ἀγάλματα.
Οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε.
„ Ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς.
Τόνδ' ἀποκτείνας, κρατήσειν τῆσδε Θηβαίας χθονός.
ἐτεο. Ἔξιθ' ἐκ χώρας. ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ
Ἔθετό σοι θείᾳ προνοίᾳ, νεικέων ἐπώνυμον.

ΕΠΩ-

Pol. O deorum aræ paternæ. *Ete.* Quas tu euerſurus ades?
Pol. Audite me. *Ete.* Quis vero audiret te gerentem bellum contra patriam?
Pol. Et domus deorũ, q̃ vehũtur cãdidis eq̃s. *Ete.* Qui oderunt te.
Pol. Expellimur ex patria. *Eteo.* Etenim veniſti patriam euerſurus.
Pol. Id fit tua iniuſtitia, ô dii. *Ete.* Mycenis, non hic deos inuoca.
Pol. Impius es. *E.* Sed non ſum hoſtis patrię, ſicut tu es.
Pol. Qui me expellis carentem parte hæreditatis. *E.* Inſuper etiam interficiam te.
Pol. O pater, audis quæ patior? *E.* Et qualia facis, audit.
Pol. Et tu ô mater? *E.* Nõ fas eſt te matris nominare caput.
Pol. O vrbs. *E.* Profectus Argos, inuoca Letnæam aquam.
Pol. Vado, ne ſis ſollicitus: te autem laudo mater. *E.* Egredere e terra.
Pol. Egredior, verum concede mihi, vt videam patrem. *E.* Non poteris conſequi.
Pol. Sed ſorores virgines. *E.* Neque has vnquam videbis.
Pol. O ſorores. *E.* Quid has vocas, cũ illis ſis inimiciſſimus?
Pol. Mater tu læta vale. *Ioc.* Læta ſcilicet patior, ô fili?
Pol. Non amplius ſum filius tuus. *Ioc.* Ad magnas calamitates ego nata ſum.
Pol. Ille.n. iniuria me afficit. *P.* Et ego viciſsĩ iniuria afficior.
Pol. Vbi nã ſtabis ante turres? *E.* Ad q̃d hoc me interrogas?
Pol. Aduerſ. te in acie ſtabo. *E.* Et me amor habet huiꝰ rei.
Ioc. Me miſeram. quid facietis ô filii? *Ete.* Res oſtendet,
Ioc. Non effugietis patris diras? *Pol.* Pereat tota domus.
Eteo. Quã cito ẽſis meus cruẽtus non erit amplius ocioſus?
Pol. Et terram quæ me aluit, & deos teſtor,
Quod indigna & miſerãda patiens, eiicior e terra
Sicut ſeruus, & non natus ab eodem Oedipo.
Et ſi q̃d acciderit tibi ô ciuitas, nõ me, ſed hũc accuſato:
Inuitus enim veni, inuitus etiam expellor e patria.
Et tu Phœbe rex, cuſtos viarũ publicarũ, & atria valete,
Et ęquales mei, & ſtatuę deorũ, recipiẽtes victimas:
Neſcio .n. an aliquãdo licebit mihi rurſus vos alloqui.
„ Spes vero nõdum obdormiũt, quib. confido cum diis,
Hoc interfecto, mę potiturũ hac Thebana terra.
Eteo. Diſcedito ex terra. vere enim nomen Polynicis pater
Indidit tibi diuina ꝓuidentia, cognomẽ contentionis.

EPO-

EPODICA.

Strophe.

Ch. Cadmus venit in hanc terram
Ex Tyro, cui quadrupes
Vitula ſponte corpus proſtrauit.
Completum reddens
Oraculum, vbi habitaret.
Campos enim oraculum
Ferentes triticum, loca ædium fore reſpondit,
Vbi pulchrifluus aquæ
Humor percurrens rigat terras
Dirces floriferas,
Et profundos habentia ſulcos arua.
Bacchum vbi peperit
Mater conceptum ex Ioue,
Quem hedera circumdata
Et inuoluta, ſtatim adhuc puerum
Virentibus frondibus
Obumbrantibus beans texit,
Bacchi ſaltationem,
Virginibus Thebanis,
Et mulieribus celebrantibus feſta Bacchi,

Antiſtrophe.

Vbi purpureus erat draco.
Martis, crudelis cuſtos,
Flumina & fluenta
Viridantia oculorum pupulis
Paſſim errantibus cuſtodiens.
Quem ad lauacra profectus
Cadmus, interfecit marmore,
Caput ſanguineum, interfector ferarum,
Brachiorum ſaucians iactibus,
Diuæ matre carentis
Palladis conſiliis,
In terram lapſos iaculatus dentes
In profundos habentia ſulcos arua
Vnde *mox* emiſit terra
Armatum ſpectaculum ſupra ſummos
Fines terræ *i. ſupra terræ ſuperficiem.* ferrea
Vero cædes ipſum rurſus coniunxit charæ terræ,

Digitized by Google

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Κάδμος ἔμολε τάνδε γᾶν
2 Τύριος. ᾧ τετρασκελὴς
3 Μόσχος ἀδάμαστον πέσημα δίκε,
4 Τελεσφόρον διδοῦσα
5 Χρησμὸν, οὗ κατῴκισε.
6 Πεδία μὲν τὸ θέσφατον
7 Πυροφόρα δόμων ἔχρησε,
8 Καλλιπόταμος ὕδατος ἵνα τε
9 Νοτὶς ἐπέρχεται γαίας
10 Δίρκας χλοηφόρους,
11 Καὶ βαθυσπόρους γύας.
12 Βρόμιον ἔνθα τέκε
13 Μάτηρ, Διὸς γάμοισι,
14 Κισσὸς ὃν περιστεφὴς
15 Ἑλικτὸς, εὐθὺς ἔτι βρέφος
16 Χλοηφόροισιν ἔρνεσι
17 Κατασκίοισιν ὀλβίσας ἐνώπισε,
18 Βακχεῖον χόρευμα
19 Παρθένοισι Θηβαίαισι,
20 Καὶ γυναιξὶν Εὐΐοις.

Ἀντιστροφή.

1 Ἔνθα φόνιος ἦν δράκων
2 Ἄρεος, ὠμόφρων φύλαξ,
3 Νάματ᾽ ἔνυδρα, καὶ ῥέεθρα
4 Χλοερὰ δεργμάτων κόραισι
5 Πολυπλάνοις ἐπισκοπῶν.
6 Ὃν ἐπὶ χέρνιβας μολὼν
7 Κάδμος, ὤλεσε μαρμάρῳ,
8 Κρᾶτα φόνιον ὀλεσίθηρος
9 Ωλέναις δικὼν βολαῖς,
10 Δίας ἀμάτορος
11 Παλλάδος φραδαῖσι,
12 Γαπετεῖς δικὼν ὀδόντας
13 Εἰς βαθυσπόρους γύας.
14 Ἔνθεν ἐξανῆκε γᾶ
15 Πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
16 Ὅρων χθονός. σιδαρόφρων
17 Δέ νιν φόνος πάλιν ξυνῆψε φίλᾳ γᾷ.

Αἵματος δ' ἔδευσε
Γαῖαν, ἅ νιν εὐηλίοισι
Δεῖξεν αἰθέρος πνοαῖς.

Ἐπῳδός.

Καὶ σὲ τὸν προμάτορος
Ιοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
Εκάλεσ' ἐκάλεσα
Βαρβάρῳ βοᾷ
Ιὼ βαρβάροις λιταῖς
Βᾶθι βᾶθι τάνδε γᾶν,
Σοί νιν ἔκγονοι κτίσαν.
Αἱ διώνυμοι θεαὶ
Περσέφασσα, καὶ φίλα
Δαμάτηρ θεὰ, ἁπάντων
,, Ἄνασσ', ἁπάν-
των δὲ γᾶ τροφὸς,
Εκτήσαντο, πέμπε πυρφόρους
Θεὰς ἀμῦναι τᾷδε γᾷ.
,, Πάντα δ' εὐπετῆ θεοῖς.

ΙΑΜΒΟΙ.

ἐτεο. Χώρει σὺ, καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν ματρὸς Ιοκάστης ἐμῆς,
Λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα.
Πρὶν εἰς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
Καίτοι ποδῶν σῶν μόχθον ἐκλύει παρών.
Ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.

κρέ. Ἦ πόλλ' ἐπῆλθον εἰσιδεῖν χρῄζων σ' ἄναξ
Ετεόκλεις. περὶ δὲ Καδμείων πύλας
Φύλακάς τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.

ἐτεο. Καὶ μὴν ἐγώ σ' ἔχρῃζον εἰσιδεῖν Κρέον.
Πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγὰς,
Ὡς εἰς λόγους συνῆψα Πολυνείκει μολών.

κρέ. Ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
Κήδει τ' Ἀδράστου, καὶ στρατῷ πεποιθέναι.
,, Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων.

ἐτεο. Τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.

κρέ. Ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.

ἐτεο.

Sanguine vero rigauit
Terram, quæ ipſum lucidis
Oſtendit cæli flatibus.

Epodus.

Et te ex auia
Io quondam natum
Epaphum, ô Iouis fili,
Vocaui, vocaui
Barbara voce.
Io barbaris precibus
Veni, veni in hanc terram,
Tibi eam poſteri conditam coluerunt,
Vbi deæ binomines,
Proſerpina, & amica
Ceres dea, omnium
„ Domina (omni-
um enim tellus eſt altrix)
Habitarunt, mitte igniferas
Deas ad opem ferendam huic terræ.
„ Omnia enim facilia ſunt diis.

Eteocles.

Vade tu, & adduc Menœcei filium,
Creontem, fratrem meæ matris Iocaſtæ,
Dicens hæc, quod de priuata & publica ſalute terræ
Velim cum ipſo conferre conſilia,
Priusquam veniamus in pugnam, & ad aciem.
Atqui pedum tuorum labore liberat te præſens:
Video enim ipſum venientem ad domum meam.

Cre. Profecto multa loca perãbulaui videre te cupiens ô rex
Eteocles. Vndique autem portas Cadmæorum
Et cuſtodes acceſſi, te quærens.

Eteo. Atqui ego volebam te videre ô Creon.
Omnino enim inueni inutiles reconciliationes,
Poſtquam in colloquium veni cum Polynice.

Cre. Audiui ipſum maius quiddã cogitare, q̃ Thebas,
Affinitateque Adraſti, & exercitu fretum confidere.
„ Verũ oportet iſta deorũ arbitrio ꝑmittere. [dicturus.
Quæ vero *nobis* impedimẽto ſunt maxime, hæc venio

Eteo. Qualia ſunt iſta? non intelligo enim tuum dictum.

Cre. Venit captiuus quiſpiam ab Argiuis.

Digitized by Google

Eteo. Dicit ne aliquid noui de rebus quæ ibi ſunt?
Cre. Quod vndique circum turres Thebanam ciuitatem
Statim armis circumdaturus ſit Argiuorum exercitus.
Eteo. Sũt igitur vrbi Cadmæorũ efferẽda arma. [te videre?
Cre. Quo? nũ iuueniliter ferociens, nõ vides quæ oportebat
Eteo. Extra foſſas iſtas, quod pugnaturi ſimus cito.
Cre. Exigua eſt multitudo huius agri, illi vero ſunt innu-
Eteo. Scio illos feroces eſſe verbis. [meri.
Cre. Habet aliquas vires apud Græcos Argos.
Eteo. Confide, cito implebo campos eorum cæde,
Cre. Velim equidem, ſed hoc video magni laboris.
Eteo. Scito quod non continebo copias intra mœnia.
Cre. Atqui tota victoria pendet a conſilio.
Eteo. Vis igitur vt me conuertam ad alias aliquas vias?
Cre. Ad oẽs potius priusquã ad periculũ ſemel venias.
Eteo. Quod ſi noctu impetum faciamus in eos ex inſidiis?
Cre. Si vero euẽtu ſperato excidas, huc ſaluus redibis iterũ.
Eteo. Nox pariter commoda vtriſque, ſed audenti magis.
Cre. Rex atrox eſt, in periculum incidere noctis in tenebris.
Eteo. Verum dum cœnabunt, in eos impetum faciam?
Cre. Terrorem tantum feres: oportet autem vincere.
Eteo. Vadum vero Dircæum profundũ eſt ad redeundum.
Cre. Omnia ſunt deteriora, quã cuſtodire recte *ciuitatem*.
Eteo. Quid vero ſi equitatu adoriamur exercitũ Argiuorũ?
Cre. Et ibi exercitus curribus vndique ſeptus eſt.
Eteo. Quid igitur faciam? an dedam vrbem hoſti?
Cre. Nequaquam: ſed delibera, ſi quidem es ſapiens.
Eteo. Quod igitur conſilium erit ſapientius?
Cre. Aiũt apud hoſtes *eſſe* ſeptẽ viros, vt ego audiui. [vires.
Eteo. Quid *aiũt illis* eſſe mãdatũ vt faciãt? iſtę.n. exiguę ſunt
Cre. Præeſſe certis cohortibus, vt inuadant ſeptem portas.
Eteo. Quid igitur faciemus? deſperationẽ. n. non expectabo.
Cre. Et tu ad portas ſeptem viros aduerſus eos elige.
Eteo. Vt præſint copiis, an vt ſint ſoli?
Cre. *Vt ĩperẽt* cohortibus, delectis *iis*, q *ſint ciuiũ* fortiſſimi.
Eteo. Intelligo. vt prohibeant murorum aſcenſum.
Cre. Et ducibus ſocios addas. vnus .n. vir non omnia videt.
Eteo. Secundũ audaciam eligens, an ſecundũ prudentiam?
Cre. Vtrunq; ſpectabis. nam alterutrum ſolum nihil valet,
Eteo. Fiẽt hęc *ita*. ꝓfect⁹.n. in vrbẽ ſeptẽ habentẽ portas,
Ordi-

Digitized by Google

ἐτεο. Αἰγλ ἢ δή τι τῶν ἐκεῖ νεώτερον;
κρέ. Μέλλων πέριξ πύργοισι Καδμείων πόλιν
Ὅπλοις ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.
ἐτεο. Εξοιστέον τ' ἄρ' ὅπλα Καδμείων πόλει.
κρέ. Ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρή σ' ὁρᾶν;
ἐτεο. Εκτὸς τάφρων τῶνδ', ὡς μαχουμένους τάχα.
κρέ. Σμικρὸν τὸ πλῆθος τῆσδε γῆς. οἱ δ' ἄφθονοι.
ἐτεο. Εγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
κρέ. Ἔχει τιν' ὄγκον Ἄργος Ἑλλήνων πάρα.
ἐτεο. Θάρσει. τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.
κρέ. Θέλοιμ' ἄν. ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
ἐτεο. Ἴσθι ὡς οὐ καθέξω τειχέων εἴσω στρατόν.
κρέ. [redacted]
ἐτεο. Βούλει τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;
κρέ. Πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
ἐτεο. Εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
κρέ. Εἴπερ σφαλεῖς γε, δεῦρο σωθήσῃ πάλιν.
ἐτεο. Ἶσον φέρει νύξ. τοῖς δὲ τολμῶσι, πλέον.
κρέ. Ενδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
ἐτεο. Ἀλλ' ἀμφὶ δεῖπνον οὖσι, προσβάλω δόρυ;
κρέ. Ἔκπληξις ἂν γένοιτο. νικῆσαι δὲ δεῖ.
ἐτεο. Βαθὺς δέ τοι διρκαῖος ἀναχωρεῖν πόρος.
κρέ. Ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ἐτεο. Τί δ' εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
κρέ. Κἀκεῖ πέφρακται λαὸς ἅρμασι πέριξ.
ἐτεο. Τί δῆτα δράσω; πολεμίοις δώσω πόλιν;
κρέ. Μὴ δῆτα. βουλεύου δ', ἐπείπερ εἶ σοφός.
ἐτεο. Τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;
κρέ. Ἑπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ.
ἐτεο. Τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
κρέ. Λόχων ἀνάσσειν, ἑπτὰ προσκεῖσθαι πύλαις.
ἐτεο. Τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
κρέ. Ἑπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
ἐτεο. Λόχων ἀνάσσειν, ἢ μονοσπόλους δορός;
κρέ. Λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
ἐτεο. Ξυνῆκ'. ἀμύνειν τειχέων προσαμβάσεις.
κρέ. Καὶ ξυστρατηγούς. Εἰς δ' [redacted]
ἐτεο. Θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
κρέ. Ἀμφότερον, ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
ἐτεο. Ἔσται τάδ'. ἐλθὼν δ' ἑπτάπυλον ἐς πόλιν,

Τάξω

Τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
Ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
Ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
Ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσι καθημένων.
Ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
Καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
Καὶ ξυσταθέντα, διὰ μάχης ἑλεῖν δορὶ,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Γάμους τ' ἀδελφῆς Ἀντιγόνης, παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
Σοὶ χρὴ μέλεσθαι. τὴν δόσιν τ' ἐχέγγυον
Τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
Ματρὸς δ' ἀδελ[redacted]
Τρέφ' ἀξίως νιν, σοῦ τε τὴν τ' ἐμὴν χάριν.
Πατὴρ δ' ἐς αὑτὸν ἀμαθίαν ὀφλισκάνει,
Ὄψιν τυφλώσας. οὐκ ἄγαν σφ' ἐπῄνεσα·
Ἡμᾶς δ' ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
Ἓν δ' ἡμῖν ἀργὸν ἐστὶν, εἴ τι θέσφατον
Οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
Τοῦδ' ἐκπυθέσθαι ταῦτ'. ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
Λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον.
Σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται.
Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
Ἤδη πρὸς αὐτὸν, ὥστε μοι μομφὰς ἔχειν.
Πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον.
Ἢν περ κρατήσῃ τἀμὰ, Πολυνείκους νέκυν
Μήποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί.
Θνῄσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
Σοὶ μὲν τάδ' αὐδῶ. προσπόλοις δ' ἐμοῖς λέγω,
Ἐκφέρετε τεύχη, πάνοπλά τ' ἀμφιβλήματα,
Ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
Ὁρμώμεθ' ἤδη ξὺν δίκῃ νικηφόρῳ.
Τῇ δ' εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
Προσευχόμεσθα, τήνδε διασώζειν πόλιν.

ΕΠΩΔΙΚΑ.

[redacted]στροφή.

Ὦ πολύμοχθος Ἄρης, τί ποτ' αἵματι
Καὶ θανάτῳ κατέχῃ, Βρομίου παράμουσος ἑορταῖς;
Οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας,

Βόστρυ-

Ordinabo duces ad portas, vt dicis,
Opponens pares paribus hoſtibus.
Nomina porro ſingulorum recenſere longum ſit,
Cum ſub ipſis muris conſederint hoſtes.
Sed vado, ne ſimus ocioſi manu:
Vtinā vero mihi contingat fratrē habere oppoſitum,
Et cōgredientē *mecum*, in p̄lio vt *ipſum* interficiā haſta,
Et occidam eum, qui venit euerſurus meam patriam,
Et nuptias Antigonæ meæ ſororis, & filii tui
Hæmonis, ſi quid ego fortuna fruſtratus fuero,
Tibi neceſſe eſt curæ eſſe: ſponſionemque firmam,
De qua ante conuenit, nunc facio in exitu meo.
Es frater matris meæ, quid multis verbis opus eſt?
Nutrias eam digne, & mea & tua cauſa.
Pater vero ſuæ ipſe ſtultitiæ fert præmium,
Excæcans ſe, non valde eum laudo:
Et nos ſimul imprecationibus ſuis, ſi exaudiatur, occi-
Vnum omiſimus, ſi quod oraculum [det:
Tireſias vates nobis dicere poſſet,
Id ab eo audire. Ego vero filium tuum
Menœceum, qui nomen idem habet patris tui,
Mittam vt accerſat huc Tireſiam, ô Creon:
Tecum enim lubens in colloquium veniet.
Ego enim artem diuinandi vituperaui
Iam coram ipſo, ita vt mihi ſuccenſeat.
Vrbi vero & tibi hæc mando ô Creon,
Si ego vicero, cadauer Polynicis
Ne vnquam ſepeliri patiaris in hac terra Thebana:
Sed vt moriatur q̄ id ſpelierit, etiāſi ſit aliquis amicus.
Tibi quidem hæc dico. Sed miniſtris meis dico.
Efferte arma, ferreaque indumenta,
Vt in pugnam propoſitam belli
Tendamus iam cum vindicta victrice:
Et Cautionem, quæ eſt vtiliſſima Dearum,
Oremus, vt ſeruet hanc vrbem,

EPODICA.

Strophe.

Ch. 1 O ærumnoſe Mars, quare ſanguine,
2 Et morte delectaris, a Bacchi feſtis diſſone, *ac aliene?*
3 Cur non inter pulchrichoras, *chorumq; decentes*, coro-
nas puellę viro maturæ, O 4 Cin-

4 Cincinnum pandens, tibiæ per flatus ſuauiter canis
5 Carmen *aliquod*, in quo *ſint* gratiæ lætificæ?
6 Sed cum armatis, exercitum Argiuorum incitans
7 Cũ ſanguine cõtra Thebas, ſaltatiõnẽ incõcinnã p̃ſilis?
8 Neque cum thyrſigero, *Bacchicoque choro*, ceruinis pellibus indutus tripudias?
9 *Sed* curribus, & frænis quadrupedum equorum ſolidis vngulis præditorum,
10 Iſmeni ad flumina vadens
11 Equitationibus curris, Argiuos incitans,
12 *Et* ſatorum genus ſcutiferum,
13 Chorum armatum, aduerſarium ad
14 Lapidea mœnia ferro ornans.
15 Certe atrox quædam eſt dea Diſcordia, quæ hæc
16 Excogitauit mala regibus terræ huius,
17 Labdacidis miſeris.

Antiſtrophe.

1 O admirandarum frondium, & abundantiſſimum fe-
2 ris nemus, Dianæ niuoſe ocule Cithæron,
3 Nunquam morti deſtinatum filium Iocaſtæ,
4 Debueras Oedipum alere infantem eiectum domo.
5 Aureis fibulis inſignem,
6 Neq; virgineũ alatũ, mõtanũ mõſtrũ venire *debuerat*,
7 Luct' terrę, Sphingis, maxime incõcinnis cũ carminib.
8 Quæ quondam Cadmi, quadrupedibus vngulis,
9 Mœnib. apꝓpinquãs, tulit ætheris in inacceſſũ lumẽ,
10 Prolem: quam *ſphingem* infernus
11 Pluto Cadmeis immiſit.
12 Infelix vero lis
13 Alia oritur liberorum Oedipi in ædibus, & vrbe.
„ 14 Quod enim honeſtum nõ eſt, nunquã fiet honeſtum,
„ 15 Neque illegitimi liberi,
„ 16 Matris partus, piaculum patris, *honeſti cenſeri poterunt*.
17 Hæc enim conſanguineum in lectum venit.

Epodus.

1 Genuiſti ô terra, genuiſti quondam,
2 Barbaram vt famã audiui, audiui quondã in ædibus,
3 A feris nutrito, rubram habente criſtã dracone *ortum*
4 Genus ex dentibus natũ, Thebis pulcherrimũ decus.
5 Harmoniæ vero olim ad nuptias

6 Vene-

4 Βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπῃ
5 Μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί;
6 Ἀλλὰ σὺν ὁπλοφόροις, στρατὸν Ἀργείων ἐπιπνεύσας
7 Αἵματι Θήβας, κῶμον ἀναυλότατον προχορεύεις.
8 Οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα
δινεύεις,
9 Ἅρμασι καὶ ψαλίοις τετραβάμοσι μώνυχα
πῶλον,
10 Ἰσμηνοῦ δ' ἐπὶ χεύμασι βαίνων,
11 Ἱππείαισι θοάζεις, Ἀργείοις ἐπιπνεύσας
12 Σπαρτῶν γένναν ἀσπιδοφέρμονα,
13 Θίασον ἔνοπλον, ἀντίπαλον κατὰ
14 Λάϊνα τείχεα χαλκῷ κοσμήσας.
15 Ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
16 Μήσατο πήματα γᾶς βασιλεῦσι,
17 Λαβδακίδαις πολυμόχθοις.

Ἀντιστροφή.

1 Ὦ ζαθέων πετάλων πολυθηρότα-
2 τον νάπος, Ἀρτέμιδος χιονότροφον ὄμμα Κιθαιρὼν,
3 Μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ' Ἰοκάστης,
4 Ὤφελες Οἰδίποδα θρέψαι βρέφος ἔκβολον οἴκων,
5 Χρυσοδέτοις περόναις ἐπίσαμον,
6 Μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας ἐλθεῖν,
7 Πένθεα γαίας, Σφιγγὸς ἀμουσοτάταισι σὺν ᾠδαῖς
8 Ἅ ποτε Καδμογενῆ, τετραβάμοσι χηλαῖς
9 Τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον φῶς
10 Γένναν, ἃν ὁ κατὰ χθονὸς
11 Ἀΐδας Καδμείοις ἐπιπέμπει.
12 Δυσδαίμων δ' ἔρις
13 Ἄλλα θάλλει παίδων Οἰδίποδος κατὰ δώματα καὶ πόλιν.
,, 14 Οὐ γὰρ ὃ μὴ καλὸν, οὔποτ' ἔφυ καλὸν,
,, 15 Οὐδ' οἱ μὴ νόμιμοι παῖδες,
,, 16 Ματρὶ λόχευμα, μίασμα πατρὸς,
17 Ἡ δὲ σύναιμον εἰς λέχος ἦλθεν.

Ἐπῳδός.

1 Ἔτεκες ὦ γᾶ, ἔτεκές ποτε,
2 Βάρβαρον ὡς ἀκοὰν ἐδάην ἐδάην ποτ' ἐν οἴκοις,
3 Τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
4 Γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος.
5 Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους

Ἦλθον ὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας,
Τᾶς Ἀμφιονίας τε λύρας ὕπο, πύργος ἀνέστα
Διδύμων ποταμῶν, πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον
Πρόπαρ Ἰσμηνοῦ καταδεύει.
Ἰώ θ', ἁ κερόεσσα προμάτωρ.
Καδμείων βασιλῆας ἐγείνατο.
Μυριάδας δ' ἀγαθῶν
Ἑτέρας ἑτέροις μεταμειβομένα,
Πόλις ἅδ' ἐπ' ἄκροις
Ἕστακ' Ἀρηΐοις στεφάνοισιν.

ΙΑΜΒΟΙ.

τι. Ἡγοῦ πάροιθε θύγατερ, ὡς τυφλῷ ποδὶ
Ὀφθαλμὸς εἶ σὺ, ναυβάταισιν ἄστρον ὥς.
Δεῦρ' εἰς τὸ λευρὸν πεδίον ἴχνος τιθεῖσ' ἐμὸν,
Πρόβαινε, μὴ σφαλῶμεν. ἀσθενὴς πατήρ.
Κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,
Οὓς ἔλαβον οἰωνίσματ' ὀρνίθων μαθὼν,
Θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
Τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι,
Πόση τις ἡ 'πίλοιπος ἄστεος ὁδὸς
Πρὸς πατέρα τὸν σόν; ὡς τοὐμὸν κάμνει γόνυ.
Πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.
κρέ. Θάρσει. πέλας γὰρ Τειρεσία, φίλοισι σοῖς
Ἐξώρμισαι σὸν πόδα. λαβοῦ δ' αὐτοῦ τέκνον.
,, Ὡς πᾶσ' ἀπήνη, πούς τε πρεσβύτου, φιλεῖ
,, Χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
τι. Εἶεν, πάρεσμεν. τί με καλεῖς σπουδῇ Κρέον;
κρέ. Οὔπω λελήσμεθ'. ἀλλὰ σύλλεξαι σθένος,
Καὶ πνεῦμ' ἄθροισον, κἄπος ἐκβαλὼν ὁδοῦ.
τι. Κόπῳ παρεῖμαι γοῦν Ἐρεχθειδῶν ἄπο
Δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας.
Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς,
Οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγὼ,
Καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
Λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
κρέ. Οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη.
Ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σὺ,
Δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
Βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις

Ἠδ

Venerunt cęleſtes dii. citharaq; mœnia Thebarũ,
Amphionicaque a lyra, turris ſurrexit
Geminorum fluminum, vadum circa medium
Dirces, virides herbas alentem quæ campum
Ante Iſmenum rigat.
Ioque cornigera auia,
Cadmeorum reges genuit.
Innumeraque bona
Alia aliis permutans,
Vrbs hæc in ſummis
Stetit martiis ornamentis.

Tireſias.

Ducito vlterius filia (quia cæco pedi
Tu es oculus, ſicut ſtella nautis)
Huc in planum campum veſtigium ponens meum.
Præcedito, ne impingamus, imbecillis eſt pater tuus.
Serua mihi tabellas ſortium virginea manu,
Quas accepi ſeruans auguria auium,
In ſacris ſedibus, vbi vaticinor.
O fili Menœcei, nate Creontis, dic mihi,
Quam longa eſt reliqua vrbis via,
Ad tuum patrem? quia genu meum defatigatũ eſt:
Crebrũ enim incedẽs greſſum, ægre cõficio *longũ iter.*

Cre. Confide, prope enim ades ô Tireſia, ad amicos tuos
Applica pedem tuum, teneas eum fili:
Quia omnis currus, & pes ſenis, ſolet
,, Manus externæ expectare leuamina.

Ti. ,, Sit ita, adſumus. quid vocas me tam celeriter Creon?

Cre. Nondum obliti ſumus, ſed collige robur,
Et ſpiritũ collige, eiiciẽs ãhelationẽ q̃ cõtraxiſti in via.

Ti. Magno labore adſum ab Athenienſibus,
Huc deductus ſuperiori die.
Nam & illic quoddã erat bellum contra Eumolpum,
Cuius glorioſos victores ego Athenienſes feci,
Et hanc auream coronam, quam vides, habeo,
Accipiens primitias ſpoliorum hoſtilium.

Cre. Duco eſſe bonum ſignũ victricem tuam coronã.
In magna enim procella poſiti ſumus, ſicut ſcis,
Belli Danai, & magnum certamen eſt Thebis.
Rex quidem abiit ornatus armis,

Iam ad pugnam Eteocles Argiuam:
Et mihi mandauit, vt audiam ex te,
Quid facientes, maximè ſeruemus vrbem.
Tir. Eteoclis quidem cauſa clauſo ore
Reticerẽ oracula: tibi vero quandoquidem vis audire,
Dicam. Laborat enim hæc terra iam pridem ô Creon,
Ex quo Laius ſuſcepit liberos inuitis diis,
Et genuit maritum matri miſerum Oedipum,
Illæque cruentæ oculorum lacerationes
Deorum *ſunt* documentum, & exemplum Græciæ.
Quæ occultare filii Oedipi longo tempore
Volentes, tanquam effugituri Deos,
Errauerunt ſtultè: neque enim honorem patri,
Neque liberum exitum dantes, hominem miſerum
Irritauerunt: edidit enim in eos imprecationes
Diras, languens, & præterea ignominia affectus.
Propter quæ ego quid non faciẽs, quid ve nõ dicẽs,
Veni in odium filiorum Oedipi?
Prope aũt adeſt mors ipſorũ manibus ventura ipſis, ô
Multi vero mortui iuxta mortuos lapſi, [Creon,
Argiua & Thebana miſcentes tela,
Acerbum dabunt luctum terræ Thebanæ.
Tu vero ô miſera vrbs ſimul euerteris,
Niſi ſermonibus meis aliquis obtemperauerit.
Nam illud quidem primum erat, ex filiis Oedipi
Neminem ciuem, neque regem eſſe terræ:
Quod malis agitentur geniis, & euerſuri ſint vrbẽ.
„ Poſtquam autem malum potentius fuit bono,
Vna reſtat alia ratio ſalutis:
Sed (non enim eſt mihi tutum hoc dicere,
„ Acerbumque eſt hanc fortunam habentibus,
„ Vrbi exhibere pharmacum ſalutis)
Abeo, valete. ſolus enim cum multis,
Quod futurum eſt, ſi oportet, patiar: quid enim patiar?
Cre. Expecta hic ſenex. *Tir.* Ne me præhendas.
Cre. Mane: quid fugis? *Tir.* Fortuna te fugit, non ego.
Cre. Dicito ſalutem ciuibus & vrbi.
Tir. Tu *modo* quidem vis: ſed mox non voles.
Cre. Quomodo vero non volo ſeruare terram patriam?
Tir. Vis igitut audire, & *rem ſcire* ſtudes?

Cre.

Ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς μυκηνίδα.
Ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρος,
Τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.
τει. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλείσας στόμα,
Χρησμοὺς ἐπέσχον. σοὶ δ', ἐπεὶ χρήζεις μαθεῖν,
Λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
Ἐξ οὗ 'τεκνώθη Λάϊος βίᾳ θεῶν,
Πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν.
Αἵ θ' αἱματωποὶ δεργμάτων διαφοραὶ,
Θεῶν σόφισμα, κἀπίδειξις Ἑλλάδι.
Ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
Χρήζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
Ἥμαρτον ἀμαθῶς. οὔτε γὰρ γέρας πατρὶ,
Οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
Ἐξηγρίωσαν. ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
Δεινάς, νοσῶν τε, καὶ πρὸς ἠτιμασμένος.
Ἁγὼ τί οὐ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη,
Εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
Ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον.
Πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες,
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη,
Πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
Σύ τ' ὦ τάλαινα συγκατασκάπτῃ πόλι,
Εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
Ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
Μηδένα πολίτην μήδ' ἄνακτ' εἶναι χθονός,
Ὡς δαιμονῶντας κἀνατρέψαντας πόλιν.
„ Ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
Μί' ἐστιν ἄλλη μηχανὴ σωτηρίας.
Ἀλλ', οὐ γὰρ εἰπεῖν οὔτ' ἐμοὶ τόδ' ἀσφαλὲς,
„ Πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις,
„ Πόλει παρασχεῖν φάρμακον σωτηρίας,
Ἄπειμι, χαίρεθ'. εἷς γὰρ ὢν, πολλῶν μέτα
Τὸ μέλλον εἰ χρὴ πείσομαι. τί γὰρ πάθω;
κρέ. Ἐπίσχες αὐτοῦ πρέσβυ. Τ. μὴ 'πιλαμβάνου.
κρέ. Μεῖνον. τί φεύγεις; Τ. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
κρέ. Φράσον πολίταις, καὶ πόλει σωτηρίαν.
τει. Βούλει σὺ μέν τοι, κοὐχὶ βουλήσῃ τάχα.
κρέ. Καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
τει. Θέλεις ἀκοῦσαι δῆτα, καὶ σπουδὴν ἔχεις;

Digitized by Google

κρέ. Εἰς γὰρ τί μ' ἄλλο δεῖ προθυμίαν ἔχειν;
τει. Κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
Πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
Ποῦ 'στι Μενοικεύς, ὅς με δεῦρ' ἐπήγαγεν.
κρέ. Ὅδ' οὐ μακρὰν ἄπεστι. πλησίον δέ σου.
τει. Ἀπελθέτω νῦν θεσφάτων ἐμῶν ἑκάς.
κρέ. Ἐμὸς πεφυκὼς παῖς, ἃ δεῖ σιγήσεται.
τει. Βούλει παρόντος δῆτά σοι τοῦτο φράσω;
κρέ. Κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
τει. Ἄκουε δὴ νῦν θεσφάτων ἐμῶν ὁδὸν,
Ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
Σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
Σὸν παῖδ', ἐπεὶ δὴ τὴν τύχην αὐτὸς καλεῖς.
κρέ. Τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
τει. Ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
κρέ. Ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
τει. Σοί γ', ἀλλὰ πατρίδι μεγάλα, καὶ σωτήρια.
κρέ. Οὐκ ἔκλυον, οὐκ ἤκουσα, χαιρέτω πόλις.
τει. Ἀνὴρ ὅδ' οὐκ ἔτ' αὐτὸς ἐκνεύει πάλιν.
κρέ. Χαίρων ἴθ'. οὐ γὰρ σῶν με δεῖ θεσπισμάτων.
τει. Ἀπόλωλεν ἡ ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς;
κρέ. Ὦ πρός σε γονάτων, καὶ γερασμίου τριχός.
τει. Τί προσπιτνεῖς με, δυσφύλακτ' αἰτῇ κακά.
κρέ. Σίγα. πολίταις τούσδε μὴ λέξῃς λόγους.
τει. Ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαιμ' ἄν.
κρέ. Τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
τει. Ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
κρέ. Ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
τει. Ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν' ἔρχῃ λόγων.
Δεῖ τόνδε θαλάμοις, οὗ δράκων ὁ γηγενὴς
Ἐγένετο, Δίρκης ναμάτων ἐπίσκοπος,
Σφαγέντα, φόνιον αἷμα γῇ δοῦναι χοὰς,
Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
Ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
Καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσεσθ' Ἄρην.
Χθὼν δ' ἀντὶ καρποῦ καρπὸν, ἀντί θ' αἵματος
Αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
Γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
Σπαρτῶν ἀνῆκεν ἐκ γένους δὲ δεῖ θανεῖν
Τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.

Σὺ δ'

Cre. Ad q̃d.n. aliud *audiendũ* me *maiorẽ* promptitudinem
Tir. Audies igitur iam mea oracula, [oportet habere?
Sed prius hoc certo cognoſcere volo,
Vbi nam ſit Menœceus,qui me huc adduxit:
Cre. Ille non procul abeſt,prope vero te aſtat.
Tir. Abeat nunc procul a meis oraculis.
Cre. Filius ex me natus,tacebit quæ oportebit.
Tir. Vis igitur vt eo præſente tibi hoc dicam?
Cre. Audiens enim voluptatem capiet ex re tam ſalutari.
Tir. Audi igitur nunc oraculorum meorum viam.
Quæ facientes ſeruabitis Cadmeorum vrbem.
Mactari a te Menœcea hunc oportet pro patria,
Filium tuum: quandoquidẽ hãc fortunã ipſe accerſis.
Cre. Quid ais? cuiusmodi ſermonem hunc dixiſti, ô ſenex?
Tir. Vt res ferunt,ſic oportet te facere.
Cre. O quam multa mala paruo tempore dixiſti.
Tir. Tibi quidem:ſed patriæ magna,& ſalutaria.
Cre. Non percepi,non intellexi,valeat vrbs.
Tir. Vir iſte nõ amplius idẽ *eſt*; *ſed* ſentẽtiã retractat iterũ.
Cre. Lætus abi. nihil enim opus eſt mihi tuis oraculis.
Tir. Num veritas *ideo* periit, quia tu infelix es?
Cre. Oro te per genua & per venerandam caniciem,
Tir. Quare mihi ſupplicas? ineuitabilia poſtulas mala.
Cre. Tace, ne dicas ciuibus hunc ſermonem.
Tir. Iubes me iniuſta facere? non tacebo.
Cre. Quid igitur facies mihi? occides meum filium?
Tir. Aliis hoc curæ erit,ego vero dicam.
Cre. Vnde vero hoc malum venit mihi & filio?
Tir. Recte me interrogas, & in certamen venis verborum.
Oportet iſtum in ipſo ſpecu, vbi draco terrigena
Fuit, cuſtos fontis Dirces,
Mactatum, dare letalem ſanguinem inferias terrę,
Propter veterem iram Martis contra Cadmum,
Qui terrigenæ draconis vlciſcitur cædem.
Et hæc facientes,habebitis vobis ſocium Martem.
Terra vero pro fructu fructum,& pro ſanguine
Sanguinem ſi acceperit humanũ,habebitis ꝓpitiã
Terram, quæ quondam vobis galeatam ſpicam
Satorum edidit:oportet enim mori aliquem ex genere
Hoc,qui natus ſit filius ex maxilla draconis.

Tu

Digitized by Google

Tu vero hic nobis reliquus es ex ſatorum genere,
Integer,& ex matre, & ex maribus, *i. patre*,
Tuique liberi. Hæmonis enim nuptiæ
Cædem *ipſius* prohibent:non enim eſt cælebs,
Quamuis enim non attigerit lectũ, tamẽ habet lectũ.
Iſte vero iuuenis huic relictus vrbi,
Si moriatur,patriam terram ſeruabit.
Acerbum vero reditum Adraſto, cæteriſque Argiuis
Faciet,triſte fatum oculis obiiciens:
Et inclytas faciet Thebas.ex duab.igitur ſortibus eſige
Alterã.aut enim filiũ ſerua, aut vrbẽ. [duc filia
Quę igitur a nobis *dici poterãt*, oĩa habes. *Quãobrẽ me*
„ Ad domum. Quicunq; enim vtitur diuinandi arte,
„ Stultus eſt. Etenim ſi forte dixerit inimica,
„ Acerbus eſt iis,quibus vaticinatur:
„ Dicens vero falſa propter cõmiſerationẽ conſulẽtium,
„ Violat deorum iura. ſolum Phœbum hominib.
„ Oportebat vaticinari,qui neminem timet.
Cho. Creon, quid taces, remittens vocem non ſonantem?
Etenim mihi non minus quàm tibi ſtupor adeſt.
Cre. Quid enim dicat aliqs? manifeſta eſt hæc mihi oratio.
Ego enim nunquam eo veniam calamitatis,
Vt cæſum filium proponam ciuitati.
„ Omnibus enim hominibus eſt amans liberorum vita.
„ Neq; aliquis ſuum ipſius filiũ dederit ad interficiẽdũ.
„ Non laudet me quiſquam, occidens meos liberos.
Ipſe vero (ſum enim in matura vita)
„ Paratus ſum mori, patriæ piaculum.
Verum age fili,priuſquam reſciſcat tota ciuitas,
Sinens immoderata oracula vatum,
Fuge quam celerrime cedens ex hoc agro.
Dicet enim principibus,& ducibus hæc,
Vadens ad ſeptem portas,& ad duces.
Et ſi anteuerterimus,ſeruaberis:
Si vero cunctatus fueris,perimus,occideris.
Me. Quo fugiã igitur,ad quam ciuitatẽ? ad quẽ hoſpitem?
Cre. Vbi q̃ longiſſime ab hac terra abſis. [perata facere.
Me. Ergo te dicere cõuenit, *quonã ſim abiturus*, me vero im
Cre. Fugito in Delphos trãſiẽs. *M.* Quonã me ꝑ oportet ire?
Cre. In terram Ætolorum. *M.* Ex illa vero quo fugiam?

Cre.

Σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους,
Ἀκέραιος, ἔκ τε μητρὸς, ἀρσένων τ' ἄπο,
Οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
Σφαγὰς ἀπείργουσ', οὐ γάρ ἐστιν ἠΐθεος.
Κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.
Οὗτος δὲ πῶλος τῇδ' ἀνειμένος πόλει,
Θανὼν, πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
Πικρὸν δ' Ἀδράστῳ νόστον, Ἀργείοισί τε
Θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασι βαλὼν,
Κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
Τὸν ἕτερον. ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
Τὰ μὲν παρ' ἡμῶν, πάντ' ἔχεις. ἡγοῦ τέκνον
„ Πρὸς οἶκον. Ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
„ Μάταιος. ἢν μὲν γὰρ ἐχθρὰ σημήνας τύχῃ,
„ Πικρὸς καθέστηχ' οἷς ἂν οἰωνοσκοπῇ.
„ Ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
„ Ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
„ Χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
χο. Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
Κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.
κρέ. Τί δ' ἄν τις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
Ἐγὼ γὰρ οὔποτ' εἰς τόδ' εἶμι συμφορᾶς,
Ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
„ Πᾶσι γὰρ ἀνθρώποισι φιλότεκνος βίος.
„ Οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
„ Μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
Αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ.
Θνήσκειν ἕτοιμός εἰμι, πατρίδος ἐκλυτήριον.
Ἀλλ' εἶα τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
Ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
Φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός.
Λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
Πύλας ἐφ' ἑπτὰ, καὶ λοχαγέταις μολών.
Κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία.
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
με. Ποῖ δῆτα φεύγω; τίνα πόλιν, τίνα ξένων;
κρέ. Ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.
με. Οὐκοῦν σε φράζειν εἰκὸς, ἐκπονεῖν δ' ἐμέ.
κρέ. Δελφοὺς περάσας, φεῦγε. Μ. ποῖ με χρὴ πάτερ μολεῖν;
κρέ. Αἰτωλίδ' ἐς γῆν. Μ. ἐκ δὲ τῆσδε, ποῖ περῶ;

κρέ.

κρέ. Θεσπρωτὸν οὖδας. Μ. σεμνὰ Δωδώνης βάθρα;
κρέ. Ἔγνως. Μ. τί δῆτ᾽ ἔρυμά μοι γενήσεται;
κρέ. Πόμπιμος ὁ δαίμων. Μ. χρημάτων δὲ τίς πόρος;
κρέ. Ἐγὼ πορεύσω χρυσόν. Μ. εὖ λέγεις πάτερ.
κρέ. Χώρει νυν. Μ. ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
Ἧς πρῶτα μαστὸν εἵλκυσ᾽, Ἰοκάστης λέγω,
Ματρὸς στερηθεὶς, ὀρφανός τ᾽ ἀποζυγείς,
Προσηγορήσων εἶμι, καὶ σώσων πόλιν.
κρέ. Ἀλλ᾽ εἶα, χώρει, μὴ τὸ σὸν κωλυέτω.
με. Γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
Κλέψας λόγοισιν, ὥσθ᾽ ἃ βούλομαι τυχεῖν.
Ὃς ἐκκομίζει πόλεως, ἀποστερῶν τύχης,
Καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
Γέροντι, τοὐμὸν δ᾽ οὐχὶ συγγνώμην ἔχει,
Προδότην γενέσθαι πατρίδος, ἥ μ᾽ ἐγείνατο.
Ὡς οὖν ἂν εἰδῆτ᾽, εἶμι, καὶ σώσω πόλιν.
Ψυχὴν δὲ δώσω τῆσδ᾽ ὑπερθανεῖν χθονός.
,, Αἰσχρὸν γὰρ εἰ μὲν θεσφάτων ἐλεύθεροι,
,, Κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
,, Στάντες παρ᾽ ἀσπίδ᾽ οὐκ ὀκνήσουσι θανεῖν,
,, Πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ,
,, Ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς,
,, Πόλιν τ᾽ ἐμαυτοῦ, δειλὸς ὣς, ἔξω χθονὸς
,, Ἄπειμ᾽. ὅπου δ᾽ ἂν ζῶ, κακὸς φανήσομαι;
Μὰ τὸν μετ᾽ ἄστρων Ζῆν᾽, Ἄρη τε φόνιον,
Ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
Σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
Ἀλλ᾽ εἶμι. καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
Σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
Δράκοντος, ἔνθ᾽ ὁ μάντις ἐξηγήσατο,
Ἐλευθερώσω γαῖαν. εἴρηται λόγος.
Στείχω δὲ, θανάτου δῶρον οὐκ αἰσχρὸν πόλει
Δώσων, νόσου δὲ τήνδ᾽ ἀπαλλάξω χθόνα.
,, Εἰ γὰρ λαβὼν ἕκαστος ὅ,τι δύναιτό τις
,, Χρηστὸν, διέλθοι τοῦτο, κεἰς κοινὸν φέροι
,, Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
,, Πειρώμεναι, τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

χο. 1 Ἔβας ἔβας ὦ πτερόεσσα, γᾶς λόχευμα

2 Νερ-

Cre. Ad ſolũ. Theſprotiorũ. *M.* Religioſam ad ſedẽ Dodonę
Cre. Scis. *M.* quod vero tutamen mihi erit?
Cre. Deus te comitabitur. *M.* Vnde vero erit copia pecu-[niæ?
Cre. Ego præbebo aurum. *M.* Bene dicis pater.
Cre. Vade nunc. *M.* Vadens ad tuam ſororem,
Cuius primum vbera traxi, Iocaſten dico,
Cum eſſem priuatus matre, & auulſus ab ea orphanus
Tanquã ſalutaturus vado, & vrbem ſeruaturus.
Cre. Sed age, abi, neq; ad te attinet, tibi ipſi ſis impedimẽto.
Me. O mulieres, quam bene patri exemi metum,
Decipiens eum verbis, vt conſequerer, quæ volo:
Qui ablegat me ex vrbe, priuans iſta ſorte,
Et ignauiæ proſtituit: Sed ignoſcendum eſt
Seni: res vero mea non meretur veniam,
Proditorem eſſe patriæ, quæ me genuit.
Vt igitur ſciatis, vadam & ſeruabo vrbem,
Animamque dabo, vt moriatur pro hac terra.
„ Turpe enim eſt, ſi liberi quidem ab oraculis,
„ Et non impulſi neceſſitate diuinitus,
„ Stantes ad clypeos, non detrectent mori,
„ Pugnantes pro patria ante turres:
„ Ego vero patrem & fratrem prodens,
„ Et vrbem meam, tanquam timidus ex terra
Diſcedam: vbicunque enim vixero, videbor ignauus.
Nõ per Iouem, qui eſt in aſtris, & Martẽ cædiũ autorẽ,
Qui exortos e terra quondam
Satos reges huius terræ conſtituit.
Sed abibo, & ſtans in murorum pinnis ſummis
Interficiens me ipſum ad atrum ſpecum
Draconis, vbi vates dixit,
Liberabo terram: dicta eſt ſententia.
Vado autem, donum mortis non turpe vrbi
Daturus, liberabo autem patriam ab hoc malo.
„ Si enim accipiens vnusquisque quodcunque poſſit
„ Bonum, hoc perſequatur, & in commune conferat
„ Patriæ: ciuitates minora mala
„ Experientes, in poſterum beatæ eſſent.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Aſcendiſti, aſcendiſti, ô alata, terræ partus,

2 In-

Infernæque Echidnæ, *i. vipera*,
Cadmeorum ad raptum,
Multorum gemituum autor, multis pernicioſa,
Mixta virgo, hoſtile monſtrum,
Impetuoſis alis,
Vnguibusque crudiuoris
Quæ quondam ex Dircæis lo-
cis adoleſcentes e ſolo attol-
lens inconcinno cum carmine,
Et pernicioſis furiis,
Attuliſti, attuliſti dolores patriæ
Cruentos. Cruentus *profecto fuit ille* ex diis,
Quicunque hæc fecit.
Luctus autem matrum,
Luctus etiam virginum
Reſonabant *in* ædibus,
Lugubrem vocem,
Lugubre carmen.
Alius alium lugebat ſucceſſiue per vrbem.
Tonitruo autem luctus,
Clamorique erat ſimilis,
Quoties *ex* vrbe, ex hominum conſpectu abripuiſſet
Alata virgo aliquem virum.

Antiſtrophe.

Tandem vero venit Pythio miſſu
Oedipus miſer
Thebanā *in* hanc terram, [*tus ob alatos ipſis* dolores
Tūc *quidē ciuibus* lubētib. *i. gratus*, poſtea vero *ingra-*
Cum matre enim nuptias infelices miſer,
Præclaram victoriam adeptus
Ænigmatum, contraxit.
Polluit autem vrbem.
Per ſanguinem vero, *cædesq;* verſat,
Execrandum in certamen
Coniiciens imprecationibus
Liberos *ſuos* miſer. Admiramur, admiramur *illum*,
Qui ad mortem abit
Solo pro patrio,
Creonti quidem relinquens luctus:
Sed ſeptem turribus munita clauſtra *huius* agri

Præ-

Νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγά,
Πολύστονος, πολύφθορος,
Μιξοπάρθενος, δάϊον τέρας,
Φοιτάσι πτεροῖς,
Χαλαῖσί τ' ὠμοσίτοις.
Διρκαίων ἅ ποτ' ἐκ τό-
πων νέους πεδαίρου-
σ' ἄλυρον ἀμφὶ μοῦσαν,
Ὀλομέναν τ' Ἐρινὺν
Ἔφερες ἔφερες ἄχεα πατρίδι
Φόνια. φόνιος ἐκ θεῶν,
Ὃς τάδ' ἦν ὁ πράξας.
Ἰάλεμοι δὲ ματέρων,
Ἰάλεμοι δὲ παρθένων
Ἐστέναζον οἴκοις,
Ἤϊον βοάν,
Ἤϊον μέλος.
Ἄλλος ἄλλον ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν.
Βροντᾷ δὲ στεναγμὸς,
Ἰαχά τ' ἦν ὅμοιος,
Ὁπότε πόλεως ἀφανίσειεν
Ἁ πτερωθεῖσα παρθένος τιν' ἀνδρῶν.

Ἀντιστροφή.

Χρόνῳ δ' ἔβα Πυθίαις ἀποστολαῖσιν
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν,
Τότ' ἀσμένοις, πάλιν δ' ἄχη.
Ματρὶ γὰρ γάμους δυσγάμους ὁ τάλας,
Καλλίνικος ὢν
Αἰνιγμάτων, συνάπτει.
Μιαίνει δὲ πόλιν.
Δι' αἱμάτων δ' ἀμείβει
Μυσαρὸν εἰς ἀγῶνα
Καταβαλὼν ἀραῖσι
Τέκνα μέλεος. ἀγάμενθ', ἀγάμεθα,
Ὃς ἐπὶ θάνατον οἴχεται
Γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
Τὰ δ' ἑπτάπυργα κλεῖθρα γᾶς

17 Και-

Καλλίνικοι θήσων.
Γενοίμεθα δ' ὧδε ματέρες,
Γενοίμεθ' εὔτεκνοι φίλαι,
Παλλὰς, ἃ δράκοντος αἷμα λιθόβολον κατειργάσω,
Καδμείαν μέριμναν
Ὁρμήσασ' ἐπ' ἔργον.
Ὅθεν ἐπέσσυτο τάνδε γᾶν
Ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΙΑΜΒΟΙ.

ἄγ. Ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
Ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
Ὠὴ μάλ' αὖθις. διὰ μακροῦ μὲν, ἀλλ' ὅμως
Ἔξελθ', ἄκουσον Οἰδίπου κλεινὴ δάμαρ,
Λήξασ' ὀδυρμῶν, πενθίμων τε δακρύων.
ἰοκ. Ὦ φίλτατ', ἤ που ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
Βέβηκας αἰεὶ, πολεμίων εἴργων βέλη.
Τί μοι ποθ' ἥκεις καινὸν ἀγγέλλων ἔπος;
Τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
ἄγ. Ζῇ. μὴ τρέσῃς τόδ', ὥς σ' ἀπαλλάξω φόβου.
ἰοκ. Τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
ἄγ. Ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
ἰοκ. Ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
ἄγ. Ἀκμήν γ' ἐπ' αὐτήν. ἀλλ' ὁ Καδμείων Ἄρης
Κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
ἰοκ. Ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
Οἶσθ', ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
ἄγ. Ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τέκνων.
ἰοκ. Εὐδαιμονοίης. πῶς γὰρ Ἀργείων δόρυ
Πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
Λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
Ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.
ἄγ. Ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν,
Πύργων ἐπ' ἄκρων στὰς μελάνδετον ξίφος
Λαιμῶν διῆκε, τῆσδε γῆς σωτήριον,
Λόχους ἔνειμεν ἑπτὰ, καὶ λοχαγέτας
Πύλας ἐφ' ἑπτὰ, φύλακας Ἀργείου δορός,
Σὸς παῖς ἐφέδρους. ἱππότας μὲν ἱππόταις
Ἔταξ', ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
Ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς

Ἀλκή.

Præclara victoria inſignia redditurus.
Vtinam autem ſic fiamus matres,
Vtinam fiamus prole fœlices, ô amicæ,
O Pallas, q̃ draconis ſanguinẽ ſaxis ſparſum confeciſti,
Cadmi ſollicitudinem
Impellens ad opus,
Vnde inuaſit hunc agrum
Rapinis dæmonum quædam noxa.

Nuntius.

Heus, quis in portis ædium occurrit?
Aperite, educite Iocaſten ex ædibus.
Heus rurſus: ſero quidem, ſed tamen
Egredere, audi ô inclyta vxor Oedipi,
Sedatis luctibus, & lugubribus lachrymis.

Ioc. O amiciſſime, an venis ferens aliquam calamitatem
De mortuo Eteocle, cui ad clypeum
Adſtas ſemper, arcens tela hoſtium?
Quodnam mihi veniſti nouum nuncians nuncium?
Mortuus ne eſt? an viuit filius meus? indica mihi.

Nun. Viuit, ne metuas hoc, quia liberabo te a metu.

Ioc. Qđo vero ſe habẽt muri, ſeptem portis diſtincti?

Nun. Stant inconcuſſi, nec capta eſt vrbs.

Ioc. Venerunt ne vero ad periculum Argiuæ pugnæ?

Nun. Ad ipſum articulum ventũ eſt. Sed Mars Cadmeus
Superior euaſit Mycenæiſq; haſtis.

Ioc. Vnum dic per deos, ſi quid de Polynice
Scis, quia mihi & hoc curæ eſt, an videat lumen.

Nun. Viuit tibi par liberorum in hunc diem.

Ioc. Sis beatus: quomodo vero Argiuorum copias
A portis depuliſtis incluſi turribus?
Dicito, vt cæcum ſenem domum
Veniens oblectem, hac ſeruata.

Nun. Poſtquam filius Creontis, qui mortuus eſt pro patria,
Turrib. in ſummis ſtãs nigro manubrio munitũ ẽſem
Per guttur transegit huic ſalutarem agto,
Cohortes diſtribuit ſeptem, & cohortium duces
Ad ſeptem portas, cuſtodes Argiui exercitus,
Tuus filius ſpeculatores: equites quidem ad equites
Ordinauit, & pedites ad pedites,
Vt laboranti *parti* murorum eſſet exercitus

P De-

Depulſio. Statim autem arcibus ab arduis
Albis ſcutis decorũ proſpicimus Argiuum exercitum
Telmeſſum deſeruiſſe. & prope foſſam
Curſu attigit vrbem Cadmeę terræ.
Pæan vero, & tubæ ſonuerunt ſimul
Inde, & de mœnibus a nobis.
Et primum quidem adduxit ad Neitas portas
Cohortem crebris clypeis horrentem
Parthenopæus filius venatricis,
Tenens domeſticum ſignum in medio clypeo
Atalantem, quæ arcu procul iaculante aprum
Ætolum domabat. Ad Prœtidem vero
Portam vadebat, victimas habens in curru
Vates Amphiaraus, non habens ſigna
Significãtia arrogãtiã, ſed módeſte ſignis carẽtia arma.
Ad portam vero Ogygiam Hippomedon rex
Conſtitit, habens ſignum in medio clypeo,
Variis Argum oculis cernentem,
Alios quidem cum aſtrorum ortu oculos *habentem*
Cernentes, alios vero occultantẽ cũ *aſtris* occidẽtibus,
Vt poſtea ipſo mortuo videre licebat.
Ad portam vero Homoloida tenebat locum ſuum
Tydeus, habens in clypeo pellem leonis,
Setis horrentem, dextera vero facem
Gigas Prometheus ferebat, vt incenſurus vrbem.
Ad Crenæam vero portam filius tuus Polynices
Duxit copias, Potniades vero in clypeo
Inſigne equæ pernices ſaltabant præ metu,
Scite in gyrum intus circumactæ
Ad ipſum clypei manubrium, vt furere viderentur.
Non minus vero Marte in pugna audax
Capaneus adduxit copias ad portam Electram.
Ferreis vero in clypeo figuris ſignum erat,
Gigas e terra natus, in humeris totam vrbem
Suſtinens, vectibus conuulſam violenter:
Vt eſſet ſignum nobis, qualia paſſura eſſet vrbs.
Adraſtus vero erat in ſeptima porta,
Centum viperas habentẽ clypeum implens pictura
Hydræ: habens in læuo brachio
Argiuum arrogantiæ ſignum, ex mœnib. vero mediis
Dracones

Ἀλκή. δι' ὀλίγου περγάμων τ' ἀπ' ὀρθίων,
Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα. καὶ τάφρου πέλας
Δρόμῳ ξυνῆψεν ἄστυ Καδμείας χθονός.
Παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
Ἐκεῖθεν, ἔκ τε τειχέων ἡμῶν πάρα.
Καὶ πρῶτα μὲν προσῆγε Νηίταις πύλαις
Λόχον πυκναῖσιν ἀσπίσι πεφρικότα.
Ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
Ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
Ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
Χειρουμένην Αἰτωλόν. ἐς δὲ Προιτίδας
Πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρμασι,
Ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' εἰς πυλώμαθ' Ἱππομέδων ἄναξ
Ἔστειχ', ἔχων σημεῖον ἐν μέσῳ σάκει,
Στικτοῖς πανόπτην ὄμμασι δεδορκότα,
Τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
Βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
Ὡς ὕστερον θανόντος εἰσορᾶν παρῆν.
Ὁμολωίσι δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεύς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδος
Χαίτῃ πεφρικός. δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν, ὡς πρήσων πόλιν.
Ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρην προσῆγε. Ποτνιάδες δ' ἐπ' ἀσπίδι
Ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
Εὖ πως στρόφιγξί γ' ἔνδοθεν κυκλούμεναι
Πόρπαχ' ὑπ' αὐτόν, ὥστε μαίνεσθαι δοκεῖν.
Ὁ δ' οὐκ ἔλασσον Ἄρεος εἰς μάχην φρονῶν,
Καπανεύς, προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις.
Σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
Γίγας, ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
Φέρων, μοχλοῖσιν ἐξανασπάσας βίᾳ,
Ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
Ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
Ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ
Ὕδρας, ἔχων λαιοῖσιν ἐν βραχίοσιν
Ἀργεῖον αὔχημ'. ἐκ δὲ τειχέων μέσων

Digitized by Google

Δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
Παρῆν δ' ἑκάστῳ τῶνδέ μοι θεάματα,
Ξύνθημα παρφέροντι ποιμέσι λόχων.
Καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
Ἐμαρνάμεσθα, σφενδόναις θ' ἑκηβόλοις,
Πετρῶν τ' ἀραγμοῖς. ὡς δ' ἐνικῶμεν μάχῃ,
Ἔκλαγξε Τυδεὺς, καὶ σὸς ἐξαίφνης γόνος.
Ὦ τέκνα Δαναῶν, πρὶν κατεξαίνεσθαι βολαῖς,
Τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
Γυμνῆτες ἱππεῖς, ἁρμάτων τ' ἐπιστάται;
Ἠχῆς δ' ὅπως ἤκουσαν, ἀργὸς οὔτις ἦν.
Πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι.
Ἡμῶν δ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
Πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας.
Ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
Ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
Τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν, βοᾷ
Πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν.
Ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
Ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο.
Ξανθὸν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
Ἔρρηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
Καθῃμάτωσεν. οὐδ' ἀποίσεται βίον
Τῇ καλλιτόξῳ μητρὶ, Μαινάλου κόρῃ.
Ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
Ἄλλας ἐπῄει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
Ὁρῶ δὲ Τυδέα, καὶ παρασπιστὰς πυκνοὺς,
Λόγχαισιν Αἰτωλοῖσιν εἰς ἄκρον στόμα
Πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
Λιπεῖν ἐρίπνας φυγάδας. ἀλλά νιν πάλιν,
Κυναγὸς ὡσεὶ, παῖς σὸς ἐξαθροίζεται.
Πύργοις δ' ἐπέστησ' αὖθις. εἰς δ' ἄλλας πύλας
Ἠπειγόμεσθα, τοῦτο παύσαντες νόσου.
Καπανεὺς δὲ, πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
Μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάθειν Διὸς,
Τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πετρούμενος,

Ανεῖρφ'

Digitized by Google

Dracones efferebant pueros Thebanos maxillis.
Fui autem ſpectator horum omnium,
Teſſeram ferens ducibus ordinum.
Et primo quidem arcubus & ſagittis
Pugnabamus, & fundis longe ferientibus,
Saxorũq; fragmẽtis. cũ aũt eſſem⁹ ſuꝑiores pugna,
Clamauit Tydeus, & tuus derepente filius.
O filii Danaum, priusquam laceremur iactibus,
Quid cunctamini ſimul omnes irruere in portas,
Leuis armaturæ equites, & gubernatores curruum?
Poſtq̃ aũt audiuerũt hãc vocẽ, nullus erat ignauus:
Multi autem cadebant, cruentati capitibus.
In noſtro autem ſolo vidiſſes ante mœnia
Crebros ſaltatores expirare animam.
Siccam autem rigabant terram fluxu ſanguinis.
Arcas vero ille, non Argiuus, filius Atalantæ,
Sicut turbo quidam in portas irruens, clamat
Ignem & ligonem, tanquam euerſurus vrbem.
Sed repreſſit ipſum furentem marini dei
Filius Periclymenus, deiiciens ſaxum in caput,
Quod ĩpleuiſſet currũ, pinnis a ꝓpugnaculo *reuulſis*,
Flauumque caput comminuit, & ſuturas
Oſſium rupit. ſtatimque rubras genas
Cruentauit, neque referet vitam
Inſigni iaculatrici matri, filiæ. Mænali.
Poſtquam autem hanc portam vidit fortunatam,
Acceſſit ad reliquas filius tuus, ſequebar vero ego.
Video autem Tydeum, & crebros milites clypeatos
Ætolicis haſtis in ſummitates
Turrium iaculantes, vt murorum [eos rurſus
Propugnacula ſumma relinquerẽt noſtri fugitiui : ſed
Tanquam venator filius tuus colligit,
Et rurſus ad turres collocauit. ad aliam vero portam
Feſtinabamus, vbi *partem* hanc laborantẽ curaſſemus.
Quomodo autem dicam, quam Capaneus inſaniuerit?
Longarum enim ſcalarum gradus
Geſtans veniebat, atq; hæc ſuperbe protulit,
Ne ſacrum quidẽ ignem ipſum Iouis prohibiturum,
Quominus a ſummis arcibus capiat vrbem.
Et hæc ſimul dixit, & quamuis ſaxis peteretur,

Digitized by Google

Aſcēdebat *tamē*,ſub ipsũ clypeũ cõtracto corpore,
Scalarum clauis munitarũ politos gradus percurrens.
At iam tranſcendentem pinnas murorum,
Ferit eum fulmine Iupiter. Strepitum autem edidit
Terra, vt omnes metuerent: at e ſcalis
Vt funda diſiiciebãtur ſeorſum alia ab aliis *eius* mēbra.
Comæ quidem cælum verſus, ſanguis vero in terram,
Manus vero & pedes vt rota Ixionis
Voluebantur: ignitum vero in terram cadit cadauer.
Poſtquam aũt vidit Adraſtus Iouē inimicũ exercitui,
Extra foſſam reduxit Argiuum exercitum.
Noſtri vero viciſſim dextrum Iouis ſignum
Videntes, eduxerunt curruum vehicula
Equites grauiter armati, & in media Argiuorum arma
Ruentes commiſerunt haſtas. oĩa aũt mala ſimul erãt,
Moriebantur, cadebant ex ſuis curribus,
„ Rotæque ſaltabant, axesque ad axes *attriti cadebant*.
Et cadauera cadaueribus cumulabantur ſimul.
Prohibuimus igitur euerſionem turrium terræ huius
Hodie, an vero felix
Futura ſit in poſterũ hæc vrbs, Diis hoc erit curę.
Cho. Pulchrum eſt vincere: ſi vero dii meliorem
Habuerint ſenrentiam, ego felix eſſem.
Ioc. Pulchre habent quæ ſunt deorum, & fortunæ.
Filii enim ſunt ſalui, & ciuitas euaſit periculum.
Creon vero videtur mearum nuptiarum,
Et horum malorum Oedipi pœnas luere infelix,
Filio priuatus: vrbi quidem fauſtum id & felix,
Priuatim vero acerbum eſt. ſed narrato mihi deinceps,
Quid poſt hæc filii mei facere ſtatuerint.
Nun. Omitte reliqua. ſemꝑ enim huc vſq; es fortunata.
Ioc. Hoc dixiſti ſuſpicioſe, non eſt omittendum.
Nun. Quid vis maius habere, quam filios ſaluos?
Ioc. An & in poſterũ prorſus ſim futura felix, audire *volo*.
Nun. Dimitte me, filius tuus eſt ſine armigero.
Ioc. Aliquod malum occultas, & inuoluis tenebris.
Nun. Nequaquam dicam poſt bona tua, mala.
Ioc. Niſi dixeris, effugiendum tibi erit in aerem.
Nun. Heu, heu quare me non ſinis poſt lætum
Nuncium abire, ſed vis me dicere mala?

Filii

Ανεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
Ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
Βάλλει κεραυνῷ Ζεύς νιν. ἐκτύπησε δὲ
Χθὼν, ὥστε δεῖσαι πάντας. ἐκ δὲ κλιμάκων
Εσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη.
Κόμαι μὲν εἰς ὄλυμπον. αἷμα δ' εἰς χθόνα.
Χεῖρες δὲ καὶ κῶλ' ὡς κύκλωμ' Ἰξίονος
Ἑλίσσετ'. εἰς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
Ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
Ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
Οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
Ἰδόντες, ἐξήλαυνον ἁρμάτων ὄχους
Ἱππεῖς ὁπλῖται, κεἰς μέσ' Ἀργείων ὅπλα
Συνῆψαν ἔγχη. πάντα δ' ἦν ὁμοῦ κακά.
Ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο.
Τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσι.
Νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
Πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
Εἰς τὴν παροῦσαν ἡμέραν. εἰ δ' εὐτυχὴς
Ἔσται τὸ λοιπὸν ἥδε γῆ. θεοῖς μέλει.
νιχ. Καλὸν τὸ νικᾶν. εἰ δ' ἀμείνον' οἱ θεοὶ
Γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.
ιοκ. Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.
Παῖδές τε γάρ μοι ζῶσι, κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων,
Τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
Παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς.
Ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἀνελθέ μοι πάλιν,
Τί τ' ἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
ἀγ. Ἔα τὰ λοιπά. δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
ιοκ. Τοῦτ' εἰς ὕποπτον εἶπας. οὐκ ἐατέον.
ἀγ. Μεῖζόν τι χρῄζεις, ἢ παῖδας σεσωσμένους;
ιοκ. Καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω, κλύειν.
ἀγ. Μέθες μ'. ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
ιοκ. Κακόν τι κεύθεις, καὶ στέγεις ὑπὸ σκότῳ.
ἀγ. Κοὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
ιοκ. Εἰ μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
ἀγ. Αἶ, αἶ. τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
Φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;

Digitized by Google

Τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
Αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
Λέξαντες Ἀργείοισι, Καδμείοισί τε
Εἰς κοινὸν, οἷον μή ποτ᾽ ὤφελον, λόγον.
Ἐτεοκλῆς προὔπηρξ᾽ ἀπ᾽ ὀρθίου σταθεὶς
Πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.
Ἔλεξε δ᾽, ὦ γῆς Ἑλλάδος στρατηλάται,
Δαναῶν ἀριστεῖς, οἵπερ ἤλθετ᾽ ἐνθάδε,
Κάδμου τε λαὸς, μή τε Πολυνείκους χάριν
Ψυχὰς ἀπεμπολᾶτε, μήθ᾽ ἡμῶν ὕπερ.
Ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς,
Μόνος συνάψω συγγόνῳ τὠμῷ μάχην.
Κἂν μὲν κτάνω τόνδ᾽, οἶκον οἰκήσω μόνος.
Ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
Ὑμεῖς δ᾽ ἀγῶν᾽ ἀφέντες, Ἀργείαν χθόνα
Νίσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
Σπαρτῶν δὲ λαὸς ἅλις, ὅσος κεῖται θανών.
Τοσαῦτ᾽ ἔλεξ᾽. ὁ σὸς δὲ Πολυνείκης γόνος,
Ἐκ τάξεων ὤρουσε, κἀπῄνει λόγους.
Πάντες δ᾽ ἐπερρόθησαν Ἀργεῖοι τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι᾽ ἡγούμενοι.
Ἐπὶ τοῖσι δ᾽ ἐσπείσαντο, κἀν μεταιχμίοις
Ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάται.
Ἤδη δ᾽ ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ᾽ ἐκόσμουν τῆσδε μὲν πρόμον χθονὸς,
Σπαρτῶν ἀριστεῖς. τὸν δὲ, Δαναϊδῶν ἄκροι.
Ἔστων δὲ λαμπρὼ, χρῶμά τ᾽ οὐκ ἠλλαξάτην,
Μαργῶντ᾽ ἐπ᾽ ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ᾽ ἄλλοι ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
Τρόπαιον, Ἄργει τ᾽ εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλέα δ᾽ αὖ, νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος, σκήπτρων κρατεῖς.
Τάδ᾽ ηὔδων, παρακαλοῦντες εἰς μάχην.
Μάντεις τε μῆλ᾽ ἔσφαζον, ἐμπύρους δ᾽ ἀκμὰς,
Ῥήξεις τ᾽ ἐνώμων ὑγρότητ᾽ ἐναντίαν,
Ἄκραν τε λαμπάδ᾽, ἣ δυοῖν ὅρους ἔχει,
Νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.

Filii tui agitant facinora
Turpiſſima,a toto exercitu,ſingulari certamine cōgre
Etenim dixerunt Argiuis,& Thebanis [di *cupientes.*
Palam,quæ nunquam dicere debebant.
Eteoclesque ſtans in arduo loco,prior incœpit
De turri,iubens indici ſilentium exercitui:
Dixit autem, O duces Græci ſoli,
Præſtantiſſimi Græcorum,qui huc veniſtis,
Et vos ciues Thebani,neq; Polynicis gratia
Vendite animas, neque noſtra cauſa.
Ego enim ipſe hoc periculum remittens,
Solus committam cum meo fratre certamen.
Et ſi quidem hunc occidero,ſolus regnabo in patria,
Victus vero, huic tradam vrbem:
Vos vero omittentes certamen,in Argiuum agrum
Redibitis,non relinquentes hic vitam:
Thebani vero populi ſatis eſt, qui iacet mortuus.
Sic dixit. Tuus autem filius Polynices
Ex agmine celeriter accurrit,& laudauit hoc dictum.
Omnes vero Argiui hoc approbauerunt concurſu,
Et Thebani,exiſtimantes iuſta hæc eſſe.
Propter hęc ſunt factę inducię,& in medio vtriusq; aci-
Iuſiurādū dederūt oēs duces iis ſtaturos eſſe. [ei loco
Iamque occultabant corpus æneis armis
Duo iuuenes ſenis Oedipi.
Amici vero ornabant ducem huius terræ,
Principes Thebani: alterū vero principes Argiuórum.
Steterunt autem fulgentes,nec mutauerunt colorem,
Inſano impetu cupientes alter in alterū iaculari haſtā.
Prætereuntes vero alii aliunde amici,
Animantes ſermone dicebant hæc:
Polynices,penes te eſt erigere Iouis ſtatuam
Trophęi ſignum,& magnā gloriā parare Argis.[gnas,
Eteoclē vero viciſſim *ſic hortabātur:* Nūc ꝓ patria pu-
Nūc præclarę victoriæ cōpos fact⁹,ſceptrū *regni* tenes:
Hæc dicebant,hortantes ad pugnam.
Vates vero mactabant pecudes,& igneas acięs,
Rupturasq; obſeruabāt, *& igni* cōtrarium humorem,
Sūmamq; flammā,q̄ duarū *rerū* ſignificationes habet,
Victorię *ſcil.* ſignum, & cladis, qua victi afficiuntur.

Sed ſi quod remediũ,ſi quã ſapiẽtẽ habes rationẽ,
Et philtra incantationum,vade & cohibe liberos
A ſæuo certamine,quia periculum eſt magnum,
Et præmia grauia:lachrymæ *vero* tibi erunt.
Priuaberis duobus filiis in hoc die.
Ioc. O filia Antigone egredere ante ædes.
Non in choreis,neque in virginum cœtu,
Nunc tibi procedit ſtatus fortunæ.
Sed viros optimos & fratres tuos
Tendentes ad mortem,impedire te oportet
Cum matre tua,ne mutuo concidant.
An. Quem ô mater mœrorem nouum
Sonas amicis ante has ædes?
Ioc. O filia,perit vita tuorum fratrum.
An. Qđ o dicis? *I.* Conſtituti ſunt in ſingulare certamen.
An. Heu mihi,q̃d dicis mater? *I.* Nõ grata,ſed ſequere.
An. Quo,virginũ cœtu relicto? *I.* Ad exercitũ. [pudorem.
An. Pudet me venire in turbã. *I.* Tuæ res non requirunt
An. Quid igitur faciã? *I.* Soluas diſſidium fratrum.
An. Quomodo ſoluã mater? *I.* Mecũ procidens ad genua.
An. Precede tu ad locũ inter acies mediũ, nõ eſt cunctãdũ.
An. Feſtina feſtina ô filia:quia ſi præuertero
Filios ante pugnam, mea vita erit in luce.
Si vero tardius veneris,periimus,morieris.
Cum ipſis autem mortuis mortua iacebo.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Heu,heu,heu,heu. trementem horrorem,
2 Et tremens pectus habeo.
3 Heu, heu. per meum vero corpus
4 Miſeratio, miſeratio,
5 Venit matris miſeræ,
6 Propter duos filios:vter igitur
7 Vtrum cruentabit
8 (Hei mihi propter labores.
9 O Iupiter, ô Tellus) cognatam ceruicem,
10 Cognatam animam.
11 Per clypeos, per ſanguineas cædes?
12 Miſera ego, miſera,
13 Vtrum igitur cadauer ex-

14 tin-

Digitized by Google

Ἀλλ' εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
Ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ' ἐρήτυσον τέκνα
Δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
Καὶ τἆθλα δεινὰ, δάκρυά σοι γενήσεται.
Δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.

ἰοκ. Ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος,
Οὐκ ἐν χορείαις, οὐδ' ἐν παρθενεύμασι
Νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις.
Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Εἰς θάνατον ἐκνεύοντε, κωλῦσαι σε δεῖ
Ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοις θανεῖν.

αν. Τίν' ὦ τεκοῦσα μῆτερ ἔκπληξιν νέαν
Φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;

ἰοκ. Ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.

αν. Πῶς εἶπας; Ι. αἰχμὴν εἰς μίαν καθίστατον.

αν. Οἲ 'γώ. τί λέξεις μῆτερ; Ι. οὐ φίλ'. ἀλλ' ἕπου.

αν. Ποῖ παρθενῶνας ἐκλιποῦσ'; Ι. ἀνὰ στρατόν.

αν. Αἰδούμεθ' ὄχλον. Ι. οὐκ ἐν αἰσχύνῃ τὰ σά.

αν. Δράσω δὲ δὴ τί; Ι. συγγόνων λύσεις ἔριν.

αν. Τί δρῶσα μῆτερ; Ι. προσπιτνοῦσ' ἐμοῦ μέτα.

αν. Ἡγοῦ σὺ πρὸς μεταίχμι'. οὐ μελλητέον.

ἰοκ. Ἔπειγ', ἔπειγε θύγατερ, ὡς ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος,
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
Θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

χο. Αἲ, αἲ, αἲ, αἲ. τρομερὰν φρένα,
Τρομερὰν φρέν' ἔχω.
Αἲ, ἒ. διὰ σάρκα δ' ἐμὰν
Ἔλεος ἔλεος
Ἔμολε ματρὸς δειλαίας,
Δίδυμα τέκνα, πότερος ἄρα
Πότερον αἱμάξει
(Ἰώ μοι πόνων.
Ἰὼ Ζεῦ, ἰὼ γᾶ) ὁμογενῆ δέραν,
Ὁμογενῆ ψυχὰν,
Διὰ ἀσπίδων, διὰ αἱμάτων;
Τάλαιν' ἐγὼ, τάλαινα.
Πότερον ἄρα νέκυν ὀ-

λόμενον

Digitized by Google

14 λόρθμον ἰαχήσω;

Ἀντιστροφή.

1 Φεῦ γᾶ, φεῦ γᾶ. δίδυμοι θῆρες,
2 Φόνιαι ψυχαί,
3 Δορὶ παλλόμεναι,
4 Πέσεα πέσεα
5 Δαΐα αὐτίχ' αἱμάξετον.
6 Τάλανες, ὅτι ποτὲ μονομάχον
7 Ἐπὶ φρέν' ἐπηλυθέτην.
8 Βοᾷ βαρβάρῳ στενακτὰν ἰαχὰν
9 Μελλομέναν νεκροῖς,
10 Δάκρυσι θρηνήσω.
11 Σχεδὸν τύχα πέλας φόνου,
12 Κρινεῖ φάος τὸ μέλλον.
13 Ἄποτμος ἄποτμος ὁ φόνος,
14 Ἕνεκεν Ἐριννύων.
Ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
Πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας λόγους.

ΙΑΜΒΟΙ.

κρέ. Οἴμοι, τί δράσω; πότερ' ἐμαυτόν, ἢ πόλιν
Στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
Τοιοῦτο, ὥστε δι' Ἀχέροντος ἰέναι;
Ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανών,
Τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί.
Ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλών,
Αὐτοσφαγῆ δύστηνον ἐκόμισ' ἐν χεροῖν.
Βοᾷ δὲ δῶμα πᾶν. ἐγὼ δ' ἥκω μετα-
Στέλλων ἀδελφὴν Ἰοκάστην, ὅπως
Λούσῃ, προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
„ Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
„ Τιμὰς διδόντα, χθόνιον εὐσεβεῖν θεόν.
χο. Βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,
Κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.
κρέ. Ποῖ, κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.
χο. Ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
Εἰς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.
κρέ. Πῶς φής; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ.
Οὐκ εἰς τόδ' ἦλθον, ὥστε καὶ τόδ' εἰδέναι.
χο. Ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι.
Δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,

Ἤδη

Digitized by Google

tinctum lugebo?

Antiſtrophe.

O terra. ô terra. Geminæ feræ,
Sanguineç animæ,
Haſtam vibrantes,
Cadauera, cadauera *vt*
Hoſtilia mox *ſe mutuis vulneribus* cruentabunt.
Miſeri *ſunt iſti*, quod vnquam ſingularis prælii
In cogitationem venerint.
Vociferatione barbara lugubrem ſonum
Debitum mortuis,
Cum lachrymis lugens edam.
Prope fortuna, prope cædem *eſt*,
Decernet, *aperteq; demonſtrabit hac* lux futurũ *rei exitum.*
Infelix, infelix *eſt* iſta cædes,
Propter Furias.
Sed enim Creontem video hunc, huc triſtem
Ad ædes venientẽ, miſſa faciam præſentia verba.

Creon.

Heu mihi, quid agã? num meipſum, an vero vrbẽ
Lugeam lachrymans? quam vndique habet nubes
Talis, vt ſit eundum per Acherontem.
Meus enim filius pro patria mortuus periit,
Nobile nomen conſecutus: ſed mihi moleſtum.
Quem modo rupibus ex draconteis ſublatum,
Propria cæde confectum, miſerum tuli in manibus.
Vociferatur aũt domus tota. Ego vero venio accerſiturus ſororem Iocaſten, vt
Lauet, & componat filium meũ, qui nõ viuit amplius.
„ Mortuis enim oportet non mortuum
„ Honores dando, pie colere Deum ſubterraneum.

Cho. Tua ſoror egreſſa eſt ex ædibus, ô Creon,
Puellaque matris Antigone communi greſſu.
Cre. Quo, & ad quam calamitatem? ſignifica mihi.
Cho. Audiuit filios ſingulari certamine eſſe
Ad pugnam venturos pro regia domo.
Cre. Quomodo dicis? ego cadauer mei filii curans,
Non veni huc, vt hoc etiam ſcirem.
Cho. At abiit ſoror tua iamdudum.
Exiſtimo autem certamen de vita, Creon,

Iam

Iam commiſſum eſſe filiis Oedipi.

Cre. Hei mihi, video quidem ſignum hoc,
Triſtem oculum, & vultum nuncii
Venientis, qui nunciabit nobis rem geſtam.

Nun. O miſer ego, quem dicã ſermonẽ, aut ꝙ verbum?

Cre. Periimus. non ſpecioſis, *neq; fauſtis* proœmiis initium *ſit* orationis.

Nun. Heu me miſerũ, iterũ clamo. magna enim fero mala.

Cre. Quod nam malum dicis, præter alia quæ acciderunt?

Nun. Filii ſororis non ſunt in luce amplius.

ANOMOEOSTROPHA.

Strophe I.

Cre. Heu, heũ, magnos dolores ſonas mihi & vrbi.

Nun. O domus Oedipi audis hæc
De filiis extinctis ſimili clade?

Cho. Vt lachrymaretur, ſi ſenſum haberet.

Strophe II.

Cre. Heu calamitatem miſerrimam,
Heu mala: miſer ego, & infelix.

Nun. Si ſcires mala, quæ præter hæc acciderunt.

Cre. Et quomodo poſſent accidere iſtis triſtiora?

Nun. Mortua eſt ſoror tua cum duobus filiis.

Strophe III.

Cho. Eleuate, extollite luctum,
Et candidarum manuum planctus ſupra caput.

Creon.

O miſera Iocaſte qualem finem vitæ,
Et nuptiarũ tuarũ ꝓpter ænigmata ſphĩgis ſuſtinuiſti?
Quomodo vero facta eſt cædes geminorum filiorum,
Et certamen ortum ex diris Oedipi? dic mihi.

Nun. Succeſſus q̃dẽ ſecundos vrbis noſtrę ante mœnia
Scis: non enim ita procul ſunt ambitus murorum,
Vt neſcias omnia quæ ibi geruntur.
Poſtquam enim armauerunt corpus ferreis armis
Senis Oedipi adoleſcentes,
Steterunt venientes in locũ medium inter acies
Duo duces, & duo imperatores,
Vt in certamen ſingulare deſcenſuri robore haſtæ.
Intuens autem Argos, emiſit Polynices preces:
O veneranda Iuno, tuus enim ſum, poſtquam nuptiis
Adiunxi,

Digitized by Google

Ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.
κρέ. Οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
Σκυθρωπὸν ὄμμα, καὶ πρόσωπον ἀγγέλου
Στείχοντος, ὃς ἡμῖν ἀγγελεῖ τὸ δρώμενον.

Τροχαῖοι.

ἄγ. Ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον, ἢ τίνα λόγον;
κρέ. Οἰχόμεσθ'. οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.
ἄγ. Ὦ τάλας, δισσῶς ἀϋτῶ. μεγάλα γὰρ φέρω κακά.
κρέ. Πρὸς πεπραγμένοις ἄλλοις πήμασι λέγεις δὲ τί;
ἄγ. Οὐκέτ' εἰσὶ τῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

κρέ. Ἒ αἴ. μεγάλα μοι θροεῖς πάθεα, καὶ πόλει.
ἄγ. Ὦ δώματ' εἰσηκούσατ' Οἰδίπου τάδε,
Παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;
χο. Ὥστ' ἐνδακρῦσαί γ'. εἰ φρονοῦντ' ἐτύγχανον.

Στροφὴ β'.

κρέ. Οἴμοι ξυμφορᾶς βαρυποτμωτάτης.
Οἴμοι κακῶν δύστηνος. ὦ τάλας ἐγώ.
ἄγ. Εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακά.
κρέ. Καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;
ἄγ. Τέθνηκ' ἀδελφὴ σὴ, δυοῖν παίδοιν μέτα.

Στροφὴ γ'.

χο. Ἀνάγετ', ἀνάγετε κωκυτὸν,
Ἐπὶ κρᾶτά τε λευκοπήχεις κτύπους χεροῖν.

ΙΑΜΒΟΙ.

κρέ. Ὦ τλῆμον, οἷον τέρμα Ἰοκάστη βίου,
Γάμων τε τῶν σῶν, Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
Καὶ πῶς πέπρακται διπτύχων παίδων φόνος,
Ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
ἄγ. Τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς,
Οἶσθ'. οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί,
Ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
Ἐπεὶ δὲ χαλκέοις σῶμ' ἐκόσμησαν ὅπλοις
Οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
Ἔστησαν ἐλθόντ' εἰς μέσον μεταίχμιον
Δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα,
Ὡς εἰς ἀγῶνα μονομαχοῦντ' ἀλκὴν δορός.
Βλέψας δ' ἐς Ἄργος, ἧκε Πολυνείκης ἀράς.
Ὦ πότνια Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις

Ἔζευξ'

Ἔσωσ' Ἀδράστου παῖδα, καὶ ναίω χθόνα,
Δός μοι κτανεῖν ἀδελφὸν, αὐτήρη δ' ἐμὴν
Καθαιματῶσαι δεξιὰν νικηφόρον.
Αἴσχιστον αἰτῶν στέφανον, ὁμογενῆ κτανεῖν.
Πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης ὅση.
Κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.
Ἐτεοκλέης δὲ, Παλλάδος χρυσασπίδος
Βλέψας πρὸς οἶκον, ηὔχετ'· ὦ Διὸς κόρη,
Δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
Εἰς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Ἐπεὶ δ' ἀφείθη πυρσὸς, ὡς Τυρσηνικῆς
Σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
Ἦιξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι.
Κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
Ξυνῆψαν ἔγχη, ἀφρῷ διάβροχοι γενειάδας.
Ἦισσον δὲ λόγχαις. ἀλλ' ὑφίζανον κύκλοις,
Ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
Εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
Λόγχην ἐνώμα, στόματι προφθῆναι θέλων.
Ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
Ὀφθαλμὸν, ἀργὸν ὥστε γίνεσθαι δόρυ.
Πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλαξ' ἱδρὼς,
Ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον,
Ἴχνος ὑπόδρομον κῶλον ἐκτὸς ἀσπίδος
Τίθησι. Πολυνείκης δ' ἀπήντησε δορὶ,
Πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών.
Κνήμην δὲ διεπέρασεν Ἀργεῖον δόρυ.
Στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
Κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
Ὁ πρόσθε τρωθεὶς, στέρνα Πολυνείκους βίᾳ
Διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
Ὡς δ' ἄπορον ἧκων δορὸς, ἐπὶ σκέλος πάλιν
Χωρεῖ. λαβεῖν δ' ἀφῆκε μάρμαρον πέτρον,
Μέσον δ' ἄκοντ' ἔθραυσεν. ἐξ ἴσου δ' Ἄρης
Ἦν, κάμακος ἀμφοῖν χεὶρ ἀπεστερημένοις.
Ἔνθεν δὲ κώπας ἁρπάσαντε φασγάνων,
Εἰς ταυτὸν ἧκον. συμβαλόντε δ' ἀσπίδας,

Πολὺν

Digitized by Google

Adiunxi *mihi* Adraſti filiam,& illius habito terrã,
Da mihi occidere fratrem, & contrariam meam
Dextram cruentare victricem:
Peto turpiſſimã coronã,videlicet vt interficiã fratrem.
Multis obortę ſunt lachrymę,ob magnitudinem cala-
Intuebãturq; ſe mutuo obuertẽtẽs pupillas, [mitatis.
Eteocles vero Palladis armatæ aureo ſcuto
Reſpiciens ad ædem precatus eſt:O filia Iouis,
Da vt haſtam victricem ex manu *emiſſam*
In pectus fratris ab hoc brachio iaculer,
Et interficiam eum,qui venit euerſur⁹ meã patriã,
Poſtquam autem miſſa eſt fax,vt Tyrrhenicæ
Tubæ ſonitus,ſignum cruentæ pugnę,
Saltauerunt contra ſe mutuo atroci ſaltu,
Et ſicut apri acuentes ſæuas genas, *i. dentes,*
Commiſerũt pugnã,madidi genis ꝓpter ſpumã.
Impetũ aũt faciebãt haſtis, ſed ſedebãt ſub clypeis ro-
Vt *haſtæ* ferrum excideret fruſtra. [tundis,
Si vero alter oculũ *alterius* eminentẽ ſupra clypeũ vi-
Vibrabat haſtam,verſus os volẽs conuertere: [diſſet,
Sed ſcite admouebant clypeorum foraminibus
Oculos,vt eſſet otioſa haſta.
Plus vero ſpectantibus ſtillabat ſudoris,
Quam agentibus,propter metum amicorum.
Eteocles autem offendens pedem ad ſaxum,
Veſtigio excurrens membrum extra clypeum
Ponit:Polynices vero occurrit haſta,
Plagam ferro traditam conſpicatus,
Tibiamque tranſegit Argiua haſta:
Totus autem exercitus Græcus exclamauit.
Et in hoc labore nudum humerum videns,
Prius vulneratus,per pectus Polynicis vi
Tranſegit haſtam, & *ablatam* reddidit voluptatem
Cadmi ciuibus:ſed fregit ſummam haſtam.
Veniens autẽ ad inopiam haſtę,in crus *inclinatus* retro
Cedit,& correptum iecit marmoreum ſaxum,
Et contudit medium telum.Iam vero Mars æqualis
Erat,amborum manibus priuatis haſta.
Poſtea vero manubria corripientes gladiorum,
Congreſſi ſunt comminus. cõmittentes aũt clypeos,

Habebāt magnū pugnę tumultū circūſtātē ipſos.
Et quodāmodo *rei ſucceſſū* p̄ſentiēs Ete. Theſſalicu
Vſurpauit cōmētū *ſibi notū* ob commercium agri.
Omittens enim præſentem laborem,
Siniſtrum quidem pedem retro refert,
Ante concauitati ventris, *& lateribus* cauens
Protendens vero dextrum pedem, per vmbilicum
Demiſit enſem, egitque ad ſpinæ vertebras.
Simul autem flectens latera, & ventrem miſer
Polynices cum ſanguineis guttis cadit.
Hic vero tanquam vincens iam, & victor pugna,
Abiiciens gladium in terram, ſpoliabat eum,
Non habens mentem apud ſe, ſed illic.
Quod & fefellit eum: adhuc.n. exiguū quiddā ſpirans,
Seruansque enſem in triſti caſu,
Vix quidem, extendit tamen enſem in hepar
Eteoclis Polynices, qui prius lapſus erat.
Terrā aūt mordicus appræhēdentes alter ꝓpe alterū,
Cadunt ambo, nec diſcreuerunt victoriam.

Cho. Heu, heu, quantum tuus ego gemo mala tua Oedipe.

Cre. Tuas autē execrationes videtur impleturus eſſe Deus.

Nun. Audi nunc etiam, quæ præter hæc acciderunt mala.
Poſtquam filii lapſi relinquerunt vitam,
Tunc mater miſera accedit
Cum filia, celerique greſſu.
Videns autem vulneratos letali cæde,
Eiulauit: O filii, tarda auxiliatrix
Adſum. Aduoluta autem per vices, filios
Deplorabat, & lugebat magnū laborē ſuorum vberū,
Gemens, & ſoror comes matris ſimul:
O nutricii ſenectutis matris, ô mearum nuptiarū
Proditores fratres chariſſimi. ex pectore autem
Flatum emittens difficilem rex Eteocles,
Audiuit matrem, & porrigens humidam manum,
Vocem quidem non edidit, ſed ex oculis
Salutauit eam lachrymis, vt ſignificaret amorem.
Alter vero adhuc ſpirabat, & intuens ſororem,
Et anum matrem, Polynices hæc dixit:
Periimus ô mater, miſeret me vero tui,
Et ſororis huius, & fratris mortui.

Amicu

Πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
Καί πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν
Εἰσήγαγε σόφισμ' ὁμιλίᾳ χθονός.
Ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
Λαιὸν μὲν εἰς τοὔπισθεν ἀμφέρει πόδα,
Πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος.
Προβὰς δὲ κῶλον δεξιὸν, δι' ὀμφαλοῦ
Καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
Ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας,
Σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πιτνεῖ.
Ὁ δ' ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
Ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευέ νιν,
Τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
Ὃ καί νιν ἔσφηλ'. ἔτι γὰρ ἐμπνέων βραχὺ,
Σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
Μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους, ὁ πρόσθε Πολυνείκης πεσών.
Γαῖαν δ' ὀδὰξ ἑλόντες, ἀλλήλων πέλας
Πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.
Χο. Φεῦ, φεῦ. κακῶν σῶν Οἰδίπου, σὸς ὢν, στένω.
Κρέ. Ταῖς σαῖς δ' ἀραῖς ἔοικεν ἐκπλῆσαι θεός.
Αγ. Ἄκουε δὴ νῦν καὶ τὰ πρὸς τούτοις κακά.
Ἐπεὶ τέκνω πεσόντ' ἐλιπέτην βίον,
Ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει,
Σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.
Τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς,
Ὤιμωξεν. ὦ τέκν', ὑστέρα βοηδρόμος
Πάρειμι. προσπίτνουσα δ' ἐν μέρει, τέκνα
Ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον,
Στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ,
Ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
Προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
Φύσημ' ἀνεὶς δύστληνον Ἐτεοκλῆς ἄναξ,
Ἤκουσε μητρός. κἀπιθεὶς ὑγρὰν χέρα,
Φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
Προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
Ὁ δ' ἦν ἔτ' ἔμπνους. πρὸς κασιγνήτην δ' ἰδὼν
Γραῖάν τε μητέρα, εἶπε Πολυνείκης τάδε·
Ἀπωλόμεσθα μῆτερ, οἰκτείρω δέ σε,
Καὶ τήνδ' ἀδελφὴν, καὶ κασίγνητον νεκρόν.

Φίλος γὰρ, ἐχθρὸς ἐγένετ᾽. ἀλλ᾽ ὅμως φίλος.
Θάψον δέ μ᾽ ὦ τεκοῦσα, καὶ σὺ σύγγονε,
Ἐν γῇ πατρῴᾳ. καὶ πόλιν θυμουμένην
Παρηγορεῖτον. ὡς τοσόνδε δὴ τύχω
Χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
Ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
Μῆτερ (τίθησι δ᾽ αὐτὸς ὀμμάτων ἔπι)
Καὶ χαίρετ᾽. ἤδη γάρ με περιβάλλει σκότος.
Ἄμφω δ᾽ ἅμ᾽ ἐξέπνευσαν ἄθλιον βίον.
Μήτηρ δ᾽ ὅπως εἰσεῖδε τήνδε συμφορὰν,
Ὑπερπαθήσασ᾽, ἥρπασ᾽ ἐκ νεκροῦ ξίφος,
Κἄπραξε δεινά. διὰ μέσου γὰρ αὐχένος
Ὠθεῖ σίδηρον. ἐν δὲ τοῖσι φιλτάτοις
Θανοῦσα κεῖται, περιβαλοῦσ᾽ ἀμφοῖν χέρας.
Ἀνῇξε δ᾽ ὀρθὸς λαὸς εἰς ἔριν λόγων.
Ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
Οἱ δ᾽ ὡς ἐκεῖνον. ἦν δ᾽ ἔρις στρατηλάταις,
Οἱ μὲν πατάξαι πρόσθε Πολυνείκην δορὶ,
Οἱ δ᾽ ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
Κἀν τῷδ᾽ ὑπεξῆλθ᾽ Ἀντιγόνη στρατοῦ δίχα,
Οἱ δ᾽ ἐς ὅπλ᾽ ᾖσσον. εὖ δέ πως προμηθίᾳ
Καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι.
Κἄφθημεν οὔπω τεύχεσι πεφραγμένον
Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατόν.
Κοὐδεὶς ὑπέστη. πεδία δ᾽ ἐξεπίμπλασαν
Φεύγοντες. ἔρρει δ᾽ αἷμα μυρίων νεκρῶν,
Λόγχαις πιτνόντων. ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
Οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
Οἱ δ᾽ ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
Σκυλεύματ᾽ εἴσω τειχέων ἐπέμπομεν.
Ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
Νεκροὺς φέρουσιν ἐνθάδ᾽ οἰκτίσαι φίλους.
Πόλει δ᾽ ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
Τῇδ᾽ ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία δωμάτων ἥκει,
Πάρα γὰρ λεύσσειν πτώματα νεκρῶν
Τρισσῶν ἤδη τάδε πρὸς μελάθροις.
Κοινῷ θανάτῳ σκοτίαν αἰῶνα λαχόντων.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Οὐ προκαλυπτομένα βοστρυχώδεος

Amicus enim hoſtis factus eſt,ſed tamen amicus.
Sepelias vero me ô mater,& tu ſoror,
In terra patria,& vrbem iratam
Placate,vt eatenus conſequar
Terram patriam,etſi regnum perdidi.
Compone vero palpebras meas tua manu,
O mater (ponit autem eam ſimul ipſe ad oculos ſuos)
Et valete. iam enim circundant me tenebræ.
Ambo autem ſimul exhalauerunt miſeram vitam.
Mater vero poſtquam vidit hanc calamitatem,
Vehementer dolens rapuit gladiũ hærentẽ in cadaue-
Et fecit atrocia. nam per medium guttur [re,
Adigit ferrum,inter vero ſuos chariſſimos
Mortua iacet,complexa vtrumque manibus.
Surrexit autẽ erectus exercitꝰ in cõtentionẽ ſermonũ,
Nos quidem[quaſi viciſſet dominus meus:
Illi vero quaſi alter. erat autem cõtentio inter duces.
Illi.n. Polynicem prius verberaſſe *fratrẽ* haſta dicebãt:
Hi vero, quod vtroque mortuo nuſquã victoria eſſet.
Interea vero receſſit Antigone ſeorſim ab exercitu.
Iſti vero ad arma ruerunt. Bene aũt quadã ꝓuidentia
Sedebat Thebanus exercitus in clypeis,
Et anteuertimus nondum armis ſeptum
Argiuum exercitum, irruentes ſubito:
Et nullꝰ *impetũ noſtrũ* ſuſtinuit.cõpleuerũt aũt cãpos
Fugiẽtes.fluebat aũt ſanguis ſexcẽtorũ cadauerũ
Cadentium haſta. Vt autem vicimus pugna,
Alii quidem ſtatuerunt trophæum Iouis ſtatuam,
Alii vero prædantes clypeos Argiuorum cadauerum,
Spolia intra vrbem miſimus.
Alii vero cum Antigone, mortua
Cadauera ferunt huc, vt miſericordia moti ſepeliant
Vrbi vero hæc quidem certamina feliciſſima [amici.
Huic euenerunt,alia vero infeliciſſima.

Chorus.

Non ad aures amplius calamitas regiæ domus venit.
Licet enim videre cadauera mortuorum
Trium iam hæc ante atria,
Qui communi morte conſecuti ſunt obſcurũ æuum.

MONOSTROPHICA.

Ant. Non velans cincinnis ornatas

Te-

Teneras genas, nec à virginitate *manantem*
Sub palpebris purpureum colorem, ruborem
Vultus, verita, feror *vt* Baccha *ad* cadauera.
Velis reiectis a mea coma,
Et depoſita ſtola fimbriata deliciarum *mearum*,
Pompæ dux mortuis luctuoſa. heu, heu.
Hei mihi Polynices, profecto reſpondiſti tuo nomini.
Hei mihi, mihi Thebæ. tua enim lis non eſt lis.
Sed cæde cædes perdidit domum Oedipi,
Peracta ſanguine diro, ſanguine triſti.
Quem accentorem,
Aut quē pœticū, *atq; lugubrem* gemitū ad lachrymas,
Lachrymas, ô domus, domus, accerſens ciebo?
Ferens hæc tria cruenta cognata cadauera,
Matrem, & filios, gaudia Erinnys?
Quæ domum Oedipi prorſus perdidit,
Quando ſæuæ, & perplexæ
Subtile carmen intellexit,
Interficiens corpus Muſicæ ſphingis, hei mihi pater:
Quæ Græcia, quis barbarus, aut quis ſuperiorum
Nobilium alius ſuſtinuit tot mala?
Per quotidianū ſanguinē, tales luctus manifeſtos?
O miſera ego, (ſicut plorat quædam auis
In ſummis ramis quercus, vel abietis,
Sedens priuata matre,
In meis eiulatibus, & doloribus concentrix)
Quę lamētationē lamētationib. iſtis ante *fratrū cada-*
Sola verò vitā actura ſemper, [*uera* plorans edo,
In ſtillantibus lachrymis lugens reſonabo.
Ad quem primum a laceratione comæ
Primicias iaciam? an ad gemina matris meæ
Vbera lactis?
An ad mortuorum fratrum vulnera pernicioſa?
Heu, relinque tuam domum,
Efferens cæcum oculum, ô ſenex pater:
Oſtende ô Oedipe tuā miſerā vitam, qui intra domū,
Coniiciens caliginoſas tenebras in tuos oculos,
Trahis longam vitam.
Audis ne ô errans in domo,
Miſerum pedem ſenilem in cubili fouens?

Digitized by Google

Ἁβρὰ παρηίδος, οὐδ' ὑπὸ παρθενίας
Τὸν ὑπὸ βλεφάροις φοίνικ', ἐρύθημα
Προσώπου, αἰδουμένα φέρομαι βάκχα νεκύων,
Κρήδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
Στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
Ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἰ, αἰ.
Ἰώ μοι μοι ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος.
Ὤι μοι μοι Θῆβαι. σὰ δ' ἔρις, οὐκ ἔρις,
Ἀλλὰ φόνῳ φόνος Οἰδιπόδα δόμον ὤλεσε,
Κρανθεὶς αἵματι δεινῷ, αἵματι λυγρῷ.
Τίνα προσῳδὸν,
Ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ δάκρυσι,
Δάκρυσιν ὦ δόμος δόμος ἀνακαλέσωμαι,
Τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
Ματέρα, καὶ τέκνα, χάρματ' Ἐριννύος;
Ἃ δόμον Οἰδιπόδαο πρόπαν ὤλεσε,
Τᾶς ἀγρίας ὅτε δυσξυνέτου
Ξυνετὸν μέλος ἔγνω,
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας. ἰώ μοι πάτερ.
Τίς Ἑλλὰς, ἢ βάρβαρος, ἢ τῶν προπάροι-
θεν εὐγενετᾶν ἕτερος ἔτλα κακῶν τόσων
Δι' αἵματος ἀμερίου τοιάδ' ἄχεα φανερά;
Τάλαιν' ὡς ἐλελίζει τίς ἄρ' ὄρνις,
Δρυὸς, ἢ ἐλάτας ἀκροκόμοις ἀμφὶ κλάδοις
Ἐζομένα μονομάτωρ,
Ὀδυρμοῖς ἐμοῖς, ἄχεσι συνῳδός.
Αἴλινον αἰάγμασιν ἃ τοῖσδε προκλαίω.
Μόνα δ' αἰῶνα διάξουσα τὸν ἀεὶ χρόνον
Ἐν λειβομένοισι δακρύοισιν ἰαχήσω.
Τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας σπαραγμοῖς
Ἀπαρχὰς βαλῶ, ματέρος ἐμᾶς ἐν διδύμοις
Γάλακτος παρὰ μαστοῖσιν,
Ἢ πρὸς ἀδελφῶν οὐλόμεν' αἰκίσματα νεκρῶν;
Ὀτοτοῖ. λεῖπε σοὺς δόμους,
Ἀλαὸν ὄμμα φέρων, πάτερ γεραιέ,
Δεῖξον Οἰδίπου σὸν αἰῶνα μέλεον. ὃς ἐπὶ δώμασιν
Ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν,
Ἕλκεις μακρόπνουν ζωάν.
Κλύεις ὦ κατ' αὐλὰν ἀλαίνων,
Γεραιὸν πόδα δεμνίοις δύστανον ἰαύων;

οἰδ. Τί μ' ὦ παρθένε βακτρεύμασι τυφλοῦ
Ποδὸς ἐξάγαγες εἰς φῶς,
Λεχήρη σκοτίων ἐκ θαλάμων,
Οἰκτροτάτοισι δακρύοισι,
Πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον,
Ἢ νέκυν ἔνερθεν, ἢ πτανὸν ὄνειρον,

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀν. Δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ.
Πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
Φάος, οὐδ' ἄλοχος. ἃ παρὰ βάκτροις,
Πόδα σὸν τυφλόπουν θεραπεύμασιν
Αἰὲν ἐμόχθει πάτερ, ὤ μοι.
οἰδ. Ὤμοι μοι ἐμῶν παθέων.
Πάρα γὰρ στενάχειν, τάδ' ἀϋτεῖν.
Τρισσαὶ ψυχαὶ, ποίᾳ μοίρᾳ,
Πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.
ἀν. Οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπὶ χάρμασιν,
Ἀλλ' ὀδύναισι λέγω. ὁ σὸς ἀλάστωρ
Ξίφεσι βρίθων, καὶ πυρὶ, καὶ σχετλίαισι μάχαις,
Ἐπὶ παῖδας ἔβα σοὺς, ὦ πάτερ.
οἰδ. Ἰώ μοι. αἶ, αἶ. Α. τί τάδε καταστένεις;
οἰδ. Τέκνα. Α. δι' ὀδύνας ἔβας,
Εἰ τὰ τέθριππά γ' ἐς ἅρματα λεύσσων
Ἀελίου, τάδε σώματα νεκρῶν
Ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.
οἰδ. Τῶν μὲν ἐμῶν τέκνων φανερὸν κακόν.
Ἃ δὲ τάλαιν' ἄλοχος, τίνι μοι τέκνον ὤλετο μοίρᾳ,

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἀν. Δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα.
Τέκεσι μαστὸν ἔφερεν ἔφερεν,
Ἱκέτις ἱκέτιν αἰρομένα.
Εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα,
Λωτοτρόφον κατὰ λειμῶνα λόγχαις
Κοινὸν ἐνυάλιον μήτηρ,
Ὥστε λέοντας ἐναύλους,
Μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
Ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
Ἂν ἔλαχ' ἅιδας, ὤπασε δ' Ἄρης.
Χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα
Φάσγανον, εἴσω σαρκὸς ἔπεμψεν.

Ἄχει

Oedi. Quare me ô filia inceſſu baculi & cæci
Pedis, eduxiſti in lucem,
Manentem in lecto, ex thalamis tenebricoſis?
Maxime miſerandis lachrymis,
Canum & obſcurum ætheris ſimulachrum,
Aut cadauer ſubterraneum, aut volucre ſomnium?

Antigone.

Miſerum ſermonem nuncii feres.
O pater. non amplius tibi filii vident
Lucem, neque coniunx, quæ ad baculum
Pedem tuum cæcum regendi miniſteriis
Semper curabat pater: heu mihi.
Oedi. Hei mihi, hei mihi *ob* mea mala.
Licet enim gemere, licet vociferari.
Tres animæ, quo fato,
Quomodo reliquerunt vitam? ô filia, loquere.
Ant. Non exprobrandi cauſa, nec inſultandi gratia,
Sed cum dolore dico, tuus genius malus,
Grauis gladiis, & igne, & ſæuis pugnis,
In filios irruit tuos, ô pater.
Oedi. Heu, heu. *Ant.* quare iſta gemis?
Oedi. Propter liberos. *Ant.* Per dolorem vadens perires,
Si intuens currus quadriiugos
Solis, hæc corpora mortuorum,
Oculorum tuorum acie couſideraares.
Oedi. Meorum quidem liberorum manifeſtum eſt malum,
Sed miſera coniux, quonam fato periit ô filia?

MONOSTROPHICA.

Ant. Lachrymæ lugubres manifeſtę omnib. factę ſunt.
Filiis mammas oſtendebat, oſtendebat
Supplex *mater* ſupplices exerens.
Inuenit autem filios ad portam Electram,
In prato, vbi naſcitur lotus, haſtis
Communem Martem, mater,
Ceu leones contubernales
Pugnando committentes in vulneribus ſanguinis,
Iam frigidam, & cruentam libationem,
Quā Pluto *quidem* ſortitus erat, præbuerat vero Mars.
Æneum autem accipiens a mortuis
Enſem, miſit in ſuum corpus.

Pro-

Præ dolore vero filiorum cecidit iuxta filios.
Omnes autem hoc die congregauit, ô pater,
Noſtræ domui dolores Deus,
Qui hæc perficit.

Chorus.

Cho. Multorum malorum initium fuit Oedipi domui
Hic dies. Vtinam autem *poſthac* ſit felicior vita.

Cre. Luctuū quidē iam finē facite, quia tēpus *eſt* ſepulturæ
Mentionem facere. hæc vero Oedipe verba
Audi. Principatum huius terræ dedit mihi
Eteocles filius tuus, dans dotem propter nuptias
Hæmoni, & coniugium filiæ tuæ Antigones:
Non igitur ſinam te hanc terram amplius incolere.
Clare enim dixit Tireſias, nunquam
Te in hac terra habitante, bene acturam vrbem.
Quare abi. Hæc vero non dico tibi per contumeliam,
Neq; tuus exiſtens inimicus, ſed ꝓpter malū genium,
Qui te agitat, timens ne terra aliquid mali patiatur.

Oedi. O fatum, quam me ab initio genuiſti miſerum,
Et infelicem, ſi quis alius hominum fuit.
Quem, priusquā venirē ex conceptu materno in lucē,
Nondum natum me Apollo Laio vaticinatus eſt
Homicidam fore patris. O miſerum me.
Poſtquā vero nat⁹ ſum, ſtatim pater, ꝗ me ſeminauit,
Interfici me curat, exiſtimās me ſibi hoſtē infelicē fore:
(Oportebat enim eum interfici a me) mittit autē me
Deſiderantem vbera, prædam feris infelicem,
Vbi ſeruatus ſum. Vtinam vero Tartari
Veniſſet in profundos hiatus Cithæron,
Qui mē non perdidit: ſed vt ſeruirem, mihi
Dedit fortuna, apud Polybum dominum.
Deinde cum interfeciſſem meum patrem infelix ego,
In matris veni miſeræ lectum,
Filiosque fratres genui, quos perdidi,
Accipiens imprecationes a Laio, & dans liberis:
Non enim tam ſtultus ego natus ſum,
Vt in meos oculos, inque meorum filiorum vitam,
Sine deorum aliquo hæc patrarem.
Sint illa. quid faciam igitur ô infelix ego?
Quis comitabitur me dux cæci pedis?

Hæcne

Ἄρχε δὲ τέκνων ἔπι σ᾽ ἀμφὶ τέκνοισι.
Πάντα δ᾽ ἐν ἤματι τῷδε συνάξας, ὦ πάτερ,
Ἁμετέροισι δόμοισιν ἄχη θεός,
Ὃς τάδε τελευτᾷ.

ΙΑΜΒΟΙ.

χο. Πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
Τόδ᾽ ἦμαρ. εἴη δ᾽ εὐτυχέστερος βίος.

κρέ. Οἴκτων μὲν ἤδη λήγεθ᾽, ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι. τῶνδ᾽ Οἰδίπου λόγων
Ἄκουσον. ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης σὸς παῖς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης πέρι.
Οὔκουν σ᾽ ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μήποτε,
Σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν.
Ἀλλ᾽ ἐκκομίζου. καὶ τάδ᾽ οὐχ ὕβρει λέγω,
Οὐδ᾽ ἐχθρὸς ὢν σός, διὰ δὲ τοὺς ἀλάστορας
Τοὺς σούς, δεδοικὼς μή τι γῆ πάθῃ κακόν.

οἰδ. Ὦ μοῖρ᾽ ἀπ᾽ ἀρχῆς ὥς μ᾽ ἔφυσας ἄθλιον,
Καὶ τλήμον᾽, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ.
Ὃν καὶ πρὶν εἰς φῶς ματρὸς ἐκ γονῆς μολεῖν,
Ἄγονον Ἀπόλλων Λαΐῳ μ᾽ ἐθέσπισε
Φονέα γενέσθαι πατρός. ὢ τάλας ἐγώ.
Ἐπεὶ δ᾽ ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
Κτείνει με, νομίσας πολέμιον δυσδαίμονα.
Χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ. πέμπει δέ με,
Μαστὸν ποθοῦντα, θηρσὶν ἄθλιον βοράν.
Οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
Ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
Ὅς μ᾽ οὐ διώλεσ᾽, ἀλλὰ δουλεῦσαί τέ μοι
Δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.
Κτανὼν δ᾽ ἐμαυτοῦ πατέρ᾽ ὁ δυσδαίμων ἐγώ,
Εἰς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος.
Παῖδάς τ᾽ ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
Ἀρὰς παραλαβὼν Λαΐου, καὶ παισὶ δούς.
Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ᾽ ἐγώ,
Ὥστ᾽ εἰς ἔμ᾽ ὄμματ᾽, εἰς τ᾽ ἐμῶν παίδων βίον
Ἄνευ θεῶν του ταῦτ᾽ ἐμηχανησάμην.
Εἶεν. τί δράσω δῆθ᾽ ὁ δυσδαίμων ἐγώ;
Τίς ἡγεμὼν μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;

Præ dolore vero filiorum cecidit iuxta filios.
Omnes autem hoc die congregauit, ô pater,
Noſtræ domui dolores Deus,
Qui hæc perficit.

Chorus.

Cho. Multorum malorum initium fuit Oedipi domui
Hic dies. Vtinam autem *poſthac* ſit felicior vita.
Cre. Luctuũ quidẽ iam finẽ facite, quia tẽpus *eſt* ſepulturæ
Mentionem facere. hæc vero Oedipe verba
Audi. Principatum huius terræ dedit mihi
Eteocles filius tuus, dans dotem propter nuptias
Hæmoni, & coniugium filiæ tuæ Antigones:
Non igitur ſinam te hanc terram amplius incolere.
Clare enim dixit Tireſias, nunquam
Te in hac terra habitante, bene acturam vrbem.
Quare abi. Hæc vero non dico tibi per contumeliam,
Neq; tuus exiſtens inimicus, ſed ꝓpter malũ genium,
Qui te agitat, timens ne terra aliquid mali patiatur.
Oedi. O fatum, quam me ab initio genuiſti miſerum,
Et infelicem, ſi quis alius hominum fuit.
Quem, priusquã venirẽ ex conceptu materno in lucẽ,
Nondum natum me Apollo Laio vaticinatus eſt
Homicidam fore patris. O miſerum me.
Poſtquã vero nat⁹ ſum, ſtatim pater, ꝗ me ſeminauit,
Interfici me curat, exiſtimãs me ſibi hoſtẽ infelicẽ fore:
(Oportebat enim eum interfici a me) mittit autẽ me
Deſiderantem vbera, prædam feris infelicem,
Vbi ſeruatus ſum. Vtinam vero Tartari
Veniſſet in profundos hiatus Cithæron,
Qui mẽ non perdidit: ſed vt ſeruirem, mihi
Dedit fortuna, apud Polybum dominum.
Deinde cum interfeciſſem meum patrem infelix ego,
In matris veni miſeræ lectum,
Filiosque fratres genui, quos perdidi,
Accipiens imprecationes a Laio, & dans liberis:
Non enim tam ſtulus ego natus ſum,
Vt in meos oculos, inque meorum filiorum vitam,
Sine deorum aliquo hæc patrarem.
Sint illa. quid faciam igitur ô infelix ego?
Quis comitabitur me dux cæci pedis?

Hæcne

Digitized by Google

Ἄλγεα δὲ τέκνων ἔπεσ᾽ ἀμφὶ τέκνοισι.
Πάντα δ᾽ ἐν ἤματι τῷδε συνάγαγεν, ὦ πάτερ,
Ἁμετέροισι δόμοισιν ἄχη θεός,
Ὃς τάδε τελευτᾷ.

ΙΑΜΒΟΙ.

Χο. Πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
Τόδ᾽ ἦμαρ. εἴη δ᾽ εὐτυχέστερος βίος.
κρέ. Οἴκτων μὲν ἤδη λήγεθ᾽, ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι. τῶνδ᾽ Οἰδίπου λόγων
Ἄκουσον. ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης σὸς παῖς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
Οὔκουν σ᾽ ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μή ποτε,
Σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν.
Ἀλλ᾽ ἐκκομίζου. καὶ τάδ᾽ οὐχ ὕβρει λέγω,
Οὐδ᾽ ἐχθρὸς ὢν σός, διὰ δὲ τοὺς ἀλάστορας
Τοὺς σούς, δεδοικὼς μή τι γῆ πάθῃ κακόν.
οἰδ. Ὦ μοῖρ᾽ ἀπ᾽ ἀρχῆς ὥς μ᾽ ἔφυσας ἄθλιον,
Καὶ τλήμον᾽, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ.
Ὃν καὶ πρὶν εἰς φῶς ματρὸς ἐκ γονῆς μολεῖν,
Ἄγονον Ἀπόλλων Λαΐῳ μ᾽ ἐθέσπισε
Φονέα γενέσθαι πατρός. ὦ τάλας ἐγώ.
Ἐπεὶ δ᾽ ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
Κτείνει με, νομίσας πολέμιον δυσδαίμονα.
Χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ. πέμπει δέ με,
Μαστὸν ποθοῦντα, θηρσὶν ἄθλιον βοράν.
Οὗ σῳζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
Ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
Ὅς μ᾽ οὐ διώλεσ᾽, ἀλλὰ δουλεῦσαί τέ μοι
Δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.
Κτανὼν δ᾽ ἐμαυτοῦ πατέρ᾽ ὁ δυσδαίμων ἐγώ,
Εἰς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος.
Παῖδάς τ᾽ ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
Ἀρὰς παραλαβὼν Λαΐου, καὶ παισὶ δούς.
Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ᾽ ἐγώ,
Ὥσθ᾽ εἰς ἔμ᾽ ὄμματ᾽, εἴς τ᾽ ἐμῶν παίδων βίον
Ἄνευ θεῶν του ταῦτ᾽ ἐμηχανησάμην.
Εἶεν. τί δράσω δῆθ᾽ ὁ δυσδαίμων ἐγώ;
Τίς ἡγεμὼν μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;

Ἠδ᾽ ἡ θανοῦσα; ζῶσα γὰρ σάφ᾽ οἶδ᾽ ὅτι.
Ἀλλ᾽ εὔτεκνος ξυνωρίς; ἀλλ᾽ οὐκ ἔστι μοι.
Ἀλλ᾽ ἔτι νεάζων αὐτὸς εὕροιμ᾽ ἂν βίον;
Πόθεν; τί μ᾽ ἄρδην ὧδ᾽ ἀποκτείνεις Κρέον;
Ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
Οὐ μὴν ἑλίξας γ᾽ ἀμφὶ σὸν χεῖρας γόνυ,
Κακὸς φανοῦμαι. τὸ γὰρ ἐμόν ποτ᾽ εὐγενὲς
Οὐκ ἂν προδοίην, οὐδὲ περ πράσσων κακῶς.

κρέ. Σοί τ᾽ εὖ λέλεκται, γόνατα μὴ χρώζειν ἐμά,
Ἐγὼ δὲ ναίειν σ᾽ οὐκ ἐάσαιμ᾽ ἂν χθόνα.
Νεκρῶν δὲ τῶνδε, τὸν μὲν ἐς δόμους χρεὼν
Ἤδη κομίζειν. τόνδε δ᾽, ὃς πέρσων πόλιν
Πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
Ἐκβάλετ᾽ ἄθαπτον τῆσδ᾽ ὅρων ἔξω χθονός.
Κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
Ὃς ἂν νεκρὸν τόνδ᾽ ἢ καταστέφων ἁλῷ,
Ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
Ἐᾶν δ᾽ ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν.
Σὺ δ᾽ ἐκλιποῦσα τριπλοῦν νεκρῶν γόους,
Κομίζου σαυτὴν Ἀντιγόνη δόμων ἔσω,
Καὶ παρθενεύου, τὴν ἰοῦσαν ἡμέραν
Μένουσ᾽, ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.

ἀν. Ὦ πάτερ, ἐν οἵοις κείμεθ᾽ ἀθλίοις κακοῖς.
Ὥς σε στενάζω τῶν τεθνηκότων πλέον.
Οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ᾽ οὐ βαρύ.
Ἀλλ᾽ εἰς ἅπαντα δυστυχὴς ἔφυς πάτερ.
Ἀτὰρ σ᾽ ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
Τί τόνδ᾽ ὑβρίζεις πατέρ᾽ ἀποστέλλων χθονός;
Τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;

κρέ. Ἐτεοκλέους βουλεύματ᾽, οὐχ ἡμῶν τάδε.

ἀν. Ἄφρονά γε, καὶ σὺ μῶρος ὃς ἐπείθου τάδε.

κρέ. Πῶς; τἀντεταλμένα οὐ δίκαιον ἐκπονεῖν;

ἀν. Οὐκ, ἢν πονηρά τ᾽ ᾖ, κακῶς τ᾽ εἰρημένα.

κρέ. Τί δ᾽ οὐ δικαίως ὅδε κυσὶ δοθήσεται;

ἀν. Οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.

κρέ. Εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.

ἀν. Οὔκουν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα;

κρέ. Καὶ τῷ τάφῳ νῦν τὴν δίκην παρασχέτω.

ἀν. Τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;

κρέ. Ἄταφος ὅδ᾽ ἁνήρ, ὡς μάθῃς, γενήσεται.

ἀν.

Hæcne quæ mortua eſt? viuens enim ſatis ſcio feciſſet.
At beatum iugum filiorũ? ſed nõ ſunt *amplius* mihi.
Verum ipſe adhuc iuuenis inueniam mihi cibum?
Vnde? quare me funditus ſic occidis ô Creon?
Occides enim, ſi me ex *hoc* agro eiicias.
Non tamen voluens manus ad tuum genu.
Timidus videbor: nam meam priſtinã generoſitatem
Non prodam, neque quamuis rem geram male,

Cre. Tibi recte dictum, quod nolis genua mea attingere.
Ego vero non ſinam te habitare *hanc* terram.
Horum vero mortuorũ alterum quidẽ domũ oportet
Iam portare: alterum vero, qui euerſurus vrbem
Patriam cum aliis venit, Polynicis cadauer,
Eiicite inſepultum extra fines huius terræ.
Promulgabuntur aũt hæc omnibus Thebanis,
Quicunq; dephenſus fuerit hũc mortuũ aut coronans
Aut terra tegens, *& ſepeliens, is pœnas* morte luet.
Relinq .n. oportet indeploratũ, & inſepultũ, volucrib.
Tu vero relinquẽs luctus trium cadauerũ, [prædam.
Recipe te ipſam Antigone intra ædes,
Et fac officia virginis, futuram diem
Expectans, in qua te expectat lectus Hæmonis.

Ant. O pater, in quantis ſumus miſeris malis,
Quam te gemo, plus quam mortuos. [non grauis:
Non enim pars quidẽ malorũ tibi grauis eſt, pars vero
Sed in omnibus infelix es pater.
Sed te interrogo nouum tyrannum,
Quid hunc contumelia afficis, patrem expellens terra?
Quare facis leges de miſero mortuo?

Cre. Eſt Eteoclis ſententia hæc, non mea.

Ant. Stulta eſt, & tu ſtultus qui obtemperas iſtis.

Cre. Quomodo? non eſt iuſtum exequi mandata?

Ant. Non, ſi quidem mala ſunt, & male dicta.

Cre. Quid vero? non iuſte hic canibus dabitur?

Ant. Non iuſtam enim pœnam exigitis ab eo.

Cre. Si quidẽ vrbis hoſtis fuit, qui hoſtis eſſe non debuerat.

Ant. An non dedit fortunæ ſuæ animam?

Cre. Et nunc in ſepeliendo pœnam det. [ſit perſecutus?

Ant. Quo peccato cõmiſſo *pœnas luet*, ꝙ *armis ſuã* agri partẽ

Cre. Inſepultus erit hic vir, vt ſcias.

Ant.

Ant. Ego vero eum ſepeliam, etiam ſi prohibeat vrbs.
Cre. Teipſam prope ſepelies cum hoc cadauere.
Ant. At glorioſum *eſt* profecto duos amicos iacere ſimul.
Cre. Præhendite hanc, & portate domum.
Ant. Nequaquam. non enim relinquam hoc cadauer.
Cre. Decreuit Deus, ô virgo, quæ tibi nõ videntur,
Ant. Et illud decretũ eſt, nõ eſſe cõtumelia afficiendos mortuos,
Cre. Vt nullus circa hunc ponat mollem puluerem.
Ant. Profecto te Creon per matrem hanc Iocaſten *obteſtor*.
Cre. Inutiliter laboras. non enim conſequeris hæc.
Ant. Tu vero ſaltem cadauer aqua lauare me ſine.
Cre. Vnum hoc fuerit prohibitorum vrbi.
Ant. Sine ſaltem vt circa ſæua vulnera faſcias ponam.
Cre. Nullo modo tu iſtum honorabis mortuum.
Ant. O chariſſime frater, ſaltẽ os tuũ labris applicitis exoſculabor
Cre. Nec compares calamitatem luctus ad nuptias tuas.
Ant. An vnquam igitur viuens nubam filio tuo?
Cre. Multa neceſſitas te *ei nubere coget*. q̃do .n. effugias nuptias?
Ant. Nox igitur illa habebit me Danaidum vnam.
Cre. Vidiſtine audaciam, quam ſuperbe ſit locuta?
Ant. Teſtis ſit ferrum, & gladius adiuratus mihi.
Cre. Quare vero cupis liberari ab his nuptiis?
Ant. Fugiam vna cum miſerrimo hoc patre.
Cre. Generoſus animus, & præterea ſtultitia q̃dã ineſt tibi.
Ant. Etiam vna moriar, vt ſcias amplius.
Cre. Vade, non occides filium meum, linque terram.
Oedi. O filia, laudo quidem te propter tuã promptitudinem.
Ant. Sed ſi nuberem, tu ne ſolus fugeres pater?
Oedi. Mane felix, ego mea feram patienter mala.
Ant. Quis vero te cæcum curabit pater?
Oedi. Cadens vbicumq; mihi fatum eſt, iacebo in campo.
Ant. Vbi nunc eſt Oedipus ille, & inclyta ænigmata?
Oedi. Periit: vna dies me beauit, & vna me perdidit.
Ant. Nõ igitur oportet & me participẽ fieri tuorũ malorũ?
Oedi. Turpe eſt exilium filiæ cum cæco patre.
Ant. Modeſtæ quidem non *eſt turpe*: ſed ſuperbæ, pater.
Oedi. Adducito nunc me, vt attingam matrem tuam.
Ant. Ecce tange manu chariſſimam anum.
Oedi. O mater, ô coniunx miſerrima.
Ant. Miſerabiliter iacet, habens ſimul omnia mala.

Oedi.

Digitized by Google

ἀν. Ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
κρέ. Σαυτὴν αὖ ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
ἀν. Ἀλλ᾽ εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
κρέ. Λάζυσθε τήνδε, κεἰς δόμους κομίζετε.
ἀν. Οὐ δῆτ᾽, ἐπεὶ τοῦδ᾽ οὐ μεθήσομαι νεκροῦ.
κρέ. Ἔκριν᾽ ὁ δαίμων παρθέν᾽, οὐχ ἃ σοὶ δοκεῖ.
ἀν. Κἀκεῖνο κέκριται, μὴ 'φυβρίζεσθαι νεκρούς.
κρέ. Ὡς οὔτις ἀμφὶ τῷδ᾽ ὑγρὰν θήσει κόνιν.
ἀν. Ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.
κρέ. Μάταια μοχθεῖς. οὐ γὰρ ἂν τύχοις τάδε.
ἀν. Σὺ δ᾽ ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ᾽ ἔα.
κρέ. Ἓν τοῦτ᾽ ἂν εἴη τῶν ἀπορρήτων πόλει.
ἀν. Ἀλλ᾽ ἀμφὶ τραύματ᾽ ἄγρια τελαμῶνας βαλεῖν.
κρέ. Οὐκ ἔσθ᾽ ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
ἀν. Ὦ φίλτατ᾽, ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
κρέ. Οὐκ εἰς γάμους σοὺς συμφορὰν κτήσῃ γόου.
ἀν. Ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
κρέ. Πολλή σ᾽ ἀνάγκη. ποῖ γὰρ ἐκφεύξῃ λέχος;
ἀν. Νὺξ ἄρ᾽ ἐκείνη Δαναΐδων μ᾽ ἕξει μίαν.
κρέ. Εἶδες τὸ τόλμημ᾽ οἷον ἐξωνείδισεν;
ἀν. Ἴστω σίδηρος, ὅρκιόν τέ μοι ξίφος.
κρέ. Τί δ᾽ ἐκπροθυμῇ τῶνδ᾽ ἀπαλλάχθαι γάμων;
ἀν. Συμφεύξομαι τῷδ᾽ ἀθλιωτάτῳ πατρί.
κρέ. Γενναιότης σοι, μωρία δ᾽ ἔνεστί τις.
ἀν. Καὶ ξυνθανοῦμαί γ᾽, ὡς μάθῃς περαιτέρω.
κρέ. Ἴθ᾽ οὐ φονεύσεις παῖδ᾽ ἐμόν. λίπε χθόνα.
οἰδ. Ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
ἀν. Ἀλλ᾽ εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις πάτερ;
οἰδ. Μέν᾽ εὐτυχοῦσα. τἄμ᾽ ἐγὼ στέρξω κακά.
ἀν. Καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει πάτερ;
οἰδ. Πεσὼν ὅπου μοι μοῖρα, κείσομαι πέδῳ.
ἀν. Ὁ δ᾽ Οἰδίπους ποῦ, καὶ τὰ κλείν᾽ αἰνίγματα;
οἰδ. Ὄλωλ᾽. ἓν ἦμαρ μ᾽ ὤλβισεν, ἓν δ᾽ ἀπώλεσεν.
ἀν. Οὐκοῦν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
οἰδ. Αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ἀν. Οὐ σωφρονούσῃ γ᾽, ἀλλὰ γενναίᾳ, πάτερ.
οἰδ. Προσάγαγε νῦν με μητρὸς ὡς ψαύσω σέθεν.
ἀν. Ἰδοὺ γεραιᾶς φιλτάτης ψαῦσον χερί.
οἰδ. Ὦ μῆτερ, ὦ ξυνάορ᾽ ἀθλιωτάτη.
ἀν. Οἰκτρὰ πρόκειται, πάντ᾽ ἔχουσ᾽ ὁμοῦ κακά.

οἰδ. Ἐτεοκλέους δὲ πτῶμα, Πολυνείκους τε ποῦ;
ἀν. Τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
οἰδ. Πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπα δυστυχῆ.
ἀν. Ἰδοὺ θανόντων σῶν τέκνων ἅπτου χερί.
οἰδ. Ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
ἀν. Ὦ φίλτατόν δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
οἰδ. Νῦν χρησμὸς ὦ παῖ Λοξίου περαίνεται.
ἀν. Ὁποῖος; ἀλλ' ἢ πρὸς κακοῖς ἐρεῖς κακά;
οἰδ. Ἐν ταῖς Ἀθήναις κατθανεῖν μ' ἀλώμενον.
ἀν. Ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
οἰδ. Ἱερὸς Κολωνὸς, δώμαθ' ἱππείου θεοῦ.
Ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρὶ,
Ἐπεὶ προθυμῇ τῆσδε κοινοῦσθαι φυγῆς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἀν. Ἴθ' εἰς φυγὰν τάλαιναν. ὄρεγε χεῖρα φίλαν
Πάτερ γεραιὲ, πομπίμαν
Ἔχων ἔμ', ὥστε ναυσίπομπον αὔραν.
οἰδ. Ἰδοὺ πορεύομαι, τέκνον. σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
ἀν. Γενόμεθα, γενόμεθ' ἄθλιαί γε
Δῆτα Θηβαιᾶν μάλιστα παρθένων δή.
οἰδ. Πόθι γεραιὸν ἴχνος τίθημι;
Βάκτρα πρόσφερ' ὦ τέκνον.
ἀν. Τᾷδε τᾷδε βᾶθί μοι. τᾷδε τᾷδε
Πόδα τίθ', ὥστ' ὄνειρον ἰσχὺν ἔχων.
οἰδ. Ἰὼ ἰὼ δυστυχεστάτας φυγᾶς.
Ἐλαύνειν τὸν γέροντά μ' ἐκ πάτρας.
Ἰὼ ἰὼ δεινὰ δείν' ἐγὼ τλάς.
ἀν. Τί τλάς; τί τλάς; Οὐχ ὁρᾷ δίκα κακοὺς,
„ Οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
οἰδ. Ὅδ' εἰμὶ, μοῦσαν ὃς ἐπὶ
Καλλίνικον τ' οὐράνιον τ' ἔβαν,
Παρθένου κόρας αἴνιγμ' ἀσύνετον εὑρών.
ἀν. Σφιγγὸς ἀναφέρεις ὄνειδος;
Ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
Τάδε σ' ἐπέμενε μέλεα πάθεα,
Φυγάδα πατρίδος ἄπο γενόμενον,
Ὦ πάτερ, θανεῖν που. ποθεινὰ δάκρυα
Παρὰ φίλαισι παρθένοις λιποῦσ' ἄπειμι
Πατρίδος ἀποπρὸ γαίας,
Ἀπαρθένευτ' ἀλωμένα.

οἰδ.

Oedi. Vbi vero eſt cadauer Eteoclis, & Polynicis?
Ant. Illi duo porrecti tibi iacent iuxta ſe inuicem.
Oedi. Appone cæcam manum ſuper vultus infelices.
Ant. Ecce tange manu tuos mortuos liberos.
Oedi. O chara cadauera, & miſera miſeri patris.
Ant. O chariſſimum igitur nomen Polynicis mihi.
Oedi. Nunc oraculum Apollinis ô filia perficitur.
Ant. Quod? an dices alia mala præter hæc?
Oedi. Me Athenis moriturum eſſe exulem.
Ant. Vbi nam? quænam te turris Attica recipiet?
Oedi. Sacer Colonus, domus equeſtris dei.
Sed age, ſeruito huic cæco patri,
Si quidem cupis eſſe ſocia huius exilii.

MONOSTROPHICA.

Ant. Vade in exilium miſerum, præbe charam manum.
O pater ſenex, comitem
Me habens, ſicut ſecundũ ventũ comitantem naues,
Oedi. Ecce vado filia, tu ſis mea dux miſera.
Ant. Sumus ſumus miſerrimæ vtique
Inter omnes Thebanas virgines.
Oedi. Vbi ponam ſenile veſtigium pedis?
Porrige mihi baculum filia.
Ant. Huc huc vade mihi, huc huc
Pone pedem, habens vires ſicut ſomnium.
Oedi. O fugam miſerrimam,
Eiicit *Creon* ſenem me ex patria.
Ego atrocia, atrocia paſſus.
Ant. Quid ſuſtines? quid pateris? non aſpicit iuſtitia malos,
„ Neque compenſat mortalium imprudentiam.
Oedi. Ego ſum is qui ad Muſam
Victricem, & cæleſtem veni,
Cum ſoluiſſem obſcurum ænigma virginis Sphingis.
Ant. *Quid* Sphingis refers gloriam?
Deſine priſtinam felicitatem narrare.
Hæ expectabant te miſeræ calamitates,
Exulem ex patria factum.
O pater, moritura alicubi, deſiderabiles lachrymas
Apud amicas virgines relinquens, diſcedo,
Procul a patria terra,
Non more virginum errans.

Oedi. O mentem generoſam.
Ant. In patris calamitate nobilem me faciet.
O miſera ego propter fratris contumelias.
Qui mortuus periit inſepultus extra *paternas* ędes miſer,
Quem, etiamſi me mori oporteat, pater,
Obſcura terra tegam, *i. clam humabo.*
Oedi. Vade ad tuas ſodales.
Ant, Sufficiunt mihi meæ lachrymæ.
Oedi. Tu vero *abi vt concipias* preces ad aras.
Ant. Habent ſaturitatem meorum malorum.
Oedi. Vade ſaltem, vbi eſt templum Bromii
Inacceſſum, in montibus Mænadis.
Ant. Heu Thebanam cerui pellem
Induta ego quondam,
In montibus, Semeles ſaltaui ſacrum tripudium,
Beneficium ingratum in Deos conferens.

Oedipus.

Oedi. O patriæ inclyti ciues videte, *ſum* Oedipus ille,
Qui ſoluit inclyta ænigmata & vir fuit maximus:
Qui ſolus compeſcui tyrannidem Sphingis cruentæ.
Nunc vero ignominia affectus, miſer, miſer expellor ex terra.
Sed quid hæc gemo, & fruſtra deploro?
„ Fatales enim caſus oportet ferre mortalem.
Cho. O valde clara victoria, meam
Vitam teneas, *me*
Nec *vnquam* ceſſes coronare.

Finis Phœniſſarum.

ARGV-

Οἰδ. Φεῦ τὸ χρήσιμον φρενῶν.
Ἀν. Εἰς πατρός γε συμφορὰς εὔκλειά με θήσει.
Τάλαιν' ἐγὼ συγγόνου θ' ὑβρισμάτων.
Ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται, μέλεος,
Ὅν, εἴ με καὶ θανεῖν πάτερ χρεὼν,
Σκότια γᾶ καλύψω.
Οἰδ. Πρὸς ἥλικας φάνηθι σάς.
Ἀν. Ἅλις ἔχουσ' ὀδυρμάτων ἐμῶν.
Οἰδ. Σὺ δ' ἀμφὶ βωμίους λιτάς.
Ἀν. Κόρους ἔχουσ' ἐμῶν κακῶν.
Οἰδ. Ἴθ' ἀλλὰ βρόμιος ἵνα τε σηκὸς
Ἄβατος ὄρεσι μαινάδος.
Ἀν. Καδμείαν ᾇ νεβρίδα
Στολιδωσαμένα ποτ' ἐγὼ
Σεμέλας θίασον ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
Χάριν ἀχάριστον εἰς θεοὺς διδοῦσα.

Τεθραῖοι.

Οἰδ. Ὦ πάτρας κλεινῆς πολῖται, λεύσσετ' Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω, καὶ μέγιστος ἦν ἀνήρ,
Ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη.
Νῦν δ' ἄτιμος, οἰκτρὸς, οἰκτρὸς ἐξελαύνομαι χθονός.
Ἀλλὰ τί ταῦτα θρηνῶ, καὶ μάτην ὀδύρομαι;
„ Τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.
Χο. Ὦ μέγα σεμνὰ νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Εὐριπίδου Φοίνισσαι.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ
ΜΗΔΕΙΑΣ.

Ἰάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ, ἐσθῆτα, καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη, διαφθείρεται. καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ᾽ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ᾽ ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσει. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος, ὁ τοὺς νόστους ποιήσας, φησὶν οὕτως·

Αὐτίκα δ᾽ Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
Γῆρας ἀποξύσασ᾽ εἰδυίῃσι πραπίδεσσι.
Φάρμακα πόλλ᾽ ἕψουσ᾽ ἐπὶ χρυσείοισι λέβησι.

Αἰσχύλος δ᾽ ἐν ταῖς τοῦ Διονύσου τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δὲ φησὶ, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

ΑΛΛΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ τοῦ γραμματικοῦ.

Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα. καὶ τοὺς ἰδίους υἱούς· ἐχωρίσθη δὲ Ἰάσονος, Αἰγεῖ συνοικήσασα. Παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς, συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. Ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος, κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην Ὀλυμπιάδα. Πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, Δίκτης, Θερισταί. Σάτυροι, οὐ σώζεται.

ΤΑ

ARGVMENTVM MEDEAE.

Iaſon profectus Corinthum, adducens & Medeam, duxit in matrimonium Glaucam filiam Creontis, regis Corinthiorum. Medea autem cum in exilium a Creonte releganda e Corintho, deprecata eſſet, vt vno die maneret, & impetraſſet, mittit Glaucæ per liberos mercedem pro beneficio dona, veſtem & auream coronam, quibus illa viſa perit: Creon etiam complexus filiam, moritur. Medea vero cum interfeciſſet ſuos liberos, fugit Athenas in curru draconum alatorum, quem a ſole acceperat, vecta: ibi vero nubit Ægeo filio Pandionis. Pherecydes autem & Simonides aiunt, quod Medea Iaſonem coquens iuuenem fecerit. De patre vero eius Æſone, ſic inquit poeta, qui confecit reditus:

Statim vero fecit Æſonem pubeſcentem,
Abradens ſenectam gnara mente,
Coquens multa pharmaca in aureis ollis:

Æſchylus vero in nutricibus Bacchi narrat, quod etiam nutrices Bacchi cum maritis earum coquens, iuuenes fecerit. Staphylus vero dicit aliquo modo interfectum eſſe Iaſonem a Medea. Nam iuſſu eius eum dormiſſe ſub puppe nauis Argus, cum eſſet diſſoluenda tempore: incidente igitur naui ſuper Iaſonem, ipſum eſſe mortuum.

ALIVD ARGVMENTVM Ariſtophanis Grammatici.

Medea, odio Iaſonis, quod is Glaucen Creontis filiam duxiſſet, Glaucen & Creontem interfecit, ſuoſq; ipſius filios. vnde a Iaſone ſeparata, cum Ægeo habitauit. Hæc fabula neq; apud Æſchylum eſt, neque apud Sophoclem. Scena fabulæ Corinthi ponitur, Chorus vrbicis mulieribus conſtat. Acta eſt Pythiodoro Archonte, circa octogeſimam ſeptimam Olympiadem. Primus Euphorion, ſecundus fuit Sophocles, tertius Euripides. Medea, Philoctetes, Dictes, Meſſores, Satyrus: non extat.

PER-

PERSONÆ HVIVS fabulæ ſunt hæ.

Nutrix Medeæ.
Pædagogus.
Medea.
Chorus mulierum.
Creon.
Iaſon.
Ægeus.
Nuncius.
Filii Medeæ.

Prologum autem agit Nutrix.

Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Τροφὸς Μηδείας.
Παιδαγωγός.
Μήδεια.
Χορὸς γυναικῶν.
Κρέων.
Ἰάσων.
Αἰγεύς.
Ἄγγελος.
Παῖδες Μηδείας.

Προλογίζει δὲ ἡ τροφός.

ΕΥΡΙΠΙΔΟΥ

ΜΗΔΕΙΑ.

ΙΑΜΒΟΙ.

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν, κυανέας συμπληγάδας,
Μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
Τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
Ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ,
Μήδεια, πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
Ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος.
Οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
Πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν,
Ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
Φυγῇ πολιτῶν, ὧν ἀφίκετο χθόνα,
Αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι,
„ Ἥπερ μεγίστη γίγνεται σωτηρία,
„ Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
Προδοὺς γὰρ αὑτοῦ τέκνα, δεσπότιν τ' ἐμὴν,
Γάμοις Ἰήσων βασιλικοῖς εὐνάζεται,
Γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη,
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
Πίστιν μεγίστην. καὶ θεοὺς μαρτύρεται,
Οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
Ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
Πρόσωπον. ὡς δὲ πέτρος, ἢ θαλάσσιος
Κλύδων, ἀκούει νουθετουμένη φίλων,
Ἥν μή ποτε στρέψασα πάλλευκον δέρην,
Αὐτὴ πρὸς αὐτὴν πατέρ' ἀποιμώξῃ φίλον,
Καὶ γαῖαν, οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο

Μετ'

EVRIPIDIS

MEDEA.

Nutrix.

Vtinam nauis Argo non volaſſet per
Cęruleas Symplegadas in terram Colchicam:
Neque in ſaltibus Pelii cecidiſſet vnquam
Secta pinus: neque manus remigaſſent
Virorum præſtantiſſimorum, qui aureum vellus
Allatum Peliæ iuerunt. Neq; enim mea domina
Medea nauigaſſet ad turres agri Iaolcii,
Capta vehementer animo amore Iaſonis:
Neque perſuadens filias Peliæ, vt interficerent
Patrem, inhabitaret hanc terram Corinthiam,
Cum viro, & liberis: placens quidem
Exilio ciuibus, ad quorum terram peruenit,
Et ipſa Iaſonem adiuuans in omni re:
„ Quæ maxima ſalus eſt *coniugii*,
„ Quando coniux a marito non diſſidet.
Nunc vero omnia *ſunt* inimica, & laborant chariſſima.
Nam proditis ſuis liberis meaque domina,
Iaſon cubat in nuptiis regiis,
Ducta Creontis filia, qui princeps eſt *huius* agri.
Medea vero infelix, contumelia affecta
Clamat iuſiurandum, vocat & dexteram,
Maximam fidem, & Deos teſtatur,
Qualem gratiam relatam, conſequatur ex Iaſone.
Iacet autem ſine cibo, ſubiiciens corpus doloribus,
Omni tempore contabefaciens corpus lachrymis,
Poſtquam animaduertit ſe iniuria affectam a viro:
Neque oculos tollens, neque auertens a terra
Faciem, ſed vt ſaxum, aut marinus
Fluctus, audit monitus amicorum:
Niſi quando vertens candidam ceruicem,
Ipſa apud ſeſe deplorauerit patrem ſuum,
Et terram & ædes, quibus relictis venit *huc*

Cum

Digitized by Google

Cum marito, qui nunc contumelia affecit eam.
„ Et miſera agnouit ob ipſam calamitatem,
„ Quid *ſit* non deſerere terram patriam.
Odit autem liberos, neq; lætatur aſpectu eorum.
Metuo vero ipſam, ne quid noui moliatur,
Nã animus *eius eſt* vehemens, nec ſuſtinebit mala
Pati. ego noui eam, metuo autem eam
Ne acutum tranſigat gladium per hepar,
Clam ingreſſa domum, vbi ſtratus eſt lectus:
Aut etiam occidat regem & hunc, qui duxit vxorem,
Deinde vero maiorem aliquam cladem accipiat.
„ Eſt enim vehemens; non facile ſi ſuſceperit
„ Cum ea odium aliquis, præclarã victoriam auferet.
Sed iſti pueri ceſſantes a curſu
Veniunt, nihil cogitantes de matris
„ Malis. nam puerilis animus non ſolet dolere.
Pæd. Antiquum mancipium meæ dominæ,
Quid ad portas hanc agens ſolitudinem,
Stas, ipſa tibi recenſens mala?
Quomodo ſine te ſola Medea relinqui vult?
Nut. O ſenex, comes liberorum Iaſonis,
„ Fidelibus miniſtris calamitati ſunt dominorum
„ Res aduerſæ, & angunt *ipſorum* animos.
Ego enim eo perueni doloris,
Vt mihi venerit deſiderium terræ & cælo
Dicere calamitates Medeæ, egredienti huc.
Pæd. Nondum ergo ceſſat a luctu miſera?
Nut. Laudo te: malum inchoatũ eſt, nõdũ eſt in medio.
Pæd. O ſtultam, ſi licet hoc dicere de dominis,
Vt nihil nouit de recentioribus malis.
Nut. Quid vero eſt, ô ſenex? ne graueris dicere.
Pæd. Nihil, pœnitet me & priora dixiſſe.
Nut. Ne celes conſeruam tuam per barbam.
Nam reticebo ea ſi opus erit.
Pæd. Audiui quendam dicentem, cum non viderer audire,
Accedẽs ad locũ vbi luditur teſſeris, vbi natu grandes
Sedent, ad ſacram aquam Pirenes,
Quod liberos hos e terra Corinthia eiicere
Velit cum matre dominus huius terræ
Creon. hic tamen ſermo an verus ſit,

Haud

Μετ' ἀνδρὸς, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
,, Ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
,, Οἷον πατρῴας μὴ 'πολείπεσθαι χθονός.
Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον.
Βαρεῖα γὰρ φρὴν, οὐδ' ἀνέξεται κακῶς
Πάσχουσ' ἐγᾦδα τήνδε δειμαίνω δέ νιν,
Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
Κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.
,, Δεινὴ γάρ· οὔ τοι ῥᾳδίως γε συμβαλὼν
,, Ἔχθραν τις αὐτῇ, καλλίνικον οἴσεται.
Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
Στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
,, Κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
παι. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
Τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
Ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
Πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;
τρο. Τέκνον ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
,, Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
,, Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
Ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
Λέξαι, μολούσῃ δεῦρο. Μηδείας τύχας.
παι. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
τρο. Ζηλῶ σ'. ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
παι. Ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε,
Ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
τρο. Τί δ' ἔστιν ὦ γεραιέ; μὴ φθόνει φράσαι.
παι. Οὐδὲν, μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
τρο. Μὴ πρὸς γενείου κρύπτε σύνδουλον σέθεν.
Σιγὴν γὰρ, εἰ χρὴ, τῶνδε θήσομαι πέρι.
παι. Ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
Πεσσοὺς προσελθὼν, ἔνθα δὴ παλαίτεροι
Θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
Ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
Σὺν μητρὶ μέλλει τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε,

Οὐκ

Οὐκ οἶδα. βουλοίμην δ᾽ ἂν οὐκ εἶναι τόδε.
τρο. Καὶ ταῦτ᾽ Ἰάσων παῖδας ἐξανέξεται
Πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
παι. Παλαιὰ καινῶν λείπεται κηδευμάτων.
Κοὐκ ἔστ᾽ ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
τρο. Ἀπωλόμεσθ᾽ ἄρ᾽, εἰ κακὸν προσοίσομεν
„ Νέον παλαιῷ, πρὶν τόδ᾽ ἐξηντληκέναι.
παι. Ἀτὰρ σύ γ᾽, οὐ γὰρ καιρὸς εἰδέναι τάδε
Δέσποιναν, ἡσύχαζε, καὶ σίγα λόγους.
τρο. Ὦ τέκν᾽, ἀκούεθ᾽ οἷος εἰς ὑμᾶς πατήρ.
Ὄλοιτο μὲν μή, δεσπότης γάρ ἐστ᾽ ἐμός,
Ἀτὰρ κακός γ᾽ ὢν εἰς φίλους ἁλίσκεται.
παι. Τίς δ᾽ οὐχὶ θνητῶν ἄρτι γινώσκει τόδε,
„ Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
„ Οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν.
„ Εἰ τούσδε γ᾽ εὐνῆς οὕνεκ᾽ οὐ στέργει πατήρ;
τρο. Ἴτ᾽, εὖ γὰρ ἔσται, δωμάτων εἴσω τέκνα.
Σὺ δ᾽ ὡς μάλιστα τούσδ᾽ ἐρημώσας ἔχε,
Καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
Ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
Τοῖσδ᾽ ὥστε δρασείουσαν. οὐδὲ παύσεται
Χόλου, σάφ᾽ οἶδα, πρὶν κατασκῆψαί τινα,
Ἐχθρούς γε μέντοι, μὴ φίλους δράσειέ τι.

ΑΝΑΠΑΙΣΤΟΙ.

μη. Δύστηνος ἐγώ, μελέα τε πόνων.
Ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;
τρο. Τόδ᾽ ἐκεῖνο φίλοι παῖδες, μήτηρ
Κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύσατε θᾶσσον δώματος εἴσω,
Καὶ μὴ πελάσητ᾽ ὄμματος ἐγγύς,
Μηδὲ προσέλθητ᾽, ἀλλὰ φυλάσσεσ-
θ᾽ ἄγριον ἦθος, στυγεράν τε φύσιν
Φρενὸς αὐθάδους.
Ἴτε νῦν, χωρεῖθ᾽ ὡς τάχος εἴσω.
Δῆλον δ᾽ ἐξ ἀρχῆς ἐξαιρόμενον
Νέφος οἰμωγῆς, ὡς τάχ᾽ ἀνάψει
„ Μείζονι θυμῷ. τί ποτ᾽ ἐργάσεται
„ Μεγαλόσπλαγχνος δυσκατάπαυστος
„ Ψυχὴ, δηχθεῖσα κακοῖσιν.
μη. Αἰαῖ. ἔπαθον τλάμων, ἔπαθον μεγάλων

Ἀξί

Haud ſcio:equidem vellem hoc non ſic eſſe.
Nut. Et patietur Iaſon hæc liberis *ſuis*
Accidere,etiamſi cum matre diſſidium habeat?
Pæd. Veteres nouis cedunt affinitatibus.
Et ille non eſt amicus his ædibus.
Nut. Actum eſt igitur de nobis,ſi addamus malum
,, Nouum veteri,priusquam illud exhauſtum ſit.
Pæd. At tu (non enim commodum eſt hæc ſcire
Dominam) quieſce & retice hos ſermones.
Nut. O liberi audite,qualis in vos ſit pater:
Non precor quidẽ vt pereat: eſt enim dominus meus,
Sed tamen impius in amicos inuenitur.
Pæd. Quis vero mortalium iam non nouit hoc,
,, Quod quisq; ſe ipſum magis quam proximum amet?
,, Alii quidem iuſte, alii vero etiam quæſtus gratia.
,, *Quid mirũ igitur* ſi hos etiã *noui* cõnubii cauſa nõ diligat pater?
Nut. Ite intra domũ liberi,bene enim erit.
Tuque tene hos quam longiſſime abductos,
Neque adducas ad matrem mœſtam.
Nam iam vidi eam oculis efferari,
Et aliquid patrare cupientẽ aduerſus hos: neq; deſiſtet
Ab ira,bene ſcio,priusquam fulmine feriat aliquem.
Vtinam tamẽ inimicis,nõ amicis aliquid faciat.

Medea.

Infelix ego & ærumnoſa propter labores.
Heu me,me.quomodo peream?
Nut. Hoc illud eſt chari liberi,mater
Mouet cor, mouet bilem,
Feſtinate celeriter intra ædes,
Neque veniatis propius in conſpectum,
Nec accedatis, ſed cauete
Sæuum impetum,& horribilem naturam
Animi contumacis.
Ite iam,procedite quam celerrime intro,
Certum enim *eſt indicium* ab initio ſublata
Nubes eiulatus,quod mox incandeſcet
,, Maiori furore:quid tandem faciet
,, Iracundus,& implacabilis
,, Animus,malis punctus?
Med. Heu heu,paſſa ſum miſera,paſſa ſum quæ magnis

Digna

Digna ſunt lamentis. ô execrandi
Liberi funeſtæ matris, pereatis
Cum patre,& tota domus pereat.

Nut. Heu me me, heu me miſeram.
Quid vero tibi filii patris peccata
Participant? cur hos odiſti? hei mihi
Liberi,quam metuo ne quid vobis accidat.
„ Sæui *ſunt* tyrannorum ſpiritus,& quodammodo
„ Leui de cauſa initio ſuſcipiētes,*poſtea* diu retinētes,
„ Difficulter iras,animo mutato deponunt.
„ Nam aſſuefactum eſſe ad viuendum moderate,
„ Melius mihi videtur,ſi non magnifice,
„ Tutoque liceat conſeneſcere.
„ Nam vt hoc primum dicam,moderate viuentium
„ Nomen vincit,& vti eo,longe
„ Optimum eſt hominibus. Sed immoderata
„ Nullo tempore valent hominibus ad diuturnitatem:
„ Maiores enim calamitates,quando iraſcitur
„ Deus, afferunt familiæ.

Cho. Audiui vocem, audiui clamorem
Infelicis Colchidis,
Nec adhuc *eſt* placata. Sed ô vetula
Dicito: nam intra biforem
Domum,clamorem audiui.
Neque delector ô mulier
Luctibus domus,
Quia non grata ſunt ea quæ fiunt.

Nut. Non ſunt ædes:euanuerunt hæc iam.
Iaſon enim tenet domum principum,
Medea vero tabefacit vitam in thalamis,
Domina,nullius amicorum quicquam
Verbis lenita animo.

Med. Heu,heu, vtinam flamma cæleſtis per meum caput
Eat. Quid enim mihi boni eſt amplius viuere?
Heu heu, diuertam ad mortem,
Relicta odioſa vita.

Cho. Audiuiſti ô Iupiter, & terra, & lux,
Qualem vocem infelix ediderit ſponſa?
Quænam tibi inſatiabilis
Thori cupiditas, ô ſtulta,

Acce-

Ἄξι' ὀδυρμῶν. ὦ κατάρατοι
Παῖδες, ὄλοισθε στυγερᾶς ματρὸς
Σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.
τρο. Ἰώ μοί μοι, ἰὼ τλήμων.
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
Μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι
Τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
„ Δεινὰ τυράννων λήματα. καί πως
„ Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
„ Χαλεπῶς ὀργὰς μεταβάλλουσι.
„ Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι,
„ Κρεῖσσον ἐμοὶ γοῦν, εἰ μὴ μεγάλως,
„ Ὀχυρῶς τ' εἴη καταγηράσκειν.
„ Τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν,
„ Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
„ Λῷστα βροτοῖσι. τὰ δ' ὑπερβάλλον-
„ τ', οὐδένα καιρὸν δύναται θνατοῖς.
„ Μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
„ Δαίμων, οἴκοις ἀπέδωκεν.
χο. Ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
Τᾶς δυστάνου Κολχίδος.
Οὐδέ πω ἤπιος. ἀλλ' ὦ γεραιὰ,
Λέξον ἐπ' ἀμφιπύλου γὰρ ἔσω
Μελάθρου βοὰν ἔκλυον.
Οὐδὲ συνήδομαι γύναι
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλα κέκραται.
τρο. Οὐκ εἰσὶ δόμοι. φροῦδα τάδ' ἤδη.
Ὁ μὲν γὰρ ἔχει δῶμα τυράννων.
Ἡ δ' ἐν θαλάμοις τήκει βιοτὰν
Δέσποινα, φίλων οὐδενὸς οὐδὲν
Παραθαλπομένα φρένα μύθοις.
μη. Αἰαῖ. διά μου κεφαλᾶς φλὸξ οὐρανία
Βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ. θανάτῳ καταλυσαίμαν,
Βιοτὰν στυγερὰν προλιποῦσα.
χο. Ἄιες ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
Ἰαχὰν, οἵαν ἁ δύστανος μέλπει νύμφα;
Τίς σοί ποτε τᾶς ἀπλήστου
Κοίτας ἔρος, ὦ ματαία,

Σπεύσ

Σπεύσει θανάτου τελευτάν;
Μηδὲν τόδε λίσσου.
Εἰ δὲ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαράσσου.
Ζεύς σοι τάδε συνδικήσει.
Μὴ λίαν τάκου,
Ὀδυρομένα σὸν εὐνέταν.
με. Ὦ μεγάλα Θέμι, καὶ πότνι' Ἄρτεμι,
Λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδησαμένα τὸν κατάρατον
Πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοι-
μ' αὐτοῖς μελάθροις διακναιομένους.
Οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
τρο. Κλύεθ' οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν, Ζῆνά θ', ὃς ὅρκων
Θνατοῖς ταμίας νενόμισται;
Οὐκ ἔστιν ὅπως ἔν τινι σμικρῷ
Δέσποινα χόλον καταπαύσει.
χο. Πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν
Ἔλθοι, μύθων τ' αὐδαθέντων
Δέξαιτ' ὀμφάν,
Εἴ πως βαρύθυμον ὀργὰν,
Καὶ λῆμα φρενῶν μεθείη.
τρο. Μήτοι τό γ' ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω.
Ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων
Ἔξω, φίλα. καὶ τάδ' αὔδα.
Σπεῦσον πρίν τι κακῶσαι τοὺς ἔσω.
Πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.
τρο. Δράσω τάδ'. ἀτὰρ φόβος, εἰ πείσω
Δέσποιναν ἐμάν.
Μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
Καίτοι τοκάδος δέργμα λεαίνης
Ἀποταυροῦται δμωσὶν, ὅταν τις
Μῦθον προφέρων πέλας ὁρμαθῇ.
„ Σκαιοὺς δὲ λέγων, κοὐδέν τι σοφοὺς
„ Τοὺς πρόσθε βροτοὺς, οὐκ ἂν ἁμάρτοις,

„ Οἵ

Accelerabit mortis finem?
Ne hoc preceris,
Quod ſi tuus maritus
Colit nouum lectum,
Illi *propter* hoc ne grauius iraſcere,
Iupiter hæc vlciſcetur pro te.
Ne nimis tabefacias teipſam,
Plorans tuum maritum.
Med. O magna Themis,& reuerenda Diana,
Videtis quæ patior? quæ magno iuramento
Obligaui execrandum
Maritum? quem vtinã aliquando ego,& ſpõſam videã
In ædibus diſcerptos,
Qui me prius audent iniuria afficere.
O pater,ô ciuitas,a quibus diſceſſi
Turpiter,occiſo meo fratre.
Nut. Auditis quæ dicit.& vt inuocat
Themidẽ,fauentẽ optatis, & Iouem, ꝗ iuramẽtorum
Cuſtos hominibus exiſtimatur?
Non fieri poteſt,vt in aliqua parua re
Domina iram ſedet.
Cho. Quomodo in conſpectum noſtrum
Veniat,& dictorum verborum
Vocem accipiat:
Si forte acerbam iram,
Et impetum animi remittat.
Nut. Meum certe ſtudium non
Deerit amicis.
Cho. Sed vade,& eam huc adducito domum
Extra, chara,& hæc dicito:
Propera, priusquã aliquid mali facias iis ꝗ intus ſunt.
Nam luctus hic valde augetur:
Nut. Faciam hæc,Sed metuo an perſuadeam
Dominam meam:
Laboris tamen gratiam hanc *vobis* largiar.
Quanquam leænæ, quæ recens peperit, aſpectu
Efferatur in famulos, quum quis
Accedit prope collocuturus:
» Stultos autem dicens & inſipientes
» Homines,qui ante nos fuerunt,non erraueris.

,, Qui hymnos in feſtiuitatibus,
,, Et conuiuiis & cœnis
,, Inuenerunt, vitæ iucundas auditu voluptates.
,, Sed nemo hominum horribiles mœrores
,, Inuenit, quomodo Muſica, & vario neruorum
,, Cantu ſedare poſſimus, ex quibus cædes,
,, Et graues caſus, euertunt domos.
,, Atqui *in rebus* his maxima vtilitas eſſet mederi
,, Hominibus cantu: vbi vero ſunt læta
,, Couuiuia, quid fruſtra intendunt vocem?
,, Præſens enim præbet voluptatem per ſe,
,, Conuiuii abundantia mortalibus.

Cho. Audiui clamorẽ cum multis gemitibus lamẽtationũ:
Miſeros vero, & triſtes dolores clamat
Iaſonem connubii proditorem, malumq; ſponſum.
Inuocat autem Deos iniuriis affecta,
Et Themidẽ, filiam Iouis, quæ eſt cuſtos iuriſiurandi.
Quæ ipſum reduxit
In Græciã intermedio freto ſitã *e regione Colchidis*,
Per mare nocturnum,
Supra ſalſas ponti
Immenſi anguſtias.

Medea.

Mulieres Corinthiæ, exiui e domo.
,, Ne reprehendatis me: noui enim multos homines,
,, Qui clari fuerunt, alios quidem procul a conſpectu,
,, Alios vero inter ſuos: alii vero ex eo quod quieuerunt,
,, Comparauerunt ſibi infamiam, & opinionẽ ignauiæ.
,, Iuſtitia .n. nõ ineſt in oculis hĩm, *vt hic iuſti dignoſcã-*
,, Quisquis ante q̃ hoĩs aĩm manifeſte cognouerit, [*tur.*
,, Odit *ſemel* intuitꝰ, nulla iniuria affectus, *is iniuſte facit.*
,, Oportet autẽ hoſpitẽ valde ſe accommodare ciuitati.
,, Neque laudo ciuem qui contumax exiſtens,
,, Moleſtus eſt ciuibus propter imperitiã, *ac inſolentiam.*
Mihi vero hæc res quæ, præter ſpem contigit,
Corrupit animum. perii vero & vitæ
Voluptate omiſſa, volo mori, amicæ.
In quo enim omnis mea ſpes erat rei feliciter gerendæ,
Peſſimus *omnium* hoĩm euaſit ille meus maritus.
,, Oĩm aũt, quęcunq; ſunt animata, & mẽtẽ habẽt,

,, Nos

„ Οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις,
„ Επί τ' εἰλαπίναις, καὶ παρὰ δείπνοις
„ Εὕροντο, βίου τερπνὰς ἀκοάς.
„ Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
„ Εὕρετο μούσῃ καὶ πολυχόρδοις
„ Ὠδαῖς παύειν, ἐξ ὧν θάνατοι,
„ Δειναί τε τύχαι σφάλλουσι δόμους.
„ Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
„ Μολπαῖσι βροτούς. ἵνα δ' εὔδειπνοι
„ Δαῖτες, τί μάτην τείνουσι βοάν;
„ Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ,
„ Δαιτὸς πλήρωμα βροτοῖσιν.

Χο. Ἰαχὰν ἄϊον πολύστονον γόων.
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
Τὸν ἐν λέχει προδόταν, κακόνυμφον.
Θεοκλυτεῖ δ' ἄδικα παθοῦσα
Τὰν Ζηνὸς ὁρκίαν θέμιν,
Ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
Δι' ἅλα νύχιον,
Ἐφ' ἁλμυρὰν πόντου
Κλῇδ' ἀπέραντον.

ΙΑΜΒΟΙ.

Μη. Κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων,
„ Μή μοί τι μέμψησθ'. οἶδα γὰρ πολλοὺς βροτῶν
„ Σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
„ Τοὺς δ' ἐν θυραίοις, οἱ δ' ἀφ' ἡσύχου ποδὸς
„ Δύσκλειαν ἐκτήσαντο, καὶ ῥαθυμίαν.
„ Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.
„ Ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
„ Στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
„ Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει,
„ Οὐδ' ἀστὸν ᾔνεσ', ὅστις αὐθάδης γεγὼς,
„ Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
Ψυχὴν διέφθαρκ', οἴχομαι δὲ, καὶ βίου
Χάριν μεθεῖσα, κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
„ Πάντων δ', ὅσ' ἔστ' ἔμψυχα, καὶ γνώμην ἔχει,

„ Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
„ Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
„ Πόσιν πρίασθαι, δεσπότην τε σώματος
„ Λαβεῖν. κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν.
„ Κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
„ Ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
Γυναιξὶν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην,
Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγὸν,
Ζηλωτὸς αἰών. εἰ δὲ μὴ, θανεῖν χρεών.
„ Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
„ Ἔξω μολὼν ἔπαυσε καρδίας χόλον,
„ Ἢ πρὸς φίλον τιν', ἢ πρὸς ἥλικας τραπείς.
„ Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
Λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορὶ,
„ Κακῶς φρονοῦντες. Ὡς τρὶς ἂν παρ' ἀσπίδα
„ Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ αὐτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος.
Σοὶ μὲν πόλις θ' ἥδ' ἐστὶ, καὶ πατρὸς δόμοι,
Βίου τ' ὄνησις, καὶ φίλων συνουσία.
Ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ', ὑβρίζομαι
Πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελῃσμένη.
Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ,
Ὡς μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
Ἤν μοι πόρος τις, μηχανή τ' ἐξευρεθῇ,
Πόσιν δίκην τῶνδ' ἀντιτίσασθαι κακῶν,
Τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥν τ' ἐγήματο,
„ Σιγᾶν. Γυνὴ γὰρ, τἄλλα μὲν φόβου πλέα,
„ Κακὴ δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾶν.
„ Ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
„ Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Χο. Δράσω τάδ'. ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
Ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
Στείχοντα, καινῶν ἄγγελον βουλευμάτων

κρέ.

Digitized by Google

„ Nos mulieres ſumus miſerrima propago.
„ Quas primum quidem oportet maximis opibus
„ Comparare maritum,dominumque corporis
„ Accipere. hoc enim malo *aliud* longe grauius *eſt*.
„ Et in hoc maximum *eſt* periculũ,aut malũ accipere,
„ Aut bonum. Non enim honeſta *ſunt* diuortia
Mulieribus,neq; licet recuſare maritum.
Sed venientem ad nouos mores,& leges,
Vatem eſſe oportet, (quia domi non cognouit)
Quem maxime ſit habitura virum.
Et ſi nobis hæc quidem peragentibus bene
Cohabitauerit maritus,non violentũ *nobis* imponens [iugum,
Beata eſt vita:ſin minus,ſatius eſt mori.
„ Vir vero cum dolet propter res domeſticas,
„ Foras egreſſus ſedat cordis bilem,
„ Conuerſus aut ad aliquem amicum,aut coætaneum
„ Sed nos oportet ſpectare ad vnam animam.
Dicunt autem quod nos periculorũ immunẽ vitam
Viuamus domi,ipſi vero pugnent haſta,
„ Male ſentientes: quia ter ad clypeum
„ Stare malim, quam ſemel parere.
Sed enim non eadem ad me,& te pertinet oratio.
Tibi enim eſt hæc vrbs,& paterna domus,
Vitæque commoditas,& amicorum congreſſus.
Ego vero deſerta,& extorris iniuria afficior
A marito,ex agro barbaro abrepta.
Neque matrem, neque fratrem, neque cognatum
Habens, qui me in portum ducat huius calamitatis:
Tantum igitur cupio tua vti opera,
Si mihi via aliqua,& ratio inueniri poſſit,
Qua maritum iure vlciſcar pro his malis, [duxit.
Illumq;, qui dedit ipſi *ſuam* filiam,& *Glaucam*,quam
„ Vt taceas. Nam mulier alioqui eſt plena timore,
„ Ignauaque ad prælium,& ad intuendum ferrum:
„ Sed quando eſt iniuria affecta,in matrimonio,
„ Non eſt alia mens crudelior.
Cho. Faciam hæc:nam iuſte vlciſceris maritum,
Medea:non miror autem te lugere iſtam fortunam.
Sed video Creontem,dominum huius terræ
Venientem,nuncium nouorum conſiliorum

Cre. Te toruam, & iratam marito,
Medeàm, iubeo exire ex hac terra,
Extorrem, aſſumptis tecum duobus pueris,
Et nihil cunctari: quia ego autor edicti
Iſtius ſum, neque redibo domum,
Priusquam eiecero te e finibus huius terræ:

Med. Heu, heu, prorſus miſera perii.
Inimici enim expediũt iam omnẽ rudẽtẽ *aduerſus me.*
Neque eſt effugium commodum huius mali.
Sed quanquam male tractor. tamen dicam:
Cur me Creon eiicis ex hac terra?

Cre. Metuo te (nihil opus eſt inuoluere ſermones)
Ne quod inſanabile malum facias meæ filiæ.
Multæ enim ſunt coniecturæ huius metus,
Es callida, & artifex multorum malorum.
Doles vero quod orbata ſis thalamo mariti tui.
Audio autem te minari, vt mihi nunciant,
Et ſocero, & ſponſo, & nuptæ
Te àliquid facturã. hęc igitur cauebo, priusq̃ accidãt.
Multo.n. ſatius eſt mihi, mulier, nũc in odiũ tuum in-
Quam placatum, poſtea valde gemere. ſcurrere,

Med. Heu, heu. non mihi nunc primum, ſed ſæpe, ô Creon,
„ Nocuit exiſtimatio, & magna mala attulit.
„ Non oportet autem eum qui ſapiens eſt,
„ Liberos edocẽdos curare, vt nimium ſint ſapiẽtes.
„ Præter enim aliam, quam habent, ignauiam,
„ Inuidiam apud ciues *ſibi* conciliant odioſam.
„ Apud ſtultos enim proferens aliq̃d nouum & ſapiens,
„ Videberis inutilis, & non ſapiens eſſe:
„ At cõtra illis, q̃ vidẽtur variã aliq̃ cognitionẽ habere,
„ Prẹſtãtior ſi exiſtimeris in ciuitate, moleſtꝰ videberis.
Ego vero ipſa quoque particeps ſum huius fortunæ,
Nam cum ſim ſapiens, aliis quidem ſum inuiſa,
Aliis vero ignauã, aliis vero aliis morib *prædita videor*,
Aliis difficilis, *& moroſa:* tamen nõ ſum nimis ſapiens.
Tu igitur metuis me, ne quid mali tibi a me accidat.
Non ſic res meæ ſe habent, ne metuas me Creon,
Vt in viros principes delinquam.
Tu enim qua iniuria me affeciſti? elocaſti filiam *ei*,
Cui te animus impulit, Sed meum maritum

Odi.

Digitized by Google

κρέ. Σὲ τὴν σκυθρωπὸν, καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
Καὶ μή τι μέλλειν. ὡς ἐγὼ βραβεὺς λόγου
Τοῦδ᾽ εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
μη. Αἰ, αἰ. πανώλης ἡ τάλαιν᾽ ἀπόλλυμαι.
Εχθροὶ γὰρ ἐξίασι πάντα δὴ κάλων,
Κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Ερήσομαι δὲ, καὶ κακῶς πάσχουσ᾽ ὅμως,
Τίνος μ᾽ ἕκατι γῆς ἀποστέλλεις Κρέον;
κρέ. Δέδοικά σ᾽. οὐδὲν δεῖ παραμπίσχειν λόγους.
Μή μοι τι δράσῃς παῖδ᾽ ἀνήκεστον κακόν.
Συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος.
Σοφὴ πέφυκας, καὶ κακῶν πολλῶν ἴδρις.
Λυπῇ δὲ, λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ᾽ ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην,
Δράσειν τι. ταῦτ᾽ οὖν πρὶν παθεῖν, φυλάξομαι.
Κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπέχθεσθαι γύναι,
Ἢ μαλθακισθένθ᾽, ὕστερον μέγα στένειν.
μη. Φεῦ, φεῦ. οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις Κρέον,
,, Ἔβλαψε δόξα, μεγάλα τ᾽ εἴργασται κακά.
,, Χρὴ δ᾽ οὔποθ᾽, ὅστις ἀρτίφρων πέφυκ᾽ ἀνὴρ,
,, Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.
,, Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν, ἀργίας,
,, Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
,, Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
,, Δόξεις ἀχρεῖος, κοὐ σοφὸς πεφυκέναι.
,, Τῶν δ᾽ αὖ δοκούντων εἰδέναι τι ποικίλον,
,, Κρείσσων νομισθεὶς ἐν πόλει, λυπρὸς φανῇ.
Εγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἰμ᾽ ἐπίφθονος,
Τοῖς δ᾽ ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου.
Τοῖς δ᾽ οὖν προσάντης. εἰμὶ δ᾽ οὐκ ἄγαν σοφή.
Σὺ δ᾽ οὖν φοβῇ με, μή τι πλημμελὲς πάθῃς.
Οὐχ ὧδ᾽ ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς Κρέον,
Ὥστ᾽ εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ᾽ ἠδίκηκας; ἐξέδου κόρην
Ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ᾽ ἐμὸν πόσιν

Digitized by Google

Μισῶ. σὺ δ' οἶμαι σωφρονῶν, ἔδρας τάδε.
Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
Νυμφεύετ', εὖ πράσσοιτε. τήνδε δὴ χθόνα
Ἐᾶτέ μ' οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
„ Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
κρέ. Λέγεις ἀκοῦσαι μαλθάκ'. ἀλλ' εἴσω φρενῶν
Ὀρρωδία μοι, μή τι βουλεύσῃς κακόν.
Τοσῷδε γ' ἧσσον ἢ πάρος πέποιθά σοι.
„ Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ,
„ Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε.
Ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
Μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.
μή. Μὴ πρός σε γονάτων, τῆς τε νεογάμου κόρης.
κρέ. Λόγους ἀναλοῖς. οὐ γὰρ ἂν πείσαις ποτέ.
μή. Ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσῃ λιτάς;
κρέ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
μή. Ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
κρέ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πολύ.
μή. Φεῦ, φεῦ. βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
κρέ. Ὅπως ἂν οἶμαι καὶ παραστῶσιν τύχαι.
μή. Ζεῦ, μὴ λάθοι σε, τῶνδ' ὃς αἴτιος κακῶν.
κρέ. Ἕρπ' ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
μή. Πονοῦμεν ἡμεῖς, κοὐ πόνων κεχρήμεθα.
κρέ. Τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
μή. Μὴ δῆτα τοῦτόγ'. ἀλλά σ' αἰτοῦμαι Κρέον.
κρέ. Ὄχλον παρέξεις ὡς ἔοικας ὦ γύναι.
μή. Φευξούμεθ'. οὐ τοῦθ' ἱκέτευσα σου τυχεῖν.
κρέ. Τί δ' οὖν βιάζῃ, κοὐκ ἀπαλλάσσῃ χθονός;
μή. Μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν,
Καὶ ξυμπερᾶναι φροντίδ', ᾗ φευξούμεθα,
Παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
Οἴκτειρε δ' αὐτούς. καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας. εἰκὸς δ' ἐστὶν, εὔνοιάν σ' ἔχειν,
Τοὐμοῦ γὰρ οὔ μοι φροντὶς, εἰ φευξούμεθα.
Κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
κρέ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν.
Αἰδούμενος δὲ, πολλὰ δὴ διέφθορα.
Καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων γύναι,

Ὅμως

Odi. tu autem (vt opinor) ſapienter hæc feciſti.
Et nunc non inuidio quod res tuæ præclare ſe habeãt:
Deſpondete, bene ſit vobis: ſed iam in hac terra
Sinite me habitare: quamuis .n. iniuria ſimus affecti,
„ Tacebimus, a potentioribus victi.
Cre. Dicis auditu mollia: ſed in animo
Mihi eſt pauor, ne quid mali moliaris,
Et tanto minus quam antea confido tibi.
„ Nam mulier quæ cito iraſcitur, ſimiliter & vir,
„ Facilius cauetur, quam taciturnus ſapiens:
Proinde exi quam celerrime, ne facias multa verba.
Quia hoc decretum eſt, neque habes artem, vt
Apud nos maneas, cum ſis mihi infeſta.
Med. Ne per genua & filiam tuam recens nuptam.
Cre. Conſumis verba: nunquam enim perſuaſeris me.
Med. Expelles igitur me, neque reuereberis Litas *i. Preces?*
Cre. Non enim mihi charior es mea domo.
Med. O patria, quam valde nuuc tui recordor.
Cre. Præter liberos enim eſt mihi longe chariſſima.
Med. Heu, heu. quam magnũ malũ hominib. eſt amor?
Cre. Credo, vt tulerit fortuna.
Med. Iupiter nõ lateat te is, qui autor eſt horum malorum.
Cre. Va de ô vana, & libera me curis.
Med. Nos laboramus, neq; indigemus aliis miſeriis.
Cre. Cito extruderis violenter manu famulorum.
Med. Nequaquam ita, ſed rogo te Creon.
Cre. Negotium faceſſes, vt videris ô mulier.
Med. Fugiã. non hoc te rogo, vt impetrem *ne diſcedam*
Cre. Quid igitur reſiſtis, & non diſcedis e terra?
Med. Cõcede mihi, vt poſſim tantũ hũc diem manere,
Et perficere deliberationem, qua fugiam,
Et viaticum meis liberis: quandoquidem pater
Nihil curat *vitæ ſubſidium* parare liberis.
Miſerare igitur illos, nam & tu pater liberorum
Es. Conſentaneum aũt eſt te habere beneuolentiam.
Nõ.n. de me ſum ſollicita, ꝙ in exilium ſimus ituri.
Illorum vero calamitatem, qua premuntur, lugeo.
Cre. Animus meus minime eſt tyrannicus,
Sed verecundia victus, multa perperam egi.
Et nunc video quidem me peccare mulier,

Attamen

Attamen conſequeris hoc. ſed prædico tibi,
Si te poſtera lux Dei viderit,
Et liberos tuos intra fines huius terræ,
Morieris. dictus eſt ſermo hic, neque irritus erit.
Nunc igitur ſi oportet *te* manere, mane ad vnũ diẽ.
Non enim facies aliquid mali eorum, quæ metuo.

Chorus.

Infelix mulier,
Heu, heu. miſera *es* ob tuos dolores.
Quo nam te vertes? quod hoſpitium,
Aut quã domũ terramve, quę liberet te his *malis,*
Inuenies?
Quam te Deus in difficilem tempeſtatem
Malorum duxit, Medea.

Medea.

Vbique male mecum agitur: quis contradicet?
Sed nondum hæc ſunt eodem modo, ne putetis.
Reſtant adhuc alia certamina nouis ſponſis,
Et non exigua mala affinibus.
Putas. n. me hunc blandis verbis cõpellaturã fuiſſe vn-
Niſi aliquid lucri captarem, aut machinarer? [quam,
Neque allocuta eſſem, neque attigiſſem manibus.
Ille vero eo ſtultitiæ peruenit,
Vt cum poſſet ipſe euertere mea conſilia,
Si me eieciſſet ex hac terra, conceſſerit hoc die
Me manere, quo tres ex meis inimicis
Interficiam, patrem, puellam, & meum maritum.
Sed cum habeam multas vias interficiendi eos,
Non ſcio quam primum aggrediar, amicæ.
Vtrum accendam domum ſponſæ igni,
An adigam acutum enſem per hepar,
Clam ingreſſa domum, vbi lectus eſt ſtratus.
Sed vnum eſt mihi periculoſum, ſi depræhendar,
Ingreſſa domum & moliens *iſta,*
Morte mea riſum præbebo meis inimicis.
Optimum eſt recta via ingredi, qua ſumus
Potentes maxime, venenis vt eos interficiam ius.
Eſto, & iam ſint mortui: quæ me ciuitas excipiet?
Quis terram tutam, & domum ſeruantem pr omiſſa,
Præbens hoſpes liberabit meum corpus?

Nemo

Ὅμως δὲ τεύξῃ τοῦδε. προὐννέπω δέ σοι.
Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ,
Καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονὸς,
Θανῇ. λέλεκται μῦθος οὐ ψευδὴς ὅδε.
Νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν.
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβος μ' ἔχει.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Δύστανε γύναι,
Φεῦ, φεῦ. μελέα τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ; τίνα προξενίαν,
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἄπορόν σε κλύδωνα θεὸς
Μήδεια κακῶν ἐπόρευσε.

ΙΑΜΒΟΙ.

Μη. Κακῶς πέπρακται πανταχῇ. τίς ἀντερεῖ;
Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
Ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
Καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἂν,
Εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν,
Ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥστ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
Γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
Μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε, καὶ κόρην, πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
Οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι.
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τί μοι πρόσαντες, εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα, καὶ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
Σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
Εἶεν. καὶ δὴ τεθνᾶσι. τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον, καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν, ῥύσεται τοὐμὸν δέμας;

Οὐκ

Οὐκ ἔστι. μείνασ' οὖν σμικρὸν χρόνον,
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον.
Ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε. τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων, καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
Πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα. φείδου μηδὲν ὧν ἐπίστασαι
Μήδεια, βουλεύουσα, καὶ τεχνωμένη.
Ἕρπ' εἰς τὸ δεινόν. νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ' Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς, ἡλίου τ' ἄπο.
„ Ἐπίστασαι δέ, Πρὸς δὲ καὶ πεφύκαμεν
„ Γυναῖκες εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
„ Κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. Ἄνω ποταμῶν ἱερῶν
Χωροῦσι παγαί,
Καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
Ἀνδράσι μὲν δόλιαι βουλαί. θεῶν
Δ' οὐκέτι πίστις ἄραρε.
Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν,
Στρέφουσι φᾶμαι.
Ἔρχεται τιμὰ
Γυναικείῳ γένει.
Οὐκέτι δυσκέλαδος
Φάμα γυναῖκας ἕξει.

Ἀντιστροφὴ α'.

Μοῦσαι δὲ παλαιγενέων
Λήξουσιν ἀοιδᾶν,
Τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
Ὤπασε θέσπιν ἀοιδὰν

Φοῖβος

Nemo eſt. Igitur manens adhuc exiguum tempus,
Siquidē aliqua *ſalutis* turris tuta nobis apparuerit,
Aggrediar hanc cædem dolo, & clam.
Si vero calamitas ineuitabilis me exagitet.
Ego correpto gladio, etiamſi mihi moriendum ſit,
Occidam eos. vado autem ad extremam audaciam.
Non enim per dominam, quam ego colo
Omnium maxime. & adiutricem elegi
Hecaten, quæ habitat in angulis larium meorum,
Aliquis ex eis gaudens, dolore afficiet meum animū.
Ego autem faciam ipſis nuptias acerbas, & triſtes,
Et acerbā affinitatē, & exiliū meum ex hac terra.
Age vero, nulli arti eorum quæ ſcis, parcas,
Medea, deliberans, & machinans.
Vade ad atrox facinus: nunc eſt certamen audaciæ.
Vides quæ patiaris? non oportet te derideri
A genere Siſyphi, & nuptiis Iaſonis.
Quæ nata es ex præſtanti patre, & a Sole.
„ Et calles aliquid. Præterea vero natura ſumus
„ Nos mulieres ad bona quidem ineptiſſimæ,
„ Malorum vero omnium artifices peritiſſimæ.

ANTISTROPHICA.

Strophe I.

Ch. Surſum verſus fluminum ſacrorum
Vadunt fontes,
Et ius & omnia retro vertuntur.
Viris quidem doloſa *ſunt* conſilia. Deorum
Vero fides non amplius eſt rata.
Mea quidem vita vt non habeat laudem,
Fama obſtat.
Honos venit
Muliebri generi.
Non amplius infauſta
Fama mulieres premet.

Antiſtrophe I.

Muſæ vero priſcis
Deſinent carminibus
Meam celebrare perfidiam.
Neque enim in mentibus noſtris lyræ
Diuinum carmen dedit

Phœbus, dux carminum: quia vi-
ciſſim hymnum *mulieres* cecinißent in
Genus maſculinum.
Longa autem ætas habet
Multa de noſtra,
Virorumque ſorte dicenda.

Stropho II.

Tu autem nauigaſti ex domo patria
Furenti animo, gemi-
na maris metiens
Saxa: in peregrina vero
Terra habitas, vidui
Cubilis amiſſo lecto.
Infelix tu, ignominia vero affecta, pelleris ex hac terra [exul.

Antiſtrophe II.

Abiit gratia iuriſiurandi, neque amplius pudor
Manet in magna Græcia:
Euolauit autem in ætherem.
Tibi autem non eſt paterna domus,
O miſera, vt ad eam appellas, *teque recipias*.
Ex miſeriis huius thalami.
Sed regina potentior domum occupauit.

Iaſon.

Non nunc primum animaduerti, ſed ſæpe,
" Quod aſpera ira ſit intractabile malum.
Tibi enim cum liceret hanc terrã, & domum incolere,
Leuiter, *& æquo animo* ferenti potentiorum conſilia,
Propter inania verba eiicieris ex hac terra.
Ego quidem nihil curo, etiamſi nunquam deſinas
Dicere, quam malus vir ſit Iaſon:
" Ob ea vero, quæ dixiſti in dominos,
" Putes magnum eſſe lucrũ, quod tantũ exilio puniris.
Ego quidem ſemper ab iratis dominis
Iram abſtuli, & volebam te manere:
Tu vero non remittis ſtultitiam, ſemper dicens
Conuicia dominis. itaque expelleris ex hac terra.
Ego tamẽ ne ꝓpter hæc quidẽ defeſſus amicorũ gratiâ
Venio, proſpecturus tibi, ô mulier,
Ne ſine viatico cum liberis expellaris,
" Neque indigeas aliqua re: exilium trahit multa
" Mala

6 Φοῖβος ἁγήτωρ μελέων. ἐπεὶ ἀν-
7 τάχησ' ἂν ὕμνον
8 Ἀρσένων γέννα.
9 Μακρὸς δ' αἰὼν ἔχει
10 Πολλὰ μὲν ἁμετέραν
11 Ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Στροφὴ β'.

1 Σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
2 Μαινομένᾳ κραδίᾳ, διδύ-
3 μους ὁρίσασα πόντου
4 Πέτρας. ἐπὶ δὲ ξένᾳ
5 Ναίεις χθονί, τᾶς ἀνάνδρου
6 Κοίτας ὀλέσασα λέκτρον.
7 Τάλαινα. φυγὰς δὲ χώρας ἄτιμος ἐλαύνῃ.

Ἀντιστροφὴ β'.

1 Βέβακεν ὅρκων χάρις, οὐδέ τ' αἰδὼς
2 Ἑλλάδι τᾷ μεγάλᾳ μίμνει.
3 Αἰθερία δ' ἀνέπτα.
4 Σοὶ δ' οὔτε πατρὸς δόμοι,
5 Δύστανε, μεθορμίσασθαι
6 Μόχθων, πάρα τῶνδε λέκτρων,
7 Ἄλλα βασίλεια κρείσσων δόμοισιν ἐπέστη.

ΙΑΜΒΟΙ.

Ἰά. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
„ Τραχεῖαν ὀργήν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
Κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
Λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα, μὴ παύσῃ ποτὲ
Λέγουσ', Ἰάσων ὡς κάκιστος ἐστ' ἀνήρ.
„ Ἃ δ' εἰς τυράννους ἐστί σοι λελεγμένα,
„ Πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
Κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων
Ὀργὰς ἀφῄρουν, καί σ' ἐβουλόμην μένειν.
Σὺ δ' οὐκ ἀνίεις μωρίας, λέγουσ' ἀεὶ
Κακῶς τυράννους. τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
Ἥκω, τὸ σόν γε προσκοπούμενος γύναι,
Ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς,
„ Μήτ' ἐνδεής του. πόλλ' ἐφέλκεται φυγὴ

Digitized by Google

„ Κακὰ ξυνὼν αὐτῇ, καὶ γὰρ εἰ σύ με στυγεῖς.
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.
μη. Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν.
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει;
„ Οὔτοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
„ Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν.
„ Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
„ Πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.
Ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
Ψυχὴν κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων.
Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
Ταυτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
Ζεύγλῃσι, καὶ σπεροῦντα θανάσιμον γύην.
Δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις, ἄϋπνος ὢν,
Κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰαλκὸν ἱκόμην
Σὺν σοὶ, πρόθυμος μᾶλλον ἢ σοφωτέρα.
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν
Παίδων ὑπ' αὐτοῦ. πάντα τ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν ὦ κάκιστ' ἀνδρῶν παθὼν,
Προὔδωκας ἡμᾶς. καινὰ δ' ἐκτήσω λέχη,
Παίδων γεγώτων. εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
Σύγγνωστ' ἄν σοι, τοῦδ' ἐρασθῆναι λέχους.
Ὅρκων δὲ φρούδη πίστις. οὐδ' ἔχω μαθεῖν,
Ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
Ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τανῦν,
Ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
Κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
Ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
Δοκοῦσα μὲν τί πρός γε σοῦ πράξειν καλῶς,
Ὅμως δ', ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ.
Νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,

Οὓς

Digitized by Google

„ Mala ſecum. quamuis enim tu me oderis,
Non poſſem tibi male vnquam velle,
Med. O peſſime omnium (Hoc enim tibi poſſum dicere
Lingua ſummum conuicium in tuam ignauiam)
Veniſti ad nos, veniſti, qui es inuiſus
Diis, & mihi, & vniuerſo humano generi?
„ Iſta non eſt audacia, neque fortitudo,
„ Intueri coram amicos, quos iniuria affeceris:
„ *Sed grauiſſimus* inter homines morborum
„ Omnium *eſt* impudentia. bene tamẽ feciſti quod ve-
Ego enim leuabor animo, dicens [neris.
Tibi conuicia, & tu dolebis audiens *ea*.
Sed ab iis quæ prima ſunt, primũ incipiam dicere.
Seruaui te (vt norunt quicunque Græcorum
Conſcenderunt eandem nauim Argo)
Miſſum vt regeres tauros, ſpirantes flammas,
Iugis, & ſeminares letalem ſegetem:
Et dracone, qui cuſtodiens aureum vellus,
Seruabat multis voluminibus, ipſe peruigil exiſtens,
Occiſo, attuli tibi lucem ſalutarem.
Ipſa vero prodito patre, & domo mea,
Peliotem ad Iolcum veni
Tecum, promptior quam ſapientior.
Et occidi Peliã eo genere mortis, quod eſt miſerrimũ,
Per eius filias: omnemque tibi metum exemi.
His tamẽ beneficiis a me affectus, ô peſſime mortaliũ,
Prodidiſti me, nouosque tibi comparaſti lectos,
Cũ habeas liberos: ſi enĩ ſine liberis adhuc fuiſſes,
Ignoſcendum tibi fuiſſet, quod hunc amaſſes lectum.
Sed euanida eſt fides iuriſiurandi, neq; poſſum ſcire
An exiſtimes Deos q̃ tũc regnaũt, nõ ampliꝰ regnare:
An vero putes noua iura cõſtituta eſſe hominib. nũc,
Quia tibi conſcius es te non ſeruaſſe mihi fidem.
Hei dexteram manum. quam tu ſæpe apprehendiſti,
Et hæc genua tua, quam fruſtra ſumus exceptæ
Ab improbo marito, & ſpes meæ fruſtratæ ſunt me.
Age vero. colloquar enim tecum tanq̃ cum amico,
Figẽs q̃dẽ me ꝑclarũ aliq̃ beneficiũ a te acceptũ ã,
Tu tamen interrogatus videberis turpior.
Quo me nunc vertam? an ad domum patris,

Quibus tibi proditis, & patria, *huc* veni?
An ad miſeras filias Peliæ? ſcilicet illæ pulchre
Me reciperent in ſuas ædes, quarũ patrem interfeci.
Sic enim ſe res habet. amicis quidem domeſticis
Sum inuiſa: quos vero mihi non oportebat male
Facere, eos tibi gratificans, inimicos habeo.
Ergo inter multas Græcas me beatam
Feciſti, pro hiſce beneficiis. egregium vero te
Et fidum maritum habeo infelix ego.
Si vero fugiam expulſa ex hac terra,
Sola cum ſolis liberis orbata amicis,
Præclara vero gloria *erit tibi* nouo ſponſo,
Mendicos errare filios *tuos*, meque, qui te ſeruaui.
„ O Iupiter, quare auri quidem quod ſit adulterinum,
„ Clara ſigna hominibus dediſti?
„ Sed quo oporteat diſcerni malum virum,
„ Nullum ſignum ineſt corpori?
Cho. Grauis quædam ira; & ægre ſanabilis eſt,
„ Quando amici incipiunt contendere cum amicis.
Ia. Oportet me non ſegnem eſſe in dicendo, vt videtur,
Sed velut nauis prudentem gubernatorem
Summis oris veli ſubterfugere
Tuam effrænem loquacitatem, ô mulier.
Ego, poſtquam valde exaggeras tuum beneficium,
Exiſtimo meæ nauigationis Venerem
Seruatricem eſſe ſolam inter homines deoſque.
Tibi vero eſt quidem mens ſubtilis: at odioſa *eſt*
Hæc oratio, dum iactas, quod amor te coegerit
Laboribus ineuitabilibus meum eripere corpus.
Sed non accurate nimis iſta perſequar.
Quatenus igitur me iuuiſti, bene ſe res habet.
Atqui ſeruatione mei maiora beneficia
Accepiſti, quã dederis, quemadmodũ ego iam dicã.
Primum quidem pro barbara terra in Græca
Terra habitas, & ſcis ius,
Et legibus vti, non pro viribus agere.
Deinde omnes Græci ſenſerunt te eſſe ingenioſam,
Et adepta es gloriam, ſi vero in extremis terræ
Finibus habitares, nulla fieret mentio tui.
Mihi vero neque aurum ſit domi,

Nec

Digitized by Google

Οὓς σοὶ προδοῦσα, καὶ πάτραν, ἀφικόμην;
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
Ἔχει γὰρ οὕτω. τοῖς μὲν οἴκοθεν φίλοις
Ἐχθρὰ καθέστηχ'. οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾶν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
Ἔθηκας ἀντὶ τῶνδε. θαυμαστὸν δέ σε
Ἔχω πόσιν, καὶ πιστὸν, ἡ τάλαιν' ἐγώ.
Εἰ φεύξομαι δὲ γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
Καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
,, Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ,
,, Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
,, Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
,, Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Χο. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
,, Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ια. Δεῖ μ' ὡς ἔοικε μὴ κακὸν φῦναι λέγειν,
Ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον,
Ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
Τὴν σὴν στόμαργον ὦ γύναι γλωσσαλγίαν.
Ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτὸς, ἀλλ' ἐπίφθονος
Λόγος διελθεῖν, ὡς ἔρως σ' ἠνάγκασε
Πόνων ἀφύκτων τοὐμὸν ἐκσῶσαι δέμας.
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν.
Ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω,
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι,
Νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν.
Πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφήν.
Καὶ δόξαν ἔσχες. εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
Ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
,, Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,

,, Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
,, Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
Τοσαῦτα μὲν σοι τῶν ἐμῶν πόνων πέρι
Ἔλεξ'. ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
Καὶ παισὶ τοῖς ἐμοῖσιν. ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
Τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον,
Ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
Οὐχ ᾗ σὺ κνίζῃ. σὸν μὲν ἐχθαίρων λέχος,
Καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
Οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων.
Ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι.
Ἀλλ' ὡς τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
Καὶ μὴ σπανιζοίμεσθα· γιγνώσκων, ὅτι
,, Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος.
Παῖδας τε θρέψαιμ' ἀξίως δόμων ἐμῶν.
Σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Εἰς ταυτὸ θείην. καὶ συναρτήσας γένος,
Εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ;
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
Τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
,, Ἀλλ' εἰς τοσοῦτον ἥκεθ', ὥστ' ὀρθουμένης
,, Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε.
,, Ἢν δ' αὖ γένηται ξυμφορά τις εἰς λέχος,
,, Τὰ λῷστα καὶ κάλλιστα, πολεμιώτατα
,, Τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
,, Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος.
,, Οὕτω δ' ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
Χο. Ἴασον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους.
Ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην λέγω,
Δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.
Μη. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
,, Ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν, σοφὸς λέγειν
,, Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.
,, Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,

,, Nec Orphei carmen ſonare pulchrius velim,
,, Niſi illuſtris mihi contingat fortuna.
Atque hæc quidem tibi de meis laboribus
Dixi. certamen enim tu propoſuiſti verborum.
Cæterũ quę mihi maledicta de nuptiis regiis obieciſti,
In hoc monſtrabo primũ quidem quod ſim prudens,
Deinde caſtus, denique tibi magnus amicus,
Et meis liberis. Sed mane quieta.
Poſtquam huc veni ex Iolcica terra,
Multa mecum trahens,& magna incommoda,
Quod nam conſilium hoc melius potuiſſem inuenire,
Quam ducere filiam regis,cum eſſem exul?
Non vt tu me vellicas,odio quidẽ habens tuũ cõiugiũ,
Perculſus vero deſiderio nouæ ſponſæ,
Neq; certatim numeroſæ ſobolis procreandæ ſtudio.
(Sufficiunt enim qui nati ſunt,nec *ideo* conqueror)
Sed quod maximum eſt,vt commode viueremus,
Neq; *rerum neceſſariarum* inopia laboraremus,ſciẽs ꝙ
,, Pauperem omnes amici procul fugiunt:
Et vt liberos educarẽ, quẽadmodũ decet meã familiã,
Et gignens fratres liberis ex te *mihi procreatis*,
Vnum genus facerem,idque coniungens,
Beatius viuerem. tibi enim quid opus eſt liberis?
Et mihi conducit futurorum liberorum cauſa,
Eos,qui viuunt iuuare:an male conſultaui?
Ne tu quidẽ diceres hoc, niſi te offenderent nouæ nu-
,, Sed eo venitis,vt cum recte ſe habet [ptiæ.
,, Coniugium,putetis vos mulieres omnia habere:
,, Quod ſi contra calamitas aliqua inciderit in cõiugiũ,
,, Etiã ea quę ſunt optima, & pulcherrima inimiciſſima
,, Ducitis. oportebat autem homines aliunde [*vobis*
,, Gignere liberos,neque eſſe genus muliebre:
,, Sic enim homines nullum malum haberent.
Cho. Iaſon,pulchre tu quidem ornaſti tuam cauſam:
Mihi tamẽ,etiãſi præter animi mei ſentẽtiã *hoc* dicam,
Videris iniuſte feciſſe, quod prodidiſti tuam vxorem.
Med. Profecto multum a multis diſſentio mortalibus.
,, Mihi.n.ꝗſqꝗs iniuſtꝰ exiſtẽs,*tamẽ* ſapiẽs in dicẽdo
,, Eſt, maxima mulcta dignus videtur.
,, Nã cũ glorietur, ſe dicẽdo poſſe ornare iniuſtas cauſas,

Digitized by Google

„ Audet fallere: non eſt aũt admodum ſapiens, [*vtris,*
Sic & tu ne nunc apud me ſpecioſus ſis, *ſpecioſis verbis*
Et *ne ſis adeo* bonꝰ orator. Vnũ.n.verbũ occidet te.
Oportuit te, ſiq̃dẽ nõ feciſti malo aĩo, me priꝰ ꝑſuaſa,
Has nuptias contrahere, non autem clam amicis.

Iaſ. Pręclare vero mihi hac oratione tuã nauaſſes operã,
Si tibi nuptias *iſtas ante* declaraſsẽ, quę ne nũc quidem
Vis remittere magnam iracundiam animi.

Med. Non hoc te mouit: ſed barbara coniunx
Non ſatis glorioſa tibi in ſenectute fuiſſet.

Iaſ. Hoc nunc probe ſcias, non propter mulierem
Me duxiſſe filiam Regis, quam nunc habeo:
Sed, vt antea dixi, *eam duxi*, volens ſeruare
Te, & meis liberis fratres
Regios gignere, ꝓpugnaculũ domꝰ. [tam moleſtiã,

Med. Ne contingat mihi talis beata vita, q̃ afferat mihi tan-
„ Neq; diuitiæ, quæ meum animum dolore afficiant.

Iaſ. Sciſne quomodo mei cõpos fies. & ſapietior videberis?
Bona ne tibi moleſta videantur vnquam.
Nec putato te eſſe infelicem, cum ſis felix.

Med. Inſulta *mihi*, quandoquidem tibi quidẽ eſt refugium.
Ego vero deſerta fugiam ex hac terra.

Iaſ. Tu ipſa hæc elegiſti, nullum alium accuſa.

Med. Quid faciens? num *alteri* nubens, aut prodens te?

Iaſ. Imprecationes regibus impias imprecans.

Med. Et diris deuota ſum, *deuoueor* in tuis ædibus.

Iaſ. Sed non litigabo tecum de his diutius.
Si vero vis pueris, aut exilio tuo aliquod
Subſidium de mea pecunia accipere,
Dicito: quia ſum paratus larga manu dare,
Et mittere hoſpitibus teſſeras, vt tibi benefaciant.
Si hæc non vis, ſtulta es, ô mulier:
Deſiſtens vero ab ira, lucraberis meliora.

Med. Neque tuis hoſpitibus vtemur,
Neq; quicquã accipiemus, neq; *quidquam* nobis des.
„ Improbi .n. viri dona iuuamẽ non habẽt, *nihil iuuant*.

Iaſ. Ego tamen teſtor deos,
Quod volo tibi liberiſque omnia ſuppeditare:
Tibi vero non placent bona: ſed cum contumacia
Amicos repellis. quamobrem dolebis magis.

Med.

Digitized by Google

Τολμᾷ πανουργεῖν. ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ,
Λέγειν τε δεινός. ἓν γὰρ ἐκτενεῖ σ' ἔπος.
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
ἰά. Καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
μή. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
ἰά. Εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα βασιλέως, ἃ νῦν ἔχω.
Ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
Σέ. καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
μή. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
ἰά. Οἶσθ' ὡς μετεύξῃ, καὶ σοφωτέρα φανῇ;
Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ.
Μηδ' εὐτυχοῦσα, δυστυχὴς εἶναι δόκει.
μή. Ὕβριζ', ἐπειδὴ σοὶ μέν ἐστ' ἀποστροφή.
Ἐγὼ δ' ἔρημος τήνδε φεύξομαι χθόνα.
ἰά. Αὐτὴ τάδ' εἵλου. μηδέν' ἄλλον αἰτιῶ.
μή. Τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;
ἰά. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
μή. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ἰά. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ' εἴ τι βούλει παισὶν ἢ σαυτῆς φυγῇ
Προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'. ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ,
Καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς γύναι.
Λήξασα δ' ὀργῆς, κερδανεῖς ἀμείνονα.
μή. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν,
Οὔτ' ἄν τι δεξαίμεσθα. μηδ' ἡμῖν δίδου.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ἰά. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
Ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω.
Σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
Φίλους ἀπωθῇ. τοιγὰρ ἀλγυνῇ πλέον.

μη. Χαῖρε. πόθος γὰρ τῆς νεοδμήτου κόρης
Αἱρεῖ, χρονίζων δωμάτων ἐξώπιος.
Νύμφαι δ', ἴσως γάρ, σὺν θεῷ δ' εἰρήσεται,
Γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι γάμον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Ἔρωτες ὑπὲρ μὲν ἄγαν
2 Ἐλθόντες, οὐκ εὐδοξίαν,
3 Οὐδ' ἀρετὰν παρέδωκαν
4 Ἀνδράσιν. εἰ δ' ἅλις ἔλθοι
5 Κύπρις, οὐκ ἄλλα θεὸς
6 Εὔχαρις οὕτω.
7 Μή ποτ' ὦ δέσποιν' ἐπ' ἐμοὶ
8 Χρυσέων τόξων ἐφίης
9 Ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.

Ἀντιστροφὴ α'.

,, 1 Στέργοι δέ με σωφροσύνα,
,, 2 Δώρημα κάλλιστον θεῶν.
3 Μηδέ ποτ' ἀμφιλόγους ὀρ-
4 γὰς, ἀκόρεστά τε νείκη
5 Θυμὸν ἐκπλήξασ' ἑτέ-
6 ροις ἐπὶ λέκτροις
7 Προσβάλοι με. ὦ δεινὰ Κύπρις,
8 Ἀπολέμους εὐνὰς σεβίζου-
9 σ', ὀξύφρων κρίνοι λέχη γυναικῶν.

Στροφὴ β'.

1 Ὦ πατρὶς, ὦ δῶμά τ' ἐμὸν,
2 Μὴ δῆτ' ἄπολις γενοίμαν,
3 Τὸν ἀμηχανίας ἔχουσα
4 Δυσπέρατον αἰῶ-
5 ν' οἰκτροτάτων ἀχέων.
6 Θανάτῳ θανάτῳ πάρος δαμείην,
,, 7 Ἁμέραν τάνδ' ἐξανύσασα. Μόχθων
,, 8 Δ' οὐκ ἄλλος ὕπερθεν
,, 9 Ἢ γᾶς πατρίας στέρεσθαι.

Ἀντιστροφὴ β'.

1 Εἴδομεν, οὐκ ἐξ ἑτέρων
2 Μύθων ἔχομεν φράσασθαι.
3 Σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
4 Ὤκτειρε, παθοῦσαν

5 Δεινό-

Med. Vade. amore enim nouæ ſponſæ
Captus maceraris, tardans extra domum.
Duc eam: fortaſſis enim (cum Deo autem dicetur)
Eas celebrabis nuptias, quas tu ipſe *poſtea pœnitentia ductus* recuſabis.

ANTISTROPHICA. *Strophe I.*

Ch. Amores quidem nimium immoderati
Venientes, non bonum nomen,
Neque laudem, *gloriamq;* conciliant
Viris: ſi vero moderate veniat
Venus, non *eſt* alia Dea
Æque grata.
Nunquam ô domina, aduerſus me
Emittas ex aureis arcubus
Ineuitabile telum, perunctum deſiderio.

Antiſtrophe I.

,, Pudicitia vero me delectat,
,, Pulcherrimum donum deorum.
Nunquam ambigua certa-
mina, & inſatiabiles *i. immodicas* rixas
Conſternata animo propter ali-
ud coniugium,
Miſceam. O potens Venus,
Pacata coniugia colens,
Acutã ingenii aciem habẽs diſcerne lectos mulierum.

Strophe II.

O patria, ô domus mea,
Nunquam fiam exul,
Habens paupertatis
Transactu difficilem vitam,
In acerbiſſimis doloribus.
Morte, morte prius domer,
,, Hoc die confecto. Malum enim
,, Non eſt aliud maius,
,, Quam ſolo patrio priuari.

Antiſtrophe II.

Vidimus, non ex alienis
Sermonibus *hæc* poſſumus referre.
Te enim neque ciuitas, neque aliquis amicorum
Miſeratus eſt, quæ paſſa es

5 Gra-

Digitized by Google

5 Grauiſſima mala.
,, 6 Pereat inuiſus, qui non vult
,, 7 Amicos iuuare, aperiens candidam
,, 8 Clauem pectoris,
,, 9 Nec mihi vnquam erit amicus *talis*.

Ægeus.

Salue Medea. hoc enim exordio
Pulchrius nemo nouit *aliud* ad ſalutandum amicos.

Med. Salue & tu ô fili ſapientis Pandionis,
Ægeu, vnde accedis ſolum huius terræ?
Æg. Relicto antiquo ſacello Apollinis.
Med. Quare vero ad vmbilicū terræ, vbi eſt oraculum, *iuiſti*?
Æg. Quærens quomodo mihi contingat ſatio liberorum.
Med. Per Deos, ergo ſine liberis adhuc trahis vitam?
Æg. Sumus ſine liberis, Dæmonis alicuius inuidia.
Med. Cum habeas vxorem, an es ſine vxore?
Æg. Non ſumus lecti nuptialis expertes.
Med. Quid igitur dixit tibi Phœbus de liberis?
Æg. Obſcuriora verba, q̃ vt poſſit homo coniicere.
Med. Eſt ne fas nos ſcire oraculū Dei? [*tūq; poſtulat ingeniū.*
Æg. Maxime, quandoquidē & ſapiētis indiget mentis, *acu-*
Med. Quid igitur reſpondit? dicito, ſi fas eſt audire.
Æg. Ne ego prominentem vtris ſoluerem pedem.
Med. Priuſquam quid facias, aut ad quam terrā venias?
Æg. Priuſquam patrios rurſus *ad* lares venero.
Med. Tu vero qua re indigens nauigas in hanc terram?
Æg. Eſt quiſpiam Pittheus, rex terræ Trœzeniæ.
Med. Filius Pelopis, vt aiunt, piiſſimus.
Æg. Cum hoc Dei oraculum communicare volo.
Med. Eſt. n. vir ſapiens, & exercitatiſſimus in huiuſmodi *reb.*
Æg. Et mihi chariſſimus amicorū, quos in militia paraui.
Med. Bene igitur tecum agatur, & conſequaris quæ expetis.
Æg. Quare vero oculi tui, & corpus, ita contabuerunt?
Med. Ægeu, peſſimus eſt mihi omnium maritus.
Æg. Quid ais? dic mihi aperte tuam triſtitiam.
Med. Iaſon iniuria me afficit, nulla a me affectus.
Æg. Quo facinore facto? dic mihi apertius,
Med. Habet aliā vxorem præter me, dominā huius domus.
Æg. An igitur auſus eſt hanc turpiſſimam rem?
Med. Certo ſciās. nos vero qui ante eramus amici, reiecti ſumus ignominioſe.

Æg.

Δεινότατον παθέων.
„ Ἀχάριστος ὄλοιθ᾽, ὅτῳ παρέστι
„ Μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοίξαν-
„ τι κλῇδα φρενῶν.
„ Κἀμοὶ φίλος οὔ ποτ᾽ ἔσται.

ΙΑΜΒΟΙ.

αἰ. Μήδεια χαῖρε. τοῦδε γὰρ προοίμιον
Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλοις.
μη. Ὦ χαῖρε καὶ σὺ παῖ σοφοῦ Πανδίονος
Αἰγεῦ. πόθεν γῆς τῆσδ᾽ ἐπιστρωφᾷ πέδον;
αἰ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
μη. Τί δ᾽ ὀμφαλὸν γῆς θεσπιῳδὸν ἱκάνεις;
αἰ. Παίδων ἐρευνῶν σπέρμ᾽, ὅπως γένοιτό μοι.
μη. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ᾽ ἀεὶ τείνεις βίον;
αἰ. Ἄπαιδές ἐσμεν, δαίμονός τινος τύχῃ.
μη. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
αἰ. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
μη. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
αἰ. Σοφώτερ᾽, ἢ κατ᾽ ἄνδρα συμβαλεῖν, ἔπη.
μη. Θέμις δ᾽ αὖ ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
αἰ. Μάλιστ᾽, ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
μη. Τί δῆτ᾽ ἔχρησε, λέξον εἰ θέμις κλύειν.
αἰ. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.
μη. Πρὶν ἂν τί δράσῃς, ἢ τίν᾽ ἐξίκῃ χθόνα;
αἰ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
μη. Σὺ δ᾽ ὡς τί χρῄζων, τήνδε ναυστολεῖς χθόνα.
αἰ. Πιτθεύς τις ἐστὶ γῆς ἄναξ Τροιζηνίας.
μη. Παῖς ὡς λέγουσι Πέλοπος, εὐσεβέστατος.
αἰ. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
μη. Σοφὸς γὰρ ἀνήρ, καὶ τρίβων τὰ τοιάδε.
αἰ. Κἀμοί γε πάντων φίλτατος δορυξένων.
μη. Ἀλλ᾽ εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
αἰ. Τί γὰρ σὸν ὄμμα, χρώς τε συντέτηχ᾽ ὅδε;
μη. Αἰγεῦ. κάκιστός ἐστί μοι πάντων πόσις.
αἰ. Τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
μη. Ἀδικεῖ μ᾽ Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
αἰ. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
μη. Γυναῖκ᾽ ἐφ᾽ ἡμῖν δεσπότιν δόμων ἔχει.
αἰ. Ἦ που τετόλμηκ᾽ ἔργον αἴσχιστον τόδε;
μη. Σάφ᾽ ἴσθ᾽. ἄτιμοι δ᾽ ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.

αἰ.

Digitized by Google

αἰ. Πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
μη. Μέγαν γ᾽ ἔρωτα. πιστὸς οὐκ ἔφυ φίλοις.
αἰ. Ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶ κακός.
μη. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
αἰ. Δίδωσι δ᾽ αὐτῷ τίς; πέραινέ μοι λόγον.
μη. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
αἰ. Συγγνωστὰ μὲν γὰρ ἦν, σε λυπεῖσθαι, γύναι.
μη. Ὄλωλα. καὶ πρός γ᾽ ἐξελαύνομαι χθονός.
αἰ. Πρὸς τοῦ; τόδ᾽ ἄλλο καινὸν αὖ λέγεις κακόν.
μη. Κρέων μ᾽ ἐλαύνει φυγάδα τῆσδ᾽ ἔξω χθονός.
αἰ. Ἐᾷ δ᾽ Ἰάσων; οὐδὲ ταῦτ᾽ ἐπήνεσα.
μη. Λόγῳ μὲν οὐχὶ, καρτερεῖν δὲ βούλεται.
Ἀλλ᾽ ἀντομαί σε τῆσδε πρὸς γενειάδος,
Γονάτων τε τῶν σῶν, ἱκεσία δὴ γίγνομαι,
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ᾽ ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς.
Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
Γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
Εὕρημα δ᾽ οὐκ οἶσθ᾽ οἷον εὕρηκας τόδε.
Παύσω δέ σ᾽ ὄντ᾽ ἄπαιδα, καὶ παίδων γονὰς
Σπεῖραί σε θήσω. τοιάδ᾽ οἶδα φάρμακα.
αἰ. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν
Γύναι πρόθυμός εἰμι. πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων, ὧν ἐπαγγέλλῃ γονάς.
Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ᾽ ἔχοιμι. σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
Τοσόνγε μέντοι σοὶ προσημαίνω γύναι,
Ἐκ τῆσδε μὲν γῆς οὔ σ᾽ ἄγειν βουλήσομαι.
Αὐτὴ δ᾽ ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ ποτε.
Ἐκ τοῦδε δ᾽ αὐτὴ γῆς ἀπαλλάσσου πόδα.
Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
μη. Ἔσται τάδ᾽. ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων, ἔχοιμ᾽ ἂν πάντα πρὸς σέθεν καλῶς.
αἰ. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
μη. Πέποιθα. Πελίου δ᾽ ἐχθρός ἐστί μοι δόμος,
Κρέων τε. τούτοις δ᾽, ὁρκίοισι μὲν ζυγεὶς,
Ἄγουσιν οὐ μεθεῖσαν ἐκ γαίας ἐμέ.

Λόγοις

Æg. Vtrum *alterius* amore captus, an tuum exoſus lectum?
Med. Magno ſane amore *captus.* fidelis non fuit amicis.
Æg. Eat ergo nunc, ſiquidem eſt malus, vt dicis.
Med. Cupiuit accipere affinitatem regum.
Æg. Quis vero dat ei? pertexe hanc orationem.
Med. Creon, qui dominus eſt huius terræ Corinthiacæ.
Æg. Ignoſcendum igitur tibi eſt, quod doles, ô mulier.
Med. Perii, præter hoc etiam expellor ex hac terra.
Æg. A quo? hoc aliud, rurſus nouum narras malum.
Med. Creon me exulem expellit ex hac terra.
Æg. Et permittit Iaſon? ne hæc quidem laudo.
Med, Verbis quidem non *permittit hoc:* ſed *tamen reipſa* pati
Sed rogo te ſupplex per genas has, [vult.
Et tua genua, ſupplex iam *tibi* fio.
Miſerere, miſerere mei infelicis,
Neque me deſertam, *ac* eiectam aſpicias:
Sed recipe me hoſpitam in tuam regionem & domũ.
Sic tibi amor a Diis fœcundus
Liberis fiat, & ipſe beatus moriaris.
Lucrum autem non ſcis quantum inueneris hîc.
Faciam enim vt non amplius ſis ſine liberis, ſed liberos
Procreare vt poſſis efficiam. talia pharmaca noui.
Æg. Propter multa tibi hanc gratiam dare
Sum paratus, ô mulier. Primũ quidẽ ꝓpter deos,
Deinde propter liberos, quorũ generationẽ promittis.
Ad hoc enim ego iam prorſus ſum ineptus.
Sic vero, habebo. Tu igitur vbi veneris *in Atticũ* agrũ,
Conabor te hoſpitio excipere, quia ſum iuſtus.
Tantum vero hoc tibi prædico mulier,
Nolo tamen te ex hac terra abducere:
Quod ſi ipſa veneris in meam domum,
Manebis ibi tuta, neque dimittam te vnquam.
Ex hoc vero agro tu ipſa diſcedens effer pedem.
Inculpabilis enim etiam apud hoſpites eſſe volo.
Med. Erunt hæc, *& ita fient:* ſed ſi fides daretur mihi
Horum, haberem omnia præclare a te.
Æg. An non confidis? aut quid tibi eſt moleſtum?
Med. Confido. Sed domus Peliæ eſt mihi inimica,
Et Creon. his.n. ſi iureiurando deuinctus fueris,
Abducere volẽtib. me ex agro non ꝑmittes, *nec trades.*

Verbis

Verbis vero cōpoſitione facta, & diis iureiurando ob-
Amicꝰ eris *mihi*, & *inimicorū meorū* legationib. [ſtrictꝰ,
Nō parebis, *vt ipſis me dedas*. Res.n.meę ſunt infirmæ.
Illis vero ſunt opes, & domus regia.

Æg. Oſtendiſti magnam prouidentiam in tua oratione.
Sed ſi placet tibi hæc facere, non recuſo:
Mihi enim hæc quoque tutiora ſunt,
Si oſtendere poſſim aliquā excuſationē tuis inimicis,
Et tua res erit firmior. præi verbis quos iurē deos.

Med. Iura ſolum terræ, & Solem patrem patris
Mei, & totum ſimul genus Deorum,

Æg. Quam rem facturum, aut quid non facturum? dicito.

Med. Quod neq; tu eiecturus me ſis vnquam e terra,
Neq; alius ſi quis meorū inimicorū me abducere
Velit, permiſſurum te id viuentem, & volentem.

Æg. Iuro terram, & ſplendidum lumen Solis,
Et omnes deos, me his ſtaturum, quæ ex te audio.

Med. Satis eſt. quid aūt patieris, ſi nō p̄ſtiteris hoc iuſiurādū?

Æg. Quæ hominibus impiis ſolent accidere.

Med. Lætus abi: omnia enim recte ſe habent.
Et ego *in* tuam ciuitatem quamprimum veniam,
Vbi confecero quæ paro. & cōſecuta fuero quę volo.

Chorus.

Sed te rex, natus ex Maia, deductor
Ducat domum,
Et ea, quæcunque in animo habens feſtinas,
Perficias. quia præſtans vir,
Ægeu, apud me, *meo iudicio*, viſus es.

Medea.

O Iupiter, & vindicta Iouis, & lumen ſolis,
Nunc glorioſę victrices meorū inimicorū, ô amicę,
Erimus, & in *rectam* viam ſumus ingreſſæ.
Nunc demum ſpes eſt meos hoſtes daturos poenas:
Hic enim vir, qua parte maxime laborabamus,
Apparuit portus meorum conſiliorum,
Ex hoc ſuſpendemus rudentem in puppe,
Vbi venerimus in ciuitatem, & vrbem Palladis.
Iam vero tibi omnia mea conſilia
Dicam. expecta vero non iucunda verba,
Miſſo aliquo ex meis domeſticis, vt Iaſon

Veniat

Digitized by Google

Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἐνώμοτος,
Φίλος γένοι' ἂν, κἀπικηρυκεύμασιν
Οὐκ ἂν πίθοιο. τἀμὰ μὲν γὰρ ἀσθενῆ.
Τοῖς δ' ὄλβος ἐστὶ, καὶ δόμος τυραννικός.
αι. Πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν.
Ἀλλ' εἰ δοκεῖ σοι δρᾶν τάδ', οὐκ ἀφίσταμαι.
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστερα,
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι.
Τὸ σὸν δ' ἄραρε μᾶλλον. ἐξηγοῦ θεούς.
μη. Ὄμνυ πέδον γῆς, πατέρα θ' ἥλιον πατρὸς
Τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.
αι. Τί χρῆμα δράσειν; ἢ τί μὴ δράσειν, λέγε.
μη. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε.
Μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
αι. Ὄμνυμι γαῖαν, λαμπρὸν ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμενεῖν ἅ σου κλύω.
μη. Ἀρκεῖ. τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις
αι. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
μη. Χαίρων πορεύου. πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

χο. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις.
Ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων,
Πράξειας. ἐπεὶ γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

ΙΑΜΒΟΙ.

μη. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἡλίου τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν.
Νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
Οὗτος γὰρ ἁνὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων.
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄστυ, καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω. δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονι

Εἰς

Digitized by Google

Εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι.
Μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους,
Ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχειν
Γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει.
Καὶ ξύμφορ᾽ εἶναι, καὶ καλῶς εἰργασμένα.
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
Οὐχ ὡς λιποῦσα πολεμίων ἐπὶ χθονὸς
Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
Ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν,
Νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,
Λεπτόν τε πέπλον, καὶ πλόκον χρυσήλατον.
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς θ᾽ ὃς ἂν θίγῃ κόρης.
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνταῦθα μέντοι τόνδ᾽ ἀπαλλάσσω λόγον.
Ὤιμωξα δ᾽, οἷον ἔργον ἔστ᾽ ἐργαστέον
Τοὐντεῦθεν ἡμῖν. τέκνα γὰρ κατακτενῶ
Τἀμ᾽. οὔτις ἐστὶν ὅστις ἐξαιρήσεται.
Δόμον τε πάντα συγχέασ᾽ Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ᾽ ἔργον ἀνοσιώτατον.
„ Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω. τί μοι ζῆν κέρδος; οὔτ᾽ ἐμοὶ πατρὶς,
Οὔτ᾽ οἶκος ἐστὶν, οὔτ᾽ ἀποστροφὴ κακῶν.
Ἡμάρτανον τόθ᾽, ἡνίκ᾽ ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
Πεισθεῖσ᾽, ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
Οὔτ᾽ ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
Ζῶντας τὸ λοιπὸν, οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ᾽. ἐπεὶ κακῶς κακὴν
Θανεῖν σφ᾽ ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μηδ᾽ ἡσυχαίαν. ἀλλὰ θατέρου τρόπου,
„ Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ.
„ Τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.
χο. Ἐπείπερ ἡμῖν τόνδ᾽ ἐκοίνωσας λόγον,
Σέ τ᾽ ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ᾽ ἀπεννέπω τάδε.
μη. Οὐκ ἔστιν ἄλλως. σοὶ δὲ συγγνώμη λέγειν

Τάδ᾽

Veniat in meum conſpectum poſtulabo.
Ipſi vero profecto blanda dicam verba,
Quod & mihi hæc placeant,& quod bene ſe habeant
Nuptiæ regiæ, quas prodita me habet,
Et vtilia *hæc* eſſe,& recte facta.
Petam vero vt liberi mei maneant:
Non vt relictura hoſtium in agro
Filios meos inimicis contumelia afficiendos:
Sed vt dolo filiam regis interficiam,
Mittam enim eos,habentes dona in manibus,
Et ferentes ſponſæ,ne pellantur ex hac terra,
Tenuem veſtẽ, & cirrũ auro textũ. *vel,coronã auream.*
Ea ſi acceptum ornamentum circundederit corpori,
Miſere peribit,& omnis qui attigerit puellam,
Huiusmodi pharmacis perungam dona.
Hic autem finio hunc ſermonem.
Lugebo autem,quale facinus eſt faciendum
Deinde nobis.interficiam enim liberos
Meos,nemo eſt qui poſſit eos eripere:
Domumq; totam Iaſonis vbi miſcuero *luctu,*
Exibo ex hac terra,necẽ chariſſimorũ liberorum
Fugiens,& auſa facinus impiiſſimum.
,, Nõ .n. ferendũ eſt vt derideamur ab inimicis,ô amicę,
Actum ſit. quid me iuuat viuere? neq; mihi patria
Eſt,neque domus,nec *vllum* effugium malorum.
Peccaui tunc,quando reliqui
Domum paternam,verbis viri Græci
Perſuaſa:qui mihi pœnas dabit Deo volente.
Nam nunquam liberos, quos ex me ſuſtulit, videbit
Deinceps viuos:neque ex noua
Sponſa gignet liberos,quia malam male
Perire ipſam neceſſe eſt meis pharmacis.
Nemo me ignauam,& imbecillem exiſtimet,
Neque tranquillam:ſed alterius ingenii,
,, Grauem inimicis,& benignam amicis.
,, Huiusmodi enim hominũ vita eſt glorioſiſſima.
Cho. Quandoquidẽ nobiſcũ communicaſti hũc ſermonem,
Tibiq; prodeſſe volens,& legibus mortalium
Opitulans,dehortor te ab his faciendis.
Med. Non erit aliter. tibi vero venia danda eſt, quod dicas

Iſta, quæ non ea mala pateris, quæ ego.
Cho. An igitur audebis tuos liberos occidere mulier?
Med. Sic enim maxime cruciabitur maritus.
Cho. Tu vero eris miſerrima mulier.
Med. Eſto. Superflui ſunt intermedii ſermones.
Sed age vade, & adducito Iaſonem.
(Ad omnia enim fidelia te vtimur.)
Nihil autem dices eorum quæ decreui.
Si modo bene vis dominæ, & es mulier.

ANTISTROPHICA.

Strophe I.

Ch, 1 O Erechthidæ quondam beati,
2 Et deorum filii beatorum,
3 Sacræ terræ, intactæque
4 Qui depaſcitis
5 Nobiliſſimam ſapientiam,
6 Semper per luncidiſſimum
7 Ætherem iucunde ambulantes,
8 Vbi aliquando caſtas
9 Nouem Pierides
10 Muſas dicunt
11 Genuiſſe flauam Harmoniam.

Antiſtrophe I.

1 Pulchrifluique ad Cephiſi fluenta
2 Venerem ferunt *ex Cephiſo* exhauri-
3 entem, regionem perflaſſe,
4 Mediocres ventorum,
5 Dulce ſpirantes auras.
6 Semper autem iniicientem
7 Comis fragrans roſe-
8 orum ſertum florum,
9 Sapientiæ aſſeſſores
10 Mittere amores,
11 Variæ virtutis adiutores.

Strophe II.

1 Quomodo igitur ſacrorum fluuiorum
2 Ant vrbs, aut amicorum
3 Regio te *ad ſe* deductam,
4 Interfectricem *tuorum* liberorum recipiet,
5 Non puram, *nec piam mulierem?* cum aliis

6 Conſi-

Τάδ᾽ ἐστὶ, μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς.
Χο. Ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις γύναι;
Μη. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
Χο. Σὺ δ᾽ ἂν γένοιό γ᾽ ἀθλιωτάτη γυνή.
Μη. Ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
Ἀλλ᾽ εἶα χώρει, καὶ κόμιζ᾽ Ἰάσονα.
Εἰς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων.
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ᾽ ἔφυς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι.
2 Καὶ θεῶν παῖδες μακάρων.
3 Ἱερᾶς χώρας, ἀπορθήτου
4 Τ᾽ ἀποφερβόμενοι
5 Κλεινοτάταν σοφίαν,
6 Αἰεὶ διὰ λαμπροτάτου
7 Βαίνοντες ἁβρῶς αἰθέρος·
8 Ἔνθα ποθ᾽ ἁγνὰς
9 Ἐννέα πιερίδας
10 Λέγουσι μούσας
11 Ξανθὰν Ἁρμονίαν φυτεῦσαι.

Ἀντιστροφὴ α΄.

1 Καλλινάου τ᾽ ἐπὶ Κηφισοῦ ῥοαῖς
2 Τὰν Κύπριν κλῄζουσιν ἀφυ-
3 σαμέναν χώραν καταπνεῦσαι
4 Μετρίας ἀνέμων
5 Ἡδυπνόους αὔρας.
6 Αἰεὶ δ᾽ ἐπιβαλλομέναν
7 Χαίταισιν εὐώδη ῥοδέ-
8 ων πλόκον ἀνθέων,
9 Τᾷ σοφίᾳ παρέδρους
10 Πέμπειν ἔρωτας,
11 Παντοίας ἀρετᾶς ξυνεργούς.

Στροφὴ β΄.

1 Πῶς οὖν ἱερῶν ποταμῶν
2 Ἡ πόλις, ἢ φίλων
3 Πόμπιμόν σε χώρα
4 Τὰν παιδολέτειραν ἕξει.
5 Τὰν οὐχ ὁσίαν; μετ᾽ ἄλλων

Σκέψαι τεκέων πλαγὰν,
Σκέψαι φόνον οἷον αἴρῃ.
Μὴ, πρὸς γονάτων σε πάντες
Πάντως ἱκετεύομεν,
Μὴ τέκνα φονεύσῃς.

Ἀντιστροφὴ β΄.

Πῶς δὲ θράσος ἢ φρενὸς, ἢ
Χειρὶ τέκνων σέθεν,
Καρδίᾳ τε λήψῃ,
Δεινὰν προσάγουσα τόλμαν;
Πῶς δ᾽ ὄμματα προσβαλοῦσα
Τέκνοις, ἄδακρυν μοῖραν
Σχήσεις; φόνου οὐ δυνήσῃ,
Παίδων ἱκετᾶν πιτνόντων,
Τέγξαι χέρα φοινίαν
Ἐν τλάμονι θυμῷ.

ΙΑΜΒΟΙ.

ἰά. Ἥκω κελευσθείς. καὶ γὰρ οὖσα δυσμενὴς,
Οὐκ ἂν γ᾽ ἁμάρτοις τοῦδέ γ᾽, ἀλλ᾽ ἀκούσομαι.
Τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ γύναι.
μη. Ἴασον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον᾽ εἶναι. τὰς δ᾽ ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ᾽, ἐπεὶ νῷν πόλλ᾽ ὑπείργασται φίλα,
Ἐγὼ δ᾽ ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Κἀλοιδόρησα. σχετλία, τί μαίνομαι,
Καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ;
Ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι,
Πόσει θ᾽, ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες. οἶδα δὲ χθόνα
Φεύγοντας ἡμᾶς, καὶ σπανίζοντας φίλων.
Ταῦτ᾽ ἐννοηθεῖσ᾽, ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη,
Νῦν οὖν ἐπαινῶ. σωφρονεῖν τ᾽ ἐμοὶ δοκεῖς,
Κῆδος τόδ᾽ ἡμῖν προσλαβών. ἐγὼ δ᾽ ἄφρων,
Ἧι χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
Καὶ ξυμπεραίνειν, καὶ παρεστάναι λέχει,
Νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.

Ἀλλ᾽

6 Conſidera liberorum plagam, *cædemque*,
7 Conſidera cædem, quam *faciendam* ſuſcipis.
8 Ne, per genua te omnes
9 Supplices vehementer oramus,
10 Ne *tuos* liberos interficias.

Antiſtrophe II.

1 Quomodo vero confidentiam aut *in* mente, aut
2 Manu, de tuis liberis,
3 Et animo ſumes,
4 Immanem admouens audaciam?
5 Quomodo etiam oculis coniectis
6 In filios, lachrymarum expertem ſortem
7 Continebis? *in* cæde non poteris,
8 Liberis ſupplicibus cadentibus,
9 Madefacere manum cæde cruentam
10 In miſero animo.

Iaſon.

Venio vocatus: etenim quamuis *mihi* ſis infenſa,
Tamen non fruſtraberis hac re, ſed audiam
Quam rem nouam ex me velis mulier.

Med. Iaſon, rogo te vt ea mihi, quæ dicta ſunt,
Condones. meas enim iras *te* ferre
Æquum certe *eſt*, q͂a ſunt multa beneficia præſtita inter nos mutuo.
Ego enim mecum ipſa ratione inii,
Et conuiciata ſum *mihi:* miſera, quid inſanio?
Et iraſcor illis, qui rebus bene conſulunt?
Inimica vero terræ *huius* dominis ſum facta,
Et marito, qui parat mihi vtiliſſima,
Ducens puellam regiam, & fratres liberis
Meis gignens? an non *tandem* miſſam faciam
Iram? quid doleo, cum dii dent bona?
Nonne ſunt mihi liberi? ſcio autem e terra
Fugituros nos, & carituros amicis.
His animo agitatis, agnoui imprudentiam
Magnam *me* habere, & fruſtra iratam eſſe.
Nunc igitur laudo *te*, ſapereque mihi videris,
Qui aſſumpſeris nobis hãc affinitatẽ. ego vero ſtulta,
Quam oportebat participẽ horum conſiliorum,
Et ſimul perficere, & aſtare lecto,
Et gaudere quod ſponſa te curet.

„ Sed ſumus *id*, quod ſumus, non dicam malum,
„ Mulieres. nõ igitur oportet te imitari malos *mores noſtros*,
„ Neque reddere ſtulta pro ſtultis.
Concedimus,& dicimus nos male ſenſiſſe
Tunc,ſed nunc melius hæc conſideraui.
O liberi,liberi venite huc, relinquite tecta.
Exite,ſalutate,& compellate
Patrem nobiſcum,& reconciliamini ſimul
Ex priori odio *ſuſcepto* aduerſus amicos,cum matre.
Fœdus enim eſt nobis,& *omnis* receſſit ira.
Præhendite manum dextram. Heu mihi *propter* mala,
Dum cogito de quodã facinore quod eſt occultũ.
An igitur ô filii,ſic & longum viuentes tempus,
Charam præbebitis manũ? miſera ego,
Vt recẽs ad lachrymas ꝓfundẽdas ꝓcliuis facta ſum,& metus plena.
Ex lõgo .n. interuallo *ꝓpter* cõtentionẽ abducẽs vos a patre,
Impleui tenerã hãc faciem lachrymis.

Cho. Et mihi ex oculis recentes eruperunt lachrymæ.
Atq; vtinam non euadat maius malũ,quam nunc eſt.

Iaſ. Probo hæc mulier, neque illa improbo.
Veriſimile enim eſt, *nec mirũ* iraſci fœmineum genus
Marito nuptias alienas mercanti,*ſibiq; cõparanti.*
At in melius tuum mutatum eſt cor.
Agnouiſti vero *meliorem,atq;* victricem,ſed ſero,
„ Sententiam. hęc *ſunt* facta mulieris ſapientis.
Vobis vero liberi non inconſulte pater
Comparauit multam ſalutem cum diis,*i. deorũ fauore.*
Exiſtimo enim vos huius terræ Corinthiacæ
Principes fore cum fratribus cęteris *ex Glauca ſuſcipiendis.*
Sed creſcite. reliqua enim perficiet
Pater,& quiſquis deorum fauerit *vobis.*
Vtinã vero vos videã bene educatos, ad finem pubertatis
Peruenire,ſuperiores meis inimicis.
Quid tu rigas pupillas teneris lachrymis,
Auertens retro candidas genas,
Neque libenti animo a me accipis hunc ſermonem?

Med. Nihil eſt cauſæ, de liberis hiſce cogito.

Iaſ. Confide nunc. ego enim bene curabo hæc.

Med. Faciam hæc, non diffidam tuis verbis. *vel, parebo t. v.*
„ Mulier vero eſt ſexus naturâ mollis, & ad lachrymas procliuis.

Iaſ.

Digitized by Google

„ Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν,
„ Γυναῖκες. οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
„ Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τότ'. ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα τέκνα, δεῦτε, λείπετε στέγας.
Ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα.
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν.
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ' ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον,
Φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
Ὡς ἀρτίδακρύς εἰμι, καὶ φόβου πλέα.
Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
Ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
χο. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ.
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.
ἰά. Αἰνῶ γύναι τάδ'. οὐδ' ἐκεῖνα μέμφομαι.
Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
Γάμους παρεμπολῶντι γ' ἀλλοίους πόσει.
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ.
Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
„ Βουλήν. γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δὲ παῖδες οὐκ ἀφροντίστως πατὴρ
Πολλὴν ἔθηκε σὺν θεοῖς σωτηρίαν.
Οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
Τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
Ἀλλ' αὐξάνεσθε. τἄλλα δ' ἐξεργάζεται
Πατήρ τε, καὶ θεῶν ὅστις ἐστὶν εὐμενής.
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
Αὕτη τί χλωροῖς δακρύοις τέγγεις κόρας,
Στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
μη. Οὐδὲν, τέκνων τῶνδ' ἐννοουμένη πέρι.
ἰά. Θάρσει νυν. εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
μη. Δράσω τάδ'. οὔτι σοῖς ἀπιστήσω λόγοις.
„ Γυνὴ δὲ, θῆλυ, κἀπὶ δακρύοις ἔφυ.

ἰά. Τί δῆτα λίαν τοῖσδ' ἐπιστένεις τέκνοις;
μή. Ἔτικτον αὐτούς. ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
Εἰσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι,
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
Μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς
Ναίειν. δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις,
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
Παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
Αἰτοῦ Κρέοντα, τήνδε μὴ φεύγειν χθόνα.
ἰά. Οὐκ οἶδ' εἰ πείσαιμι. πειρᾶσθαι δὲ χρή.
μή. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
ἰά. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ,
„ Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
μή. Συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου.
Πέμψω γὰρ αὐτῇ δῶρ', ἃ καλλιστεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγὼ, πολὺ,
Λεπτόν τε πέπλον, καὶ στέφος χρυσήλατον,
Παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἓν, ἀλλὰ μυρία,
Ἀνδρός γ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
Κεκτημένη τε κόσμον, ὅν ποθ' ἥλιος
Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
Φέροντες. οὔτοι δῶρα μεμπτὰ δέξεται.
ἰα. Τί δ' ὦ ματαία τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δὲ χρυσοῦ; σῶζε, μὴ δίδου τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνὴ, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
μή. Μή μοι σύ. Πείθειν δῶρα καὶ θεοὺς λόγος.
„ Χρυσὸς δὲ, κρείσσων μυρίων λόγων, βροτοῖς.
„ Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός.
Νέα τυραννεῖ. τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.

ΑΛΛ'

Iaſ. Quid aūt tantopere ingemiſcis propter liberos hoſce?
Med. Peperi eos. quādo aūt optabā viuere liberos *meos*,
Miſeratio me ſubiit, an hoc futurum ſit.
Cæterum quorum cauſa mecū in colloquium veniſti,
Ea partim quidem dicta ſunt, partim vero dicentur.
Quando principibus *huius* agri me ablegare placet,
Et mihi hæc ſunt optima, cognoſco bene,
Vt neq; tibi, neq; dominis *huius* agri impedimēto ſim
Habitans *hic*. videor enim inimica eſſe *tua* familiæ,
Nos quidem ex hoc agro abibimus in exilium,
Vt autem liberi poſſint educari tua manu,
Roga Creontem, ne fugiant hanc terram.
Iaſ. Haud ſcio an *ei rem* perſuaſurus ſim: ſed *tamen* oportet
Med. Tu vero ſaltē iube petere a patre tuam [tentare
Vxorem, ne *mei* liberi fugiant hanc terram.
Iaſ. Maxime, & exiſtimo ego me *rem* perſuaſurum eſſe ipſi,
„ Si modo mulierum eſt aliarum vna.
Med. Ego quoque te adiuuabo in hoc labore.
Nam mittam ei dona quæ pulchritudine ſuperant *res*
Nunc inter hoīes *exquiſitas*, *hoc probe* noui ego, multo,
Tenuem veſtem, & coronam auream,.
Ea ferunt mei filii. Sed quam celerrime oportet
Aliquem ex famulis huc afferre ornatum.
Erit aūt beata *ſponſa tua* nō *in* vna: ſed *in* ſexcētis *rebus*,
Virum optimum te nacta coniugem,
Et poſſidens ornatum, quem olim Sol
Pater patris *mei* dat ſuis poſteris.
Sumite hæc dona nuptialia pueri in manus,
Et beatæ dominæ ſponſæ date
Ferentes: non accipiet contemnenda munera.
Iaſ. Cur vero ô demens his euacuas tuas manus?
Putas ne domum regiam carere ſtolis?
Putas ne auro? ſerua, ne des hæc.
Si enim nos alicuius precii æſtimat
Mulier, anteponet pecuniis, certo ſcio ego. [eſt.
Med. Ne tu mihi *hæc dicas* muneribꝰ.n. vel Deos flecti fama
„ Aurū vero potētiꝰ eſt inter hoīes q̃ infinitę orationes.
„ Illi fauet fortuna, illam nunc auget Deus.
Noua *ſponſa* dominatur. meorū vero liberorū exilium
Etiam vita permutaremus, non ſolum auro.

Verum

Digitized by Google

Verum ô filii ingreſſi. vicinas ædes,
Patris nouam vxorem, dominamque meam,
Supplices orate, exorate, ne fugiatis *hanc* terram,
Dantes *iſtud* ornamentũ hac .n. re potiſſimũ opus eſt,
Vt ipſa accipiat in manus hæc dona.
Ite quam celerrime, & matri de illis quę cupit cõſequi,
Afferte bonum nuncium, re proſpere geſtã.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Nunc ſpes nulla amplius *eſt* mihi liberorum vitæ.
2 Nulla *ſupereſt* amplius. eunt enim ad cædem iam.
3 Accipiet ſponſa aureorum redimiculorum,
4 Accipiet infelix noxam.
5 Flauam vero circa comam
6 Ponet Plutonis, *i. letalem*, ornatum.
7 Hæc *Medea munera* manibus accipiens.

Antiſtrophe I.

1 Alliciet *eam* gratia, diuinusque fulgor pepli,
2 Auream coronam vt *capiti* circumponat.
3 Apud inferos autem mox ſponſa ornabitur.
4 Tale in ſeptum cadet,
5 Et ſortem mortis *talem*
6 Accipiet infelix.
7 Aten vero non ſubterfugiet.

Strophe II.

1 Tu vero ô miſer, ô infelix ſponſe,
2 Gener regum,
3 Non animaduertens, liberis
4 Adducis pernicioſam vitam, *i. exitium paras*,
5 Et vxori tuæ triſtem mortem.
6 O infelix, quantam calamitatem ignoras.

Antiſtrophe II.

1 Gemo tuum dolorem,
2 O miſera liberorum
3 Mater, quæ interficies
4 Liberos, propter nuptiales
5 Lectos, quibus in tuã contumeliã relictis iniuſte
6 Maritus habitat cum alia vxore.

Pædagogus.

Liberi tui, ô domina, liberati ſunt ab exilio,

Et

Ἀλλ᾽ ὦ τέκν᾽ εἰσελθόντε πλησίους δόμους,
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ᾽ ἐμὴν,
Ἱκετεύετ᾽, ἐξαιτεῖσθε, μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες. τοῦδε γὰρ μάλιστα δεῖ,
Εἰς χεῖρ᾽ ἐκείνης δῶρα δέξασθαι τάδε.
Ἴθ᾽ ὡς τάχιστα. μητρὶ δ᾽, ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Νῦν ἐλπίδες οὐκ ἔτι μοι παίδων ζωᾶς,
2 Οὐκέτι. στείχουσι γὰρ εἰς φόνον ἤδη.
3 Δέξεται νύμφα χρυσέων ἀναδέσμων,
4 Δέξεται δύστανος ἄταν.
5 Ξανθᾷ δ᾽ ἀμφὶ κόμᾳ
6 Θήσει τὸν ἀίδα κόσμον,
7 Ταῦτα ταῖν χεροῖν λαβοῦσα.

Ἀντιστροφὴ α΄.

1 Πείσει χάρις, ἀμβρόσιός τ᾽ αὐγὰ πέπλου,
2 Χρυσεότευκτον στέφανον περιθέσθαι.
3 Νερτέροις δ᾽ ἤδη πάρα νυμφοκομήσει.
4 Τοῖον εἰς ἕρκος πεσεῖται,
5 Καὶ μοῖραν θανάτου
6 Προσλήψεται δύστανος.
7 Ἄταν δ᾽ οὐχ ὑπεκφεύξεται.

Στροφὴ β΄.

1 Σὺ δ᾽ ὦ τάλαν, ὦ κακόνυμφε,
2 Κηδεμὼν τυράννων,
3 Παισὶν οὐ κατειδὼς
4 Ὀλέθριον βιοτὰν προσάγεις,
5 Ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
6 Δύστανε, μοίρας ὅσον παροίχῃ.

Ἀντιστροφὴ β΄.

1 Μεταστένομαι δὲ σὸν ἄλγος,
2 Ὦ τάλαινα παίδων
3 Μᾶτερ. ἃ φονεύσεις
4 Τὰ τέκνα, νυμφιδίων ἕνεκεν
5 Λεχέων. ἅ σοι προλιπὼν ἀνόμως
6 Ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.

ΙΑΜΒΟΙ.

[illegible]. Δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς.

Καὶ

Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ᾽. εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
μή. Ἔα. Π. τί συγχυθεῖσ᾽ ἕστηκας ἡνίκ᾽ εὐτυχεῖς,
Τί σὴν ἔστρεψας ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχῃ λόγον;
μή. Αἶ, αἶ. Π. τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
μή. Αἶ αἶ μάλ᾽ αὖθις. Π. μῶν τιν᾽ ἀγγέλλων τύχην
Οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
μή. Ἤγγειλας οἷ᾽ ἤγγειλας. οὐ σὲ μέμφομαι.
παι. Τί δὴ κατηφεῖς ὄμμα, καὶ δακρυρροεῖς;
μή. Πολλή μ᾽ ἀνάγκη, πρέσβυ. ταῦτα γὰρ θεοὶ,
Κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
παι. Θάρσει, κρατεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
μή. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
παι. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
„ Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
μή. Δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.
Ὦ τέκνα τέκνα, σφῶν μὲν ἔστι δὴ πόλις,
Καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ,
Οἰκήσετ᾽ αἰεὶ μητρὸς ἐστερημένοι.
Ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῶν ὀνάσθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα, καὶ γυναῖκα, καὶ γαμηλίους
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ᾽ ἀνασχέθειν.
Ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ᾽ ὑμᾶς ὦ τέκν᾽ ἐξεθρεψάμην.
Ἄλλως δ᾽ ἐμόχθουν, καὶ κατεξάνθην πόνοις.
Στερρὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ᾽ ἐμὲ,
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισι, νῦν δ᾽ ὄλωλε δὴ
Γλυκεῖα φροντίς. σφῶν γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινόν τ᾽ ἐμοί.
Ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις
Ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
Φεῦ, φεῦ. τί προσδέρκεσθέ μ᾽ ὄμμασιν τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἶ, αἶ. τί δράσω; καρδία γὰρ οἴχεται.

Γυναῖ-

Digitized by Google

Et regia ſponſa libens dona manibus
Accepit. inde vero pax eſt tuis liberis.
Med. Sine. *P.* Cur ſtas perturbata, quũ feliciter rẽ geris?
Cur retro vertiſti tuas genas,
Et non libenter a me accipis hunc ſermonem?
Med. Heu heu. Hæc non conſentiunt cũ illis, q̃ nũciaui tibi.
Med. Heu heu valde rurſus. *P.* An aliquem caſum nunciaui
Inſciens, & ſpe læti nuncii fruſtratus ſum?
Med. Nunciaſti quale nunciaſti, non tibi vitio verto.
Pæd. Cur igitur oculos demittis, & lachrymas?
Med. Multa me neceſſitas, ô ſenex *hac facere cogit.* hæc. n. dii,
Et ego male cogitans machinata ſum. [liberos.
Pæd. Confide tu: obtines. n. adhuc, *& in tua poteſtate habes*
Med. Alios prius *ad inferos deducam, i.* mittam, miſera ego.
Pæd. Non tu ſola diuulſa es a tuis liberis.
„ Oportet hominem leuiter ferre calamitates.
Med. Faciam hæc. Sed ingredere in domum,
Et para pueris quæ conuenit quotidie.
O filii, filii, vobis quidem iam eſt vrbs,
Et domus, in qua me miſera relicta,
Habitabitis ſemper orbati matre.
Ego vero iam vado in aliam terrã exul, [florẽtes,
Priusq̃ ex vobis potuerĩ capere voluptatẽ, & vos videre
Priusquam connubium, & vxorem, & nuptiales
Lectos ornarim, facesq; ſuſtulerim accenſas.
O me miſeram ob meam contumaciam.
Fruſtra igitur vos, ô fili, educaui,
Fruſtraq; laboraui, & conſumpta ſum laboribus,
Ferens duros dolores in partu.
Profecto quondam infelix habui ſpem [triretis,
Magnã in nobis *ſitã,* fore *videlic.* vt ſenio grauẽ me nu-
Et mortuam manibus recte cõponeretis [periit
Felicitatis cauſa æmulandã hominibus. nũc vero iam
Hæc dulcis cura. nam vobis orbata
Triſtem degam vitam, acerbamque mihi.
Vos vero matrem non amplius charis oculis
Videbitis, tranſeuntes in aliud vitæ genus.
Heu heu, cur me oculis aſpicitis liberi?
Cur arridetis hoc extremo riſu?
Heu, heu. quid faciam? cor enim *mihi* diſperit.

Mulie-

Digitized by Google

Mulieres, quia vidi lætos oculos liberorum,
Non poſſem *facere quod ſtatui.* Valeant conſilia
Priora. abducam filios meos e terra.
Quid opus eſt me patrem horum, horum malis
Cruciantem, mihi bis tanta mala accerſere?
Nequaquam ego ſaltē *eos cadam.* valeant conſilia.
Verum quid patior? an volo derideri,
Dimittens meos inimicos impunitos?
Audendum hoc eſt. Nam ignauiæ meæ eſt
Hoc, quod & iſtos molles ſermones animo *cogitatos*
Intrate pueri in ædes, cui vero non [protulerim.
Licet adeſſe meis ſacrificiis, *hoc* [*luam.*
Ipſi curę erit. manū vero *meā cade* nō corrūpā, *neq; pol-*
Heu heu: nequaq̄ vero mi animе, ne tu ſaltē hęc paties.
Mittę eos ô miſer. parce liberis,
Illic nobiſcum viuentes exhilarabunt te.
Non per dæmones infernos, qui ſunt apud Plutonem.
Nunquam hoc fiet, vt ego inimicis
Filios meos relinquam iniuria afficiendos.
Omnino neceſſe eſt eos mori: & quoniā hoc oportet,
Nos occidemus *eos*, qui procreauimus *eos*.
Omnino actum eſt hoc, & non aliter fiet.
Et iam corona in capite eſt, & in peplis
Sponſa regia perit. *hoc* ego bene ſcio.
Verum ego vado miſerrimam viam,
Et hos longe triſtiore via mittam.
Liberos *meos* alloqui volo. date ô liberi,
Date matri dextram manum, ſalutate *matrem.*
O chariſſima manus, & mihi chariſſimum os,
Et ſpecies, & vultus generoſus liberorum,
Sitis felices: ſed illic. res enim, quæ hîc *erant*,
Pater abſtulit. O iucundum complexum,
O tenerā cutem, & dulciſſimū halitum liberorū.
Ite, ite. non amplius intueri
Vos poſſum, ſed vincor malis.
Et intelligo quidē qualia *ſint ea* mala, *quæ* ſum auſura.
Sed ira eſt potentior meis conſilijs,
„ Quæ q̄dē hominib. cauſa eſt maximorū malorū.

Chorus.

Cho. Sæpe iam per ſubtiliores

Sermo-

Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων,
Οὐκ ἂν δυναίμην. χαιρέτω βουλεύματα
Τὰ πρόσθεν. ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε, χαιρέτω βουλεύματα.
Καί τοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν,
Ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
Τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε, παῖδες, εἰς δόμους. ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει. χεῖρα δ' οὐ διαφθερῶ.
Ἆ, ἆ. μὴ δῆτα θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε.
Ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων.
Ἐκεῖ μεθ' ἡμῶν ζῶντες, εὐφρανοῦσί σε.
Μὰ τοὺς παρ' ἅδην νερτέρους ἀλάστορας,
Οὔτοι πότ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ
Παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα. κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυται σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι.
Παῖδας προσειπεῖν βούλομαι. δότ' ὦ τέκνα,
Δότ', ἀσπάσασθε, μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον. ἀλλ' ἐκεῖ. τὰ δ' ἐνθάδε,
Πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων,
Χωρεῖτε, χωρεῖτ'. οὐκέτ' εἰμὶ προσβλέπειν
Οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα τολμήσω κακά,
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
„ Ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Πολλάκις ἤδη διὰ λεπτοτέρων

Μύθων

Digitized by Google

Μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
Ἦλθον μείζους, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾶν. ἀλλὰ γάρ ἐστι
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ,
Σοφίας ἕνεκεν. πάσαισι μὲν οὔ.
„ Παῦρον δὴ γένος ἐν πολλαῖσιν
„ Εὕροις ἂν ἴσως.
„ Κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
„ Καὶ φημὶ βροτῶν, οἵτινές εἰσι
„ Πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
„ Παῖδας, προφέρειν εἰς εὐτυχίαν
„ Τῶν γειναμένων.
„ Οἱ μὲν τ' ἄτεκνοι δι' ἀπειροσύνην,
„ Εἴθ' ἡδὺ βροτοῖς, εἴθ' ἀνιαρὸν
„ Παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
„ Πολλῶν μόχθων ἀπέχονται.
„ Οἷσι δὲ τέκνων ἐστὶν ἐν οἴκοις
„ Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
„ Κατατρυχομένους τὸν ἅπαντα χρόνον.
„ Πρῶτον μὲν ὅπως θρέψωσι καλῶς,
„ Βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις.
„ Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
„ Εἴτ' ἐπὶ χρηστοῖς μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν κατερῶ θνητοῖσι κακόν.
„ Καὶ δὴ γὰρ ἅλις βίοτον εὗρον,
„ Σῶμά τ' εἰς ἥβην ἤλυθε τέκνων,
„ Χρηστοί τ' ἐγένοντ'. εἰ δὲ κυρήσει
„ Δαίμων, οὗτος φροῦδος ἐς ᾅδην
„ Θάνατος προφέρων σώματα τέκνων.
„ Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαροτάτην
Παίδων ἕνεκεν
Θνητοῖσι θεοὺς ἐπιβάλλειν.

ΙΑΜΒΟΙ.

μη. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
Καὶ τοι δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον
Δείκνυσι δ' ὥς τι καινὸν ἀγγελεῖ κακόν.

ἄγ.

Digitized by Google

Sermones iui,& ad certamina
Magna veni, ſi conuenit genus
Muliebre ſcrutari. ſed enim eſt
Muſa etiam nobis,quæ verſatur nobiſcum,
Sapientiæ *docenda* cauſa, verum nõ cum oīb’ *habitat.*
,, Exiguum enim numerum inter multas
,, Inuenias fortaſſe,
,, Nec a Muſis alienum,*numerum inquam* mulierum.
,, Et aio mortalium,quicumque ſunt
,, Omnino *nuptiarum* expertes,nec genuerunt
,, Liberos,anteire felicitate
,, Eos, qui *liberos* progenuerunt.
,, Qui.n.nõ habẽt liberos,ꝓpter imꝑitiã, *quod ignorent,*
,, Vtrum res ſuauis hominibus,an vero ingrata
,, Sint liberi,cum non habeant,
,, Carent multis miſeriis.
,, Sed quibus in ædibus eſt liberorum
,, Dulce germen,eos video curis
,, Confici omni tempore.
,, Primum quidem quo pacto bene *ipſos* educent,
,, Et vnde victum relinquant liberis:
,, Præterea vero vtrum pro malis,
,, An pro bonis laborent,hoc incertum eſt.
Vnum vero,quod eſt omnium extremum,iam
Dicam,omnibus hominibus malum,
,, Etenim iam *multi* abunde victum inuenerunt *liberis,*
,, Corporaque liberorum ad pubertatem peruenerunt,
,, Bonique euaſerunt. ſi tamen *malus ipſis* occurrat
,, Dęmõ,hæc ꝓcul ab hĩm oculis rapiẽs ad Plutonẽ
,, Mors fert corpora liberorum.
,, Quomodo igitur prodeſt præter alios
Hunc etiam acerbiſſimum dolorem
Propter liberorum mortem
Addere Deos hominibus?

Medea.

Amicæ,iampridem expectans euentum fortunæ,
Expecto quales progreſſus res inde habitura ſit.
Equidem video hunc ex Iaſonis
Miniſtris venientem ſpirituque irritato,*i. anhelo.*
Significat autẽ ſe nouũ aliquod malũ nũciaturũ.

Nun. O quæ dirum facinus impie patraſti,
Medea, fuge fuge, neque naualem
Relinquens currũ, *i. nauem*, neq; vehiculũ terrã calcãs.
Med. Quid vero mihi dignum hoc exilio *patratum* eſt?
Nun. Puella regia modo periit,
Et Creon, qui *eam* genuit, tuis veneficiis.
Med. Pulcherrimum ſermonem dixiſti. inter benefactores,
Et amicos meos poſthac iam eris.
Nun. Quid ais? an recte ſapis, & non inſanis mulier?
Quæ cum iniuria affeceris lares regios,
Gaudes audiens, & non metuis hæc?
Med. Ego etiam poſſum aliquid contra tua
Verba dicere: ſed ne indigneris amice,
Dicito quomodo perierint. Nam bis tantum
Nos delectaueris, ſi peſſime ſint mortui.
Nun. Poſtquam gemina ſoboles tuorum liberorum venit
Cum patre, & ingreſſa eſt nuptiales ædes,
Gauiſi ſumus, qui tuis laborabamus malis,
Famuli: per aures vero ſtatim ibat multus ſermo,
Te, & tuum maritum diremiſſe priorẽ diſcordiã.
Oſculabatur aũt alius quidẽ manũ, alius vero flauũ ca-
Puerorum: ego vero & ipſe præ lætitia [put
Simul tuos filios comitabar in conclaue mulierum.
Domina vero, quam nunc pro te admiramur,
Priuſquam vidiſſet par tuorum liberorum,
Habebat promptum oculum in Iaſonem:
Deinde vero texit oculos,
Et retro auertit candidas genas,
Abominans ingreſſum puerorum: ſed maritus tuus
Abſtulit iram, & bilem puellæ,
Hæc dicens: Ne ſis inimica amicis,
Deſiſteque ab ira, & *huc* iterum conuerte caput.
„ Exiſtimans amicos eoſdem, quos maritus tuus.
Accipe vero munera, & roga patrem,
Vt remittat exilium his *meis* liberis, *in* meã gratiã.
Hæc vero vt aſpexit ornatum, non continuit ſe,
Sed promiſit viro omnia. Et priuſquam ex ædibus
Procul abirent pater, & liberi tui.
Acceptam variam veſtem induit,
Ponens auream coronam ſupra cincinnos,

Niti-

ἄγ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
Λιποῦσ' ἀπήνην, μήτ' ὄχον πεδοστιβῆ.
μή. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
ἄγ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας, φαρμάκων τῶν σῶν ὕπο.
μή. Κάλλιστον εἶπας μῦθον. ἐν δ' εὐεργέταις
Τολοιπὸν ἤδη, καὶ φίλοις ἐμοῖς ἔσῃ.
ἄγ. Τί φῄς; φρονεῖς μὲν ὀρθὰ, κοὐ μαίνῃ γύναι,
Ἥτις τυράννων ἑστίαν ᾐκισμένη,
Χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
μή. Ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν. ἀλλὰ μὴ σπέρχου φίλος.
Λέξον δὲ πῶς ὤλοντο. δὶς τόσον γὰρ ἂν
Τέρψαις ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
ἄγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,
Ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς,
Δμῶες. δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ, καὶ πόσιν σὸν, νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων. ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα.
Ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
Λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους. πόσις δὲ σὸς
Ὀργάς τ' ἀφῄρει, καὶ χόλον νεάνιδος,
Λέγων τάδ'. οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
„ Φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν.
Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς,
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν;
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
Ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο.
Χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,

Λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων, διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδὶ,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ᾽ ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν.
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
Χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πανὸς ὀργὰς, ἤ τινος θεῶν μολεῖν,
Ἀνωλόλυξε, πρίν γ᾽ ὁρᾷ κατὰ στόμα
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ᾽ ἄπο
Κόρας στρέφουσαν, αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ,
Εἶτ᾽ ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
Κωκυτὸν. εὐθὺς δ᾽ ἡ μὲν εἰς πατρὸς δόμους
Ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
Φράσουσα νύμφης συμφοράν. ἅπασα δὲ
Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
Ἤδη δ᾽ ἀνέλκων κῶλον ἔκπλεθρον δρόμου
Ταχὺς βαδιστὴς τερμόνων αὐθήπτετο.
Ἡ δ᾽ ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
Δεινὸν στενάξασ᾽ ἡ τάλαιν᾽ ἠγείρετο.
Διπλοῦν γὰρ αὐτῇ πῆμ᾽ ἐπεστρατεύετο.
Χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος,
Θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός.
Πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,
Λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
Φεύγει δ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων πυρουμένη,
Σείουσα χαίτην κρᾶτά τ᾽ ἄλλοτ᾽ ἄλλοσε,
Ῥῖψαι θέλουσα στέφανον. ἀλλ᾽ ἀραρότως
Σύνδεσμα χρυσὸς εἶχε. πῦρ δ᾽ ἐπεὶ κόμην
Ἔσεισε, μᾶλλον δὶς τόσον δ᾽ ἐλάμπετο.
Πιτνεῖ δ᾽ ἐπ᾽ οὖδας συμφορᾷ νικωμένη,
Πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν.
Οὔτ᾽ ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
Οὔτ᾽ εὐφυὲς πρόσωπον. αἷμα δ᾽ ἐξ ἄκρου
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί.
Σάρκες δ᾽ ἀπ᾽ ὀστέων, ὥστε πεύκινον δάκρυ,

Γνα-

Digitized by Google

Nitidum ad ſpeculum componit comam,
Inanimæ corporis imagini arridens.
Deinde vbi ſurrexiſſet de ſolio, perambulat
Ædes, delicate incedens candidis pedibus,
Donis *hisce* vehementer gaudens, multũ & ſæpe
Ceruicem ad erectam oculis reſpiciens.
Poſtea vero erat miſerabile ſpectaculum videre.
Nam mutato colore, obliqua retro
Cedit, tremens membris: & vix anteuertit
Solio illapſa, ne caderet in terram.
Tum vero vna ex famulis anus, cum exiſtimaret
Aut Panis iram, aut alicuius *alius* Dei *in ipſam* veniſſe,
Vlulatum edidit, prius quam videret per os
Exeuntem candidam ſpumam, & ab oculis [nem.
Vertentẽ pupillas, & nõ ampli' in corpore eſſe ſangui-
Deinde ſono diuerſam ab vlulatu emiſit magnam
Eiulationem. ſtatim vero vna quidem in domũ patris
Cucurrit, alia vero ad recentem maritum,
Dictura calamitatem ſponſæ. tota vero
Domus reſonabat frequentibus diſcurſationibus.
Iam vero tanto poſt ſpacio, quanto tollens pedẽ celerẽ
Equus velox metam attigiſſet:
Illa ex muta, & quæ clauſerat oculos,
Grauiter ingemiſcens miſera excitabatur.
Nam duplex malum infeſtabat eam.
Aurea quidem corona capiti impoſita,
Emittebat mirabilem verticẽ ignis omnia deuorantis:
Pepli vero tenues, tuorum liberorum dona,
Deuorabant candidam carnem infelicis.
Ipſa vero inflammata fugiebat, ſurgens de ſolio,
Concutiens crines, & caput huc & illuc,
Volẽs abiicere coronã. ſed firmiter *hærẽs capiti* [comã
Vinculũ aurũ, *i. aurea corona*, habebat. ignis vero poſtq̃
Cõcuſſit, magis, *atq; adeo* bis tantum emicuit.
Ipſa vero victa malo cadit in terram,
Et a nemine potuit facile agnoſci præter quam a patre,
Nec oculorum enim clarus erat ſtatus.
Nec liberalis facies. ſanguis vero ex ſummo
Capite ſtillabat mixtus igni,
Et caro ex oſſibus ſicut piceæ lachrymæ

Per genas defluebat arcanis illis pharmacis.
Horrendū ſpectaculū: omnes vero metuebāt attingere
Cadauer. Fortunam enim habebamus magiſtram.
Sed infelix pater ignoratione mali,
Statim ingreſſus domū, irruit in eā iam mortuā,
Et ſtatim cœpit eiulare: & manibus circundans *eam*,
Oſculabatur, his *eam* compellans, O miſera filia,
Quis Deorum tam turpiter te perdidit?
Quis me ſenem ſilicernium orbatum te
Facit? hei mihi. vtinam tecum moriar filia.
Poſtquam autem lamentationū, & luctuum finē fecit,
Volens ſenile excitare corpus,
Adhæſit, ſicut hedera ramis lauri,
Tenuibus peplis. erat autem horribilis lucta.
Ipſe enim volebat excitare genu,
Ipſa vero retrahebat. ſi vero per vim trahebat,
Senilem carnem diuellebat ab oſſibus.
Tandem vero defecit, & infelix dimiſit
Animam: non enim amplius malo erat ſuperior.
Iacent aūt mortui, filiaque, & ſenex pater, *alter*
Prope *alterum*, digna lachrymis calamitas.
Quare mihi tua qdē pſona e medio recedat *audito hoc*
Cognoſces enim tu ipſa pœnæ effugium. [ſermone.
„ Res vero mortaliū non nūc primū arbitror vmbrā *eſſe*.
„ Neq; trepidās dixerī, illos, q de mortalib. ſapiētes
„ Videntur eſſe, & indagatores, *artificesq;* ſermonum,
„ Hos maxime ſtultos eſſe iudicandos.
„ Nemo enim mortalium eſt beatus vir.
„ Opibus vero affluentibus, fortunatior
„ Alio fieri poteſt alius, beatus vero nequaquam,

Cho. Videtur Deus multa hoc die
Mala congeſturus iuſte in Iaſonem.
O miſera, quam miſeramur tuam calamitatem
Filia Creontis, quæ in Plutonis domos
Vadis propter nuptias Iaſonis.

Med. O Amicæ decretum eſt mihi negotium quam primū
Interfecero liberos, diſcedere ex hac terra:
Neque cunctando prodere liberos,
Vt interficiantur ab alia infeſtiore manu,
Omnino neceſſe eſt eos mori: quia vero oportet,

Nos

Γναθμῶν ἀδήλοις φαρμάκοις ἀπέῤῥεον.
Δεινὸν θέαμα. πᾶσι δ' ἦν φόβος θιγεῖν
Νεκροῦ. τύχην γὰρ εἴχομεν διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ,
Ἄφνω προσελθὼν δῶμα, προσπίτνει νεκρῷ.
Ὤιμωξε δ' εὐθύς. καὶ περιπλύξας χέρας
Κυνεῖ, προσαυδῶν τοιάδ'. ὦ δύστηνε παῖ,
Τίς ὧδ' ἀτίμως δαιμόνων σ' ἀπώλεσε;
Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρήζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις. δεινὰ δ' ἦν παλαίσματα.
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
Ἡ δ' ἀντελάζυτ'. εἰ δὲ πρὸς βίαν ἄγοι,
Σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέσβη, καὶ μεθῆχ' ὁ δύσμορος
Ψυχήν. κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροί, παῖς τε, καὶ γέρων πατὴρ,
Πέλας. ποθεινὴ δακρύοισι συμφορά.
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου.
Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
,, Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν.
,, Οὐδ' ἂν τρέσας εἴποιμι, τοὺς σοφοὺς βροτῶν,
,, Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων,
,, Τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
,, Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ.
,, Ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
,, Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
Χο. Ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτείρομεν
Κόρη Κρέοντος, ἥ τις εἰς ᾅδου δόμους
Οἴχῃ, γάμων ἕκατι τῶν Ἰάσονος.
Μη. Φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ, τῆσδ' ἀφορμᾶσθαι χθονός.
Καὶ μὴ, σχολὴν ἄγουσαν, ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
Πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρή,

Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Ἀλλ' εἶ' ὁπλίζου καρδία. τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ' ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων
Ὡς φίλταθ', ὡς ἔτικτες. ἀλλὰ τήνδε γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν.
Κἄπειτα θρήνει. καὶ γὰρ εἰ κτείνεις σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς
2 Ἀελίου; κατείδετε, ἴδετε τὰν
3 Ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
4 Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον.
5 Σᾶς γὰρ ἀπὸ χρυσέας
6 Γονᾶς ἔβλαστεν. θεῶν
7 Δ' αἷμα πιτνεῖν φόβος ὑπ' ἀνέρων.
8 Ἀλλά νιν, ὦ φάος διογενές, κάτειργε,
9 Κατάπαυσον, ἔξελ' οἴκων φονίαν,
10 Τάλαινάν τ' ἐρινὺν ὑπ' ἀλαστόρων.

Ἀντιστροφή.

1 Μάταν μόχθος ἔρρει τῶν τέκνων,
2 Καὶ μάταν γένος φίλιον τέκες, ὦ
3 Κυανεᾶν λιποῦσα συμπληγάδων
4 Πετρᾶν ἀξενωτάταν εἰσβολάν
5 Δειλαία, τί σοι φρενῶν
6 Βαρὺς χόλος προσπιτνεῖ,
7 Καὶ δυσμενὴς φόνος ἀμείβεται;
8 Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα-
9 τ' ἐπὶ γαῖαν αὐτοφόνταισι. ξυνῳδοι-
„ 10 δὰ θεόθεν πιτνόντ' ἐπὶ δόμοις ἄχη.
παῖς. Οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
ἕτε. Οὐκ οἶδ' ἀδελφὲ φίλτατ'. ὀλλύμεθα γάρ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἀκούεις βοάν; ἀκούεις τέκνων;
Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι.
Παρέλθω δόμους. ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.

Nos occidemus *eos*, qui etiam *eos* procreauimus.
Sed age ô cor, armeris: quid cunctamur
Mala dira, & neceſſaria facere?
Age ô miſera manus mea, arripe gladium,
Corripe, valde ad triſtem metam vitæ,
Et ne ſis ignaua, neque memineris liberorum:
(O chariſſimi *filii,*) quomodo *eos* peperiſti. ſed hoc ſaltẽ
Breui die obliuiſcaris filiorum tuorum.
Poſtea vero luge. etſi enim occideris eos, tamen
Chari fuerunt: ſed ego infelix mulier.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Io terra, & omnia illuſtrans radius
2 Solis, aſpicite, videte illam
3 Perditam mulierem, priusquam cruentam
4 Liberis admoueat manum, quæ cædem ipſa patrabit.
5 Tuo enim ex aureo
6 Genere orta eſt: Deorum vero
7 Sanguinem nefas eſt cadere ab hominibus.
8 Quamobrem ipſam ô diuinum lumen coerce,
9 Compeſce, expelle ex ædibus cruentam,
10 Miſeramq; furiam a malis dęmonibus *agitatam.*

Antiſtrophe.

1 Fruſtra labor perit liberorum.
2 Et fruſtra peperiſti charum genus ô tu:
3 Quæ reliquiſti cærulearum Symplegadum
4 Scopulorum inhoſpitaliſſimum ingreſſum,
5 Infelix tu, quare ad animum tuum
6 Accedit grauis indignatio,
7 Et ei reſpondet hoſtilis cædes?
8 Noxia enim ſunt hominibus piacula cognatorum
9 Parricidis in terra. ſcio
„ 10 Diuinitus immitti mala in domum.

Puer. Heu quid faciam? quo effugiam manus matris?
Eteo. Neſcio chariſſime frater. actum enim eſt de nobis.

MONOSTROPHICA.

Cho. Audis clamorem? audis liberos?
O miſera, ô mulier infelix,
Accedam domum, depellere necem a
Liberis ego conſtitui.

Puer.

Puer. Per Deos ferte opem, opportune enim *feretis*.
Quia ſumus iam prope retia gladii.
Cho. O miſera, quam es ſaxum aut fer-
rum, quæ liberorum, quos peperiſti,
Frugem parricidiali modo occîdes?
Vnam hactenus audio, vnam *tantum* de priſcis
Mulierem inieciſſe manum charis liberis,
Ino furentem diuinitus, quando Iouis illa
Coniunx ipſam emiſit extra domum in exilium.
Miſera vero cadit in mare propter cædem
Impiam liberorum,
Pedem ſupra marinum littus extendens.
Moriens vero cum duobus filiis, periit.
Quid nam igitur poteſt accidere triſtius?
„ O mulierum coniugia ærumnoſa,
„ Quanta hominibus mala iam attuliſtis?

Iaſon.

Iaſ. Mulieres, quæ ſtatis prope hanc domum,
Num in ædibus *eſt* illa, quę facinus hoc atrox cõmiſit,
Medea iſtis? an hinc ſe proripuit fuga?
Oportet enim ipſam aut abſcondi ſub terra,
Aut attollere volatile corpus in aeris profunditatem,
Niſi regum domui det pœnas.
Num confidit, cum interfecerit principes huius terræ,
Se poſſe impunitam aufugere ex his ædibus?
Sed non tam ipſius, quam liberorum curam gero.
Illam enim punient *ciues* quos læſit:
Meorum vero liberorum veni vt ſeruarem vitam,
Ne aliquid mihi faciant Creontis cognati,
Vindicantes iniuſtam cædem matris.
Cho. O infelix neſcis quo malorum veneris,
Iaſon: nam non dixiſſes hæc verba.
Iaſ. Quid eſt? an vult etiam me occidere?
Cho. Liberi tui manu matris perierunt.
Iaſ. Heu quid dicis? quam me perdidiſti mulier.
Cho. Cogita igitur tanquam de mortuis liberis tuis.
Iaſ. Vbi nam eos interfecit, intusne, an extra domum?
Cho. Aperi fores, & videbis cædem tuorum liberorum.
Iaſ. Laxate ſeras quam celerrime miniſtri,
Soluite repagula, vt videam geminum malum,

Digitized by Google

παῖς. Ναὶ πρὸς θεῶν ἀρήξατ᾽, ἐν δέοντι γάρ.
Ὡς ἐγγὺς ἤδη γ᾽ ἐσμὲν ἀρκύων ξίφους.
χο. Τάλαιν᾽, ὡς ἄρ᾽ ἦσθα πέτρος, ἢ σί-
δαρος, ἅ τις τέκνων, ὧν ἔτεκες,
Ἄροτον αὐτόχειρι μοῖρα κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ᾽ ἡ Διὸς
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλη.
Πίτνει δ᾽ ἁ τάλαιν᾽ ἐς ἅλμαν, φόνῳ
Τέκνων δυσσεβεῖ,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα.
Δυοῖν δὲ παίδοιν ξυνθανοῦσ᾽, ἀπόλλυται.
Τί δή ποτ᾽ οὖν γένοιτ᾽ ἂν ἔτι δεινόν,
„ Ὦ γυναικῶν λέχος πολύπονον,
„ Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑΜΒΟΙ.

ἰά. Γυναῖκες, αἳ τῆσδ᾽ ἐγγὺς ἕστατε στέγης,
Ἆρ᾽ ἐν δόμοισιν ἡ τὰ δείν᾽ εἰργασμένη
Μήδεια τοῖσιν, ἢ μεθέστηκεν φυγῇ;
Δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
Ἢ πτηνὸν ἆραι σῶμ᾽ ἐς αἰθέρος βάθος,
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ᾽, ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ᾽ οὐ γὰρ αὐτῆς φροντίδ᾽ ὡς τέκνων ἔχω.
Κείνην μὲν, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς.
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ᾽ οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
χο. Ὦ τλῆμον, οὐκ οἶσθ᾽ οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ᾽ ἂν ἐφθέγξω λόγους.
ἰα. Τί δ᾽ ἐστίν; ἦ που κἄμ᾽ ἀποκτεῖναι θέλει;
χο. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
ἰα. Οἴ μοι, τί λέξεις; ὥς μ᾽ ἀπώλεσας, γύναι.
χο. Ὡς οὐκ ἔτ᾽ ὄντων σῶν τέκνων, φρόντιζε δή.
ἰα. Ποῦ γάρ νιν ἔκτειν᾽, ἐντὸς, ἢ ἔξωθεν δόμων;
χο. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
ἰα. Χαλᾶτε κλῇδας ὡς τάχιστα πρόσπολοι.
Ἐκλύεθ᾽ ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν.

Τὺς

Τοὺς μὲν θανόντας, τὴν δὲ τίσομαι δίκην.
μή. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'. εἰ δὲ ἐμοῦ χρείαν ἔχεις,
Λέγ' εἴ τι βούλει. χειρὶ δ' οὐ ψαύσεις ποτέ.
Τοιόνδ' ὄχημα πατρὸς ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν. ἔρυμα πολεμίας χερός.
ἰά. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει.
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης, τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας.
Καὶ ταῦτα δράσασ', ἥλιόν τε προσβλέπεις,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὄλοι'. ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
Ὅτ' ἐκ δόμων σε, βαρβάρου τ' ἀπὸ χθονὸς
Ἑλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε, καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί.
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
Τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε. νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
Ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
Ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
Δάκοιμι, τοιόνδ' ἐμπέφυκέ σοι θράσος.
Ἔρρ' αἰσχροποιὲ, καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα.
Ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
Οὐ παῖδας, οὓς ἔφυσα, κἀξεθρεψάμην,
Ἕξω προσειπεῖν ζῶντας ἀλλ' ἀπώλεσα.
μή. Ἦ μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο,
Οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
Σὺ δ' οὐκ ἔμελλες, τἄμ' ἀτιμάσας λέχη,
Τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοὶ,

Οὐδ'

Hos *liberos* interfectos,& vt illam puniam.
Med. Quid haſce moues,& vectibus remoues portas,
Quærens mortuos,& me quæ *cædem* patraui?
Deſiſte ab hoc labore,ſi vero tibi me opus eſt,
Dic ſi quid vis. Nunquã vero manu me attinges.
Talem currum Sol pater patris
Dat nobis, propugnáculum contra manum hoſtilem.
Iaſ. O ſceleſta, ô maxime inuiſa mulier
Diis,& mihi,& vniuerſo mortalium generi,
Quæ tuis liberis iniicere gladium
Auſa es,quos peperiſti, & me filiis orbatum perdidiſti:
Et cum hæc feceris,tamen ſolem aſpicis,
Et terram,quæ auſa es rem impiiſſimam.
Pereas. ego vero nunc primũ ſapio, tunc non ſapiens,
Cum te ex domo, & terra barbara
Duxi in domum Græcam,magnum malum,
Et patris & terræ, quæ te nutriuit, proditricem,
Dii vero coniecerunt in me tuum malum dæmonem.
Nam occiſo iam tuo fratre,quo cum ſimul educata es,
Conſcendiſti nauẽ Argo, habentẽ pulchrã prorã.
Hæc quidem ſunt tua initia. Inde vero nupta
Huic viro, *i. mihi*,& cum pepereris mihi liberos,
Propter lectum,& *alias* nuptias eos perdidiſti.
Nulla eſt Græca mulier, quæ hoc
Vnquã auſa eſſet: præ quibus ego te dignã duxi,
Quam ducerẽ, connubiũ infeſtũ,& mihi pernicioſum,
Leænam,non mulierem, Tyrrhena
Scylla ſæuiorem naturam habentem.
Verum nequaquam te plurimis conuiciis
Pungerem: talis confidentia tibi innata eſt.
Pereas tu venefica,& cæde liberorum polluta.
Me vero decet lugere meum fatum:
Qui neque nouis nuptiis fruar,
Nec liberos, quos genui, & educaui,
Potero alloqui viuos,ſed amiſi.
Med. Profecto prolixã orationem haberẽ, & huic cõtrariam
Orationi,niſi Iupiter pater ſciret
Qualia beneficia a me acceperis,& q̃ tu viciſſim feceris.
Tu vero non debebas,meo connubio contempto,
Iucundam vitam agere,inſultans mihi.

Neque

Neq; puella regia, neq, qui tibi eã in matrimoniũ col-
Creon, impune me eiicere ex hac terra. [locauit,
Quamobrem, ſi libet, voca me leænam,
Et Scyllam, quæ in Tyrrheno ſolo habitauit.
Tuum enim, vt conuenit, cor viciſſim ſauciaui.

Iaſ. Tu quoque doles, & particeps es malorum.
Med. Bene ſcito. Soluitur autẽ dolor, ſi tu me non irrideas.
Iaſ. O liberi, quam malam matrem habuiſtis?
Med. O liberi, quam periiſtis propter patris cupiditatẽm.
Iaſ. Tamen mea manus non perdidit eos.
Med. Sed iniuria, & nouæ tuæ nuptiæ.
Iaſ. An tu voluiſti propter nuptias eos occidere?
Med. An ru hoc exiguum malum eſſẽ putas mulieri?
Iaſ. Quæ quidem modeſta ſit: tibi vero omnia ſunt mala.
Med. Sed hi ſunt mortui. hoc enim te mordebit.
Iaſ. Iſti vero ſunt, hei mihi, tuo capiti dæmones infeſti.
Med. Dii norunt quis ceperit hoc malum.
Iaſ. Norunt ſane tuum abominabilem animum.
Med. Odioſus es *mihi*. amarulentumq; tuum ſermonẽ odi.
Iaſ. Et ego tuum. Facilis eſt reconciliatio.
Med. Quomodo igitur? quid faciam? vehementer .n. & ego
Iaſ. Sine me hos mortuos ſepelire, & lugere. [cupio.
Med. Nequaquam, quia ego ſepeliam eos hac manu,
Ferens in lucum Iunonis deę Acrææ, *i. arcium cuſtodis.*
Ne quis hoſtium eos contumelia afficiat,
Sepulchrum reuellens. In hac porro terra Siſyphi
Conſtituam præclarum feſtum, & ſacrificia
Deinceps pro iſta impia cæde.
Ego vero vado in terram Erechthei,
Habitatura cum Ægeo filio Pandionis.
Tu vero, quemadmodũ cõuenit, mal⁹ male morieris,
Percuſſus caput tuum reliquiis nauis Argús,
Vbi videris miſerum exitum mearum nuptiarum.

Iaſon.

Iaſ. Sed te Erinnys perdat *cæſorum* filiorum,
Cædisque vindex Iuſtitia.
Med. Quis vero deus, aut dæmon audiret te
Periurum, & deceptorem hoſpitum?
Iaſ. Hei hei ſceleſta, & interfectrix liberorum.
Med. Vade domum, & ſepelias vxorem *tuam*.

Iaſ.

Οὔθ' ἡ τύραννος, οὔθ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων, ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα, καὶ λέαιναν, εἰ βούλει, κάλει,
Καὶ σκύλλαν, ἣ τυρσηνὸν ᾤκησεν πέδον.
Τῆς σῆς γὰρ, ὡς χρὴ, καρδίας ἀνθηψάμην.
ἰά. Καὐτή γε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.
μή. Σάφ' ἴσθι. λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
ἰά. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
μή. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
ἰά. Οὐ τοίνυν ἡ 'μὴ δεξιά σφ' ἀπώλεσεν.
μή. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
ἰά. Λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;
μή. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
ἰά. Ἥ τις γε σώφρων. σοὶ δὲ πάντ' ἐστὶν κακά.
μή. Οἵδ' οὐκέτ' εἰσί. τοῦτο γάρ σε δήξεται.
ἰά. Οἵδ' εἰσὶν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
μή. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
ἰά. Ἴσασι δῆτα σὴν ἀπόπτυστον φρένα.
μή. Στυγῆ. πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
ἰά. Καὶ μὴν ἐγὼ σήν. ῥᾴδιοι γ' ἀπαλλαγαί.
μή. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
ἰά. Θάψαι νεκρούς μοι τούσδε, καὶ κλαῦσαι πάρες.
μή. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ,
Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
Ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν. γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν, καὶ τέλη προσάψομαι
Τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἰά. Ἀλλά σ' ἐριννὺς ὀλέσειε τέκνων,
Φονία τε δίκη.
μή. Τίς δὲ κλύει σου θεὸς, ἢ δαίμων,
Τοῦ ψευδόρκου, καὶ ξειναπάτου;
ἰά. Φεῦ, φεῦ μυσαρὰ, καὶ παιδολέτορ.
μή. Στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον.

ἰά.

ἰά. Στείχω, δισσῶν γ' ἄμορος τέκνων.
μή. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
ἰά. Ὦ τέκνα φίλτατα. Μ. μητρί γε, σοί δ' οὔ.
ἰά. Κἄπειτ' ἔκτας; Μ. πημαίνουσά σε.
ἰά. Αἴ, αἴ. φιλίου χρῄζω στόματος
Παίδων ὁ τάλας προσπτύξασθαι.
μή. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
Τότ' ἀπωσάμενος. Ι. δός μοι πρὸς θεῶν
Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
μή. Οὐκ ἔστι. μάτην λόγος ἔρριπται.
ἰά. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμε-
θ', οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς,
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὁπόσον γοῦν πάρα, καὶ δύναμαι,
Τάδε θρηνῶ, κἀπιθοάζω,
Μαρτυρόμενος δαίμονας, ὥς μοι
Τέκνα κτείνασ', ἀποκωλύεις
Ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
Οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον
Πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
χο. Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
„ Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
„ Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Εὐριπίδου Μήδεια.

ΥΠΟ-

Iaſ. Vado, orbatus duobus pueris.
Med. Nondum lamentaris, expecta & ſenectam.
Iaſ. O chariſſimi liberi. *M.* Matri ꝗ dẽ, tibi vero nequaq̃.
Iaſ. Et tamen, *eos* occidiſti? *M.* Vt tibi nocerem.
Iaſ. Heu heu, cupio charum os
Miſer ego liberis admouere.
Med. Nunc ipſos alloqueris, nunc ſalutas,
Tunc repellens. *I.* Da mihi per deos
Vt poſſim attingere tenerum corpus liberorum.
Med. Non licet. fruſtra *a te hac* verba ſunt proiecta.
Iaſ. O Iupiter, audis hæc, quomodo repellimur.
Et qualia patimur ab execranda,
Et interfectrice liberorum hac leæna?
Sed quantum ſaltem licet, & poſſum,
Hæc lamentor, & concitus feror,
Obteſtans deos, quod me
Liberos, quos necaſti, prohibes
Attingere manibus, & ſepelire mortuos.
Quos vtinam ego nunquam genitos
A te perditos vidiſſem.
Cho. Multarum *rerum* Iupiter *eſt* diſpenſator in cælo.
Multaque præter ſpem perficiunt Dii,
„ Et ſperata non fiunt,
„ Eorum vero, quæ nõ ſperantur, Deus exitum inuenit.
Talis euaſit hæc res. *talem euentum eſt ſortita.*

Finis Medea.

Digitized by Google

ARGVMENTVM HIPPOLYTI.

Theſeus filius erat Æthræ & Neptuni, & Rex Athenienſium. Is ex Hippolyta vxore, vna ex Amazonibus, genuit Hippolytum, præſtantem & forma & modeſtia. poſtquam vero coniunx mortua eſt, duxit aliam vxorem Cretenſem Phædram, filiam Minois regis Cretenſium & Paſiphaæ. Theſeus autem interfecto Pallante, qui vnus e cognatis erat, fugit in Trœzenem vna cum vxore, vbi accidit ali Hippolytum apud Pittheum. Phædra, cum conſpexiſſet adoleſcentem, impulſa eſt in amorem eius, non quod eſſet impudica, ſed vt impleret iram Veneris, quæ decreuerat Hippolytum propter caſtitatem perdere, atq; idcirco Phædram in amorem eius impulit, finemq; impoſuit ſuo propoſito. Nam Phædra, cum diu tuliſſet morbum ſuum, tandem coacta eſt aperire nutrici. Hæc autem promiſit ſe opitulaturam ei: quæ etiam præter eius voluntatem, allocuta eſt adoleſcentem. Phædra, vbi cognouit ipſum exaſperatum, nutricem quidem obiurgauit, ſe ipſam vero ſuſpendit. quo tempore Theſeus reuerſus, & volens detrahere ſtrangulatam, inuenit adpendentes ei literas, in quibus accuſabat Hippolytum de ſtupro illato, & vi intentata. Ille credens ſcriptis, conſtituit vt Hippolytus iret in exilium. Ipſe vero fecit preces ad Neptunum: quas Deus exaudiens, perdidit Hippolytū. At Diana indicans vnumquodq; eorum, quæ acciderant, Theſeo, non accuſauit Phædram, ſed illum conſolata eſt orbatum filio & vxore: Hippolyto autem iuſſit fieri honores vſitatos in patria. Scena fabulæ eſt in Trœzene.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Venus.	*Ancilla.*	*Semichorus.*
Hippolytus.	*Nutrix Phædræ.*	*Nuncius.*
Cho. ex mulieribus Trœzeniis.	*Phædra.*	*Alter nuncius.*
	Theſeus.	*Diana.*

Prologum autem agit Venus.

EVRI-

ΥΠΟΘΕΣΙΣ
ΙΠΠΟΛΥΤΟΥ.

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων. γήμας δὲ μίαν τῶν Ἀμαζόνων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυναικός, οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν. ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησε, τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέργουσα γὰρ τὴν νόσον ἡ Φαίδρα, χρόνῳ πρὸς τὴν τροφὸν δηλώσασα ἠναγκάσθη. ἡ δὲ κατεπηγγείλατο, αὐτῇ βοηθήσειν. ἥτις καὶ παρὰ τὴν προαίρεσιν, λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε. καθ' ὃν καιρὸν φανεὶς Θησεὺς, καὶ καθελεῖν θέλων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει, καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν. αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο. ὧν ἐπακούσας ὁ θεὸς, τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα Θησεῖ, τὴν μὲν Φαίδραν οὐκ ἐμέμψατο, τοῦτον δὲ παρεμυθήσατο υἱοῦ καὶ γυναικὸς στερηθέντα. τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι. Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ
πρόσωπα.

Ἀφροδίτη.	Θεράπαιναι.	Ἡμιχόριον.
Ἱππόλυτος.	Τροφὸς Φαίδρας.	Ἄγγελος.
Χορὸς ἐκ Τροιζηνίων γυναικῶν.	Φαίδρα.	Ἕτερος ἄγγελος.
	Θησεύς.	Ἄρτεμις.

Προλογίζει δὲ ἡ Ἀφροδίτη.

ΕΥΡΙΠΙΔΟΥ

ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

ΙΑΜΒΟΙ.

Πολλὴ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος
Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω,
Ὅσοι τε πόντου, τερμόνων τ' Ἀτλαντικῶν
Ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου,
Τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
Σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
,, Ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,
,, Τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
Δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα.
Ὁ γάρ με Θησέως παῖς, ἀμαζόνος τόκος
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
Μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας,
Λέγει κακίστην δαιμόνων πεφυκέναι.
Ἀναίνεται δὲ λέκτρα, κοὐ ψαύει γάμων.
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην
Τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος.
Χλωρὰν δ' ὕλην παρθένῳ ξυνὼν ἀεί,
Κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονός,
Μείζω βροτείας προσπεσὼν ὁμιλίας.
Τούτοισι μέν γ' οὐ φθονῶ. τί γάρ με δεῖ;
Ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῇδ' ἡμέρᾳ. τὰ πολλὰ δὲ
Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
Ἐλθόντα γάρ νιν Πιτθέως πότ' ἐκ δόμων,
Σεμνῶν ἐς ὄψιν, καὶ τέλη μυστηρίων
Πανδίονος γῆν, πατρὸς εὐγενὴς δάμαρ
Ἰδοῦσα Φαίδρα, καρδίαν κατέσχετο
Ἔρωτι δεινῷ, τοῖς ἐμοῖς βουλεύμασι.
Καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν
Πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον,
Γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθίσατο,

EVRIPIDIS

HIPPOLYTVS CO-RONATVS.

Venus.

EGo celebris quidē inter hoīes,& nō ignobilis
Dea vocor Venus,& in cælo,
Et apud eos quicunq; intra mare fineſq; At-
Habitant, videntes lumen ſolis. [lanticos
Honore quidem afficio eos, q̄ colūt meā potētiam,
Euerto vero quicunque ſuperbiunt aduerſus nos.
» Ineſt enim hoc etiam in deorum genere,
» Vt gaudeant,cum honore afficiuntur ab hominibus.
Oſtendam autem mox veritatem verborum horum,
Nam me Theſei filius,Amazonis progenies,
Hippolytus,diſcipulus caſti Pitthei,
Solus ex ciuibus huius terræ Trœzeniæ,
Dicit peſſimam eſſe Dearum,
Et recuſat lectos,neque attingit nuptias:
Sed ſororem Phœbi Dianam,filiam Iouis
Honorat,exiſtimans eam maximam eſſe Dearum,
Semper habitans cum virgine in viridi ſilua,
Expellit feras e terra velocibus canibus,
Expetens maiora humana conſuetudine.
His quidem ego non inuideo.quid enim opus eſt?
Sed tamen vlciſcar,ob ea quæ in me deliquit,
Hippolytum hoc die.Verum cum multa
Antea præpararim,non opus habeo magno labore.
Nam quondam profectum eum ex domo Pitthei,
Ad ſpectaculū, & ſacras ceremonias venerandorū my-
Pādionis *in* agrū,*i.Ath.*patris nobilis cōiūx [ſteriorū.
Conſpicata Phædra,occupata eſt in corde
Vehementi amore,idq; meo conſilio.
Et priuſquam veniret *in* hanc terram Trœzeniam,
Ad ipſam rupem Palladis excelſam,
In hac terra ædificauit templum Veneris,

Ardens amore abſentis. & propter Hippolytum
In poſterum dici voluit Deæ templũ fundatum fuiſſe.
Sed poſtquam Theſeus reliquit Cecropium agrum, i.
Fugiens piaculum cædis Pallantidarũ. [*Athenas,*
Et nauigauit *in* hanc terram cum vxore.
Annuum *i. vnius anni* vltro ſubiens exilium peregri
Ibi vero gemens, & conſternata [tranſigendum,
Miſera ſtimulis amoris perit
Silentio, & nemo ex domeſticis nouit morbum.
Sed non oportet hunc amorem iſti excidere.
Oſtendam autem hoc negotiũ Theſeo, & palã fiet res:
Et hunc meum hoſtem, qui mihi inimicus eſt,
Pater interficiet imprecationibus, quas marinus
Rex Neptunus præbuit munus Theſeo,
Vt nihil fruſtra ter peteret a Deo.
Illa vero inclyta quidem *eſt:* ſed tamen peribit
Phædra. non enim tanti faciam huius exitium,
Vt mihi mei inimici non dent
Tantas pœnas, vt mihi recte *res* habeat, *animoq́; ſatis-*
Sed (video enim filium hunc Theſei [*fiat.*
Venientem relicto labore venationis,
Hippolytum) ex his diſcedam ædibus.
Multus autem cum eo miniſtrorum a tergo ſequens
Cœtus clamitat, celebrans Dianam deam
Hymnis. neſcit enim apertas portas
Mortis, & ſe videre hunc poſtremum diem.

MONOSTROPHICA.

Hipp. Sequimini canentes, ſequimini
Iouis *filiam* cæleſtem Dianam,
Dianam, cui curæ ſumus.
Cho. Veneranda, veneranda, auguſtiſſima *Dea,*
Iouis ſoboles,
Salue mihi ô puella,
Salue mihi Latonæ,
Et Iouis *filia* Diana,
Virginum multo formoſiſſima,
Quæ in amplo cælo
Habitatis nobilem patris aulam,
Iouis auri copia fulgentem domum.
Hipp. Salue mihi ô pulcherrima.

Pul-

Ἐρῶσ᾽ ἔρωτ᾽ ἔκδημον. Ἱππολύτῳ δ᾽ ἔπι
Τὸ λοιπὸν ὠνόμαζεν ἱδρύσθαι θεάν.
Ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,
Μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
Καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
Ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγὴν,
Ἐνταῦθα δὴ στένουσα, κἀκπεπληγμένη
Κέντροις ἔρωτος ἡ τάλαιν᾽ ἀπόλλυται
Σιγῇ. ξύνοιδε δ᾽ οὔτις οἰκετῶν νόσον.
Ἀλλ᾽ οὔτι ταύτῃ τόνδ᾽ ἔρωτα χρὴ πεσεῖν.
Δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσεται.
Καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα,
Κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
Ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
Μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ.
Ἡ δ᾽ εὐκλεὴς μὲν, ἀλλ᾽ ὅμως ἀπόλλυται
Φαίδρα. τὸ γὰρ τῆσδ᾽ οὐ προτιμήσω κακὸν,
Τοῦ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
Δίκην τοσαύτην, ὥστε μοι καλῶς ἔχειν.
Ἀλλ᾽, εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
Στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, ἔξω τῶνδε βήσομαι δόμων.
Πολὺς δ᾽ ἅμ᾽ αὐτῷ προσπόλων ὀπισθόπους
Κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὸν
Ὕμνοισιν. οὐ γὰρ οἶδ᾽ ἀνεῳγμένας πύλας
Ἅιδου, φάος δὲ λοίσθιον βλέπων τόδε.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἱππ. Ἕπεσθ᾽ ἀείδοντες, ἕπεσθε
Τὰν Διὸς οὐρανίαν Ἄρτεμιν,
Ἄρτεμιν, ᾇ μελόμεσθα.
χο. Πότνια πότνια, σεμνοτάτα,
Ζηνὸς γένεθλον,
Χαῖρέ μοι ὦ κόρα,
Χαῖρέ μοι Λατοῦς,
Ἄρτεμι, καὶ Διὸς,
Καλλίστα πολὺ παρθένων,
Αἳ μέγαν κατ᾽ οὐρανὸν
Ναίετ᾽ εὐπατέρειαν αὐλὰν,
Ζηνὸς πολύχρυσον οἶκον.
ἱππ. Χαῖρέ μοι ὦ καλλίστα,

Καλλίστα τῶν κατ' Ὄλυμπον
Παρθένων Ἄρτεμι.

ΙΑΜΒΟΙ.

Σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
Λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
Ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ,
Οὔδ' ἦλθέ πω σίδηρος, ἀλλ' ἀκήρατον
Μέλισσα λειμῶν' ἠρινὸν διέρχεται·
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
Ὅσοις διδακτὸν μηδὲν, ἀλλ' ἐν τῇ φύσει
Τὸ σωφρονεῖν εἴληχεν, εἰς τὰ πάντ' ἀεὶ
Τούτοις δρέπεσθαι, τοῖς κακοῖσι δ' οὐ θέμις.
Ἀλλ' ὦ φίλη δέσποινα, χρυσέας κόμης
Ἀνάδημα δέξαι, χειρὸς εὐσεβοῦς ἄπο.
Μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν.
Σοὶ καὶ ξύνειμι, καὶ λόγοις ἀμείβομαι,
Κλύων μὲν αὐδῆς, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
Τέλος δὲ κάμψαιμ' ὥσπερ ἠρξάμην βίου.
θε. Ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεὼν,
Ἆρ' ἄν τί μου δέξαιο βουλεύσαντος εὖ;
ἱππ. Καὶ κάρτα γ'. ἢ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.
θε. Οἶσθ' οὖν βροτοῖσιν ὃς καθέστηκεν νόμος;
ἱππ. Οὐκ οἶδα. τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;
θε. Μισεῖν τὸ σεμνὸν, καὶ τὸ μὴ πᾶσιν φίλον.
ἱππ. Ὀρθῶς γε. τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;
θε. Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;
ἱππ. Πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.
θε. Ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;
ἱππ. Εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
θε. Πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
ἱππ. Τίν'; εὐλαβοῦ δὲ μή τι σὸν σφαλῇ στόμα.
θε. Τήνδ', ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
ἱππ. Πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.
θε. Σεμνή γε μέντοι, κἀπίσημος ἐν βροτοῖς.
ἱππ. Ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
θε. Εὐδαιμονοίης, νοῦν ἔχων ὅσον σε δεῖ.
ἱππ. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.
θε. Τιμαῖσιν ὦ παῖ δαιμόνων χρῆσθαι χρεών.
ἱππ. Χωρεῖτ' ὀπαδοὶ, παρελθόντες δόμους,
„ Σίτων μέλεσθε. Τερπνὸν ἐκ κυναγίας

Pulcherrima in cælo degentium
Virginum Diana.

Tibi hanc coronam contextam ex illibato
Prato, ô domina, *floribus* ornatam fero.
Vbi neque paſtor vult paſcere ſuos greges,
Quo neque venit adhuc ferrum, ſed illibatum
Pratum vernum apis peragrat:
Pudor vero rigat rore fluuiatili.
Quib. nihil *eſt* ſtudio partũ: ſed *quiſquis* in ipſa natura
Sapientiam ſortitus eſt, in omnibus *rebus* ſemper
Illis *fructum* decepere *fas eſt*, improbis vero nefas.
Quare ô chara domina, aureæ comæ
Coronam accipe a pia manu.
Soli enim mihi eſt hoc munus ex mortalibus.
Et tecum verſor, & tecum colloquor,
Audiens quidẽ *tuam* vocẽ, ſed nõ videns tuã ſpeciem:
Finem autem vitę habeam, ſicut incœpi.
Anc. O rex: oportet enim dominos vocare deos.
Num vis aliquod a me accipere bonum conſilium?
Hipp. Maxime. Alioqui enim non videremur ſapientes.
Anc. Scis igitur quæ lex mortalibus ſit conſtituta?
Hipp. Non noui. qua de re vero me interrogas?
Anc. Odiſſe faſtum, & id quod nõ omnibus *eſt* gratum.
Hipp. Probe *ſcio*. quis enim hominũ ſuperbus nõ *eſt* odioſus?
Anc. In illis vero, qui ſunt comes, eſtne aliqua gratia?
Hipp. Plurima certe, & quidem etiã lucrũ cum paruo labore.
Anc. Exiſtimas ne vero & inter deos idem eſſe?
Hipp. Siquidem homines vtimur legibus deorum.
Anc. Cur ergo tu venerandam Deam non ſalutas?
Hipp. Quam? caue vero ne quid tuum os offendat.
Anc. Venerem illam, quæ quæ tuis foribus præſidet.
Hipp. Eminus ipſam purus exiſtens ſaluto.
Anc. Veneranda tamen *eſt*, & inſignis inter mortales.
Hipp. Aliis alii dii, & homines curæ ſunt.
Anc. Beatus eſſes, ſi ſaperes quantum te opus eſt ſapere.
Hipp. Nemo deorum mihi placet, *qui ſit* admirandus noctu.
Anc. O fili, oportet honorare deos.
Hipp. Ite comites: & euntes ad domum,
„ Curate cibos. Iucundum eſt poſt venationem

„ Menſa plena. & conuenit recreare
Equos, vt iungens currui *eos*
Saturatus cibo, exerceam commode.
Tuam vero Venerem longum ego valere iubeo.

Anc. Nos vero (iuuenes enim non ſunt imitandi)
Sapientes, ita vt conuenit ſeruis dicere,
Adoramus tuam ſtatuam,
„ O domina Venus. oportet autem veniam dare,
„ Si quis ꝑpter adoleſcentiã, habens vehementiorẽ ani-
„ Stulta loquitur: diſſimula te eum audire. [mi impetũ,
„ Sapientiores enim hominibus oportet eſſe Deos.

EPODICA.

Strophe I.

Ch. 1 Aquam Oceani quoddam
2 Saxum ſtillare dicitur,
3 Fontem fluentem, in quo vrnæ merguntur,
4 Emittens *ex* rupibus:
5 Vbi erat mihi quædam ſocia,
6 Purpureas veſtes
7 Fluuiatili rore
8 Lauans, quas inde ſupra tergum aprici ſaxi
9 Marini depoſuit. Vnde mihi
10 Primum fama venit, dominam

Antiſtrophe I.

1 Confectam tabido, *i. in quo decumbit tabeſcens,*
2 Lecto, corpus continere intra
3 Ædes, tenuesque veſtes flauum *eius*
4 Caput velare.
5 Tertium autem ipſam audio
6 Hunc, in ambroſio
7 Ore, diem,
8 Cereris fructu, *cibisque* corpus caſtum abſtinere.
9 Occultoque luctu, mortis velle
10 Prouenire ad miſerum finem.

Strophe II.

1 Tu enim numine afflata *furiis* ô puella,
2 Siue a Pane, ſiue ab Hecate *agiteris,*
3 Aut a venerandis Corybantibus,
4 Aut a matre montiuaga, lymphata, *i. Cybele.*
5 Tu vero *etiam fortaſſe* circa multis feris gaudentẽ

6 Di-

,, Τράπεζα πλήρης. καὶ καταψήχειν χρεὼν
Ἵππους, ὅπως ἂν ἅρμασι ζεύξας ὕπο
Βορᾶς κορεσθεὶς, γυμνάσω τὰ πρόσφορα.
Τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.
Θε. Ἡμεῖς δὲ, τοὺς νέους γὰρ οὐ μιμητέον,
Φρονοῦντες, οὕτως ὡς πρέπει δούλοις λέγειν,
Προσευξόμεσθα τοῖσι σοῖς ἀγάλμασι
,, Δέσποινα Κύπρι. χρὴ δὲ συγγνώμην ἔχειν,
,, Εἴ τίς σ' ὑφ' ἥβης σπλάγχνον ἔντονον φέρων,
,, Μάταια βάζει. μὴ δόκει τούτου κλύειν.
,, Σοφωτέρους γὰρ δεῖ βροτῶν εἶναι θεούς.

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὠκεανοῦ τις ὕδωρ
2 Στάζουσα πέτρα λέγεται.
3 Βαπτὰν κάλπισι ῥυτὰν παγὰν
4 Προϊεῖσα κρημνῶν.
5 Ὅθι μοί τις ἦν φίλα,
6 Πορφύρεα φάρεα
7 Ποταμίᾳ δρόσῳ,
8 Τέγγουσα, θερμᾶς δ' ἐπὶ νῶτα πέτρας
9 Εὐαλίου κατέβαλλεν. ὅθεν μοι
10 Πρώτα φάτις ἦλθε, δεσποίνας

Ἀντιστροφὴ α'.

1 Τειρομέναν νοσερᾷ
2 Κοίτᾳ, δέμας ἐντὸς ἔχειν
3 Οἴκων, λεπτὰ δὲ φάρεα ξανθὰν
4 Κεφαλὰν σκιάζειν.
5 Τριτάταν δέ νιν κλύω
6 Τὰν δὲ κατ' ἀμβροσίου
7 Στόματος ἀμέραν
8 Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
9 Κρυπτῷ τε πένθει θανάτου θέλουσαν
10 Κέλσαι ποτὶ τέρμα δύστανον.

Στροφὴ β'.

1 Σὺ γὰρ ἔνθεος, ὦ κούρα,
2 Εἴτ' ἐκ Πανὸς, εἴθ' Ἑκάτας,
3 Ἢ σεμνῶν Κορυβάντων,
4 Ἢ ματρὸς ὀρείας φοιταλέῃ.
5 Σὺ δ' ἀμφὶ τὰν πολύθηρον

6 Δίκ

6 Δίκτυνναν, ἀμπλακίαις
7 Ἀνίερος ἀθύτων πελανῶν τρύχει.
8 Φοιτᾷ γὰρ καὶ διὰ λίμνας,
9 Χέρσον θ', ὑπὲρ πελάγους
10 Δίναισι νοτίαις ἅλμας.

Ἀντιστροφὴ β'.

1 Ἢ πόσιν τὸν Ἐρεχθειδᾶν
2 Ἀρχαγὸν, τὸν εὐπατρίδαν,
3 Ποιμαίνει τις ἐν οἴκοις,
4 Κρυπτᾷ κοίτᾳ τῶν σῶν λεχέων,
5 Ἢ ναυβάτας τις ἔπλευσεν
6 Κρήτας ἔξορμος ἀνὴρ
7 Λιμένα τὸν εὐξεινότατον ναύταις,
8 Φήμαν πέμπων βασιλείᾳ.
9 Λύπᾳ δ' ὑπὲρ παθέων
10 Εὐναία δέδεται ψυχά.

Ἐπῳδός.

1 Φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν
2 Ἁρμονίᾳ κακὰ δύστανος
3 Ἀμηχανία συνοικεῖν
4 Ὠδίνων τε καὶ ἀφροσύνας, δι' ἐμᾶς
5 Ἦιξε ποτὲ νηδύος ἅδ' αὔρα.
6 Τὰν δ' εὔλοχον οὐρανίαν,
7 Τόξων μεδέουσαν,
8 Ἄρτεμιν ἀΰτευν.
9 Καί μοι πολυζήλωτος
10 Αἰεὶ σὺν θεοῖσιν φοιτᾷ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
Τήνδε κομίζουσ' ἔξω μελάθρων,
Στυγνὸν δ' ὀφρύων νέφος αὔξεται.
Τί ποτ' ἐστὶ, μαθεῖν ἔραται ψυχά.
Τί δεδήληται
Δέμας ἀλλόχροον βασιλείας.
τρο. Ὦ κακὰ θνητῶν, στυγεραί τε νόσοι,
Τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
Τόδε σοι φέγγος λαμπρὸν, ὅδ' αἰθήρ.
Ἔξω δὲ δόμων ἤδη νοσερᾶς δέμνια κοίτας.
Δεῦρο γὰρ ἐλθεῖν, πᾶν ἔπος ἦν σοι,
Τάχα δ' εἰς θαλάμους σπεύσεις τὸ πάλιν.

Ταχ

Dictynnam, *i. Dianam*, propter peccata,
Quod ei ſacrificiū nō feceris, nec immolaris liba. *ſic* fatigaris.
Itat enim *hæc Dea* & per paludes,
Et *per* terram, & ſupra pelagi
Humidam ſalſuginem fluctibus *inuecta*.

Antiſtrophe II.

Aut maritum, Erechthidarum, *i. Athenienſium*,
Principem, illum nobilem *virum*,
Lædit aliqua in ædibus,
Arcano concubitu tui lecti.
Aut nauta aliquis nauigauit,
Ex Creta veniens vir,
Ad portum maxime hoſpitalem nautis,
Adferens nuncium reginæ,
Mœrore vero propter mala *nuntiata*,
In lecto ligata detinetur anima.

Epodus.

Solet enim cum moroſo mulierum
Temperamento *ingenioq;* mala & miſera
Ægtitudo cohabitare
Propter partus dolores, & amentiam. per meum
Ventrem venit aliquando iſta aura:
Deam vero cœleſtem, quæ partus faciles reddit,
Sagittas curantem, *iiſque gaudentem*,
Dianam inuocaui.
Et mihi inprimis veneranda
Cum aliis diis ſemper *opem latura* venit.

Sed hæc nutrix vetula ante fores
Hanc portat extra domum:
Triſtis autem ſuperciliorum nubes augetur
Quidnam ſit *hoc*, ſcire cupit animus *meus*.
Quid læſerit
Corpus reginæ priſtinum colorem mutatum habens.

Nut. O quantum eſt in rebus humanis mali, ô morbos odioſos.
Quid ego tibi faciam? quid vero non faciam?
Ecce tibi hæc lux clara, ecce hic aer.
Extraque domum iam *eſt* morbidi cubile lecti.
Huc enim venire, erat omnis ſermo tuus:
Breui vero rurſus feſtinabis in thalamos.

Nam

Nam ciro mutaris, & nulla rę gaudes,
Neque tibi placet, quod adeſt: quod vero abeſt,
» Gratius ducis.
» Facilius autem *eſt* ægrotare, quam ſanare.
» Illud enim eſt ſimplex *malum*, cum hoc vero coniun-
» Dolorq; mentis, manuumque labor. [ctus eſt
» Omnis enim hominum vita *eſt* plena dolore,
» Neque eſt requieș laborum,
» Sed aliud quiddam quod dulcius eſt vita,
» Tenebræ continentes occultant nebulis.
» Male amantes igitur videmur eſſe
» Huius *lucis*, quia hæc fulget per terram,
» Propter imperitiam alterius vitę *a nobis nondũ guſtatæ*
» Et *pp* nullã demõſtrationẽ rerum ſub terra [*latentiũ.*
» Fabulis vero *poetarum decepti*, temere ferimur,

Pha. Tollite meum corpus, erigite caput,
Soluta ſum membrorum vinculis, ô amicæ.
Apphẽdite *meas* ex pulchris brachiis pẽdẽtes manus, ô
Eſt mihi graue habere ornamẽtum capitis. [famulę.
Aufer, extende contortum capillum, heu mihi.

Nut. Forti animo ſis filia, neque moleſte
Agites corpus.
» Facilius enim morbum cum quiete,
» Et generoſo animo feres.
» Neceſſe enim eſt homines cõflictari cũ multis malis.

Pha. Eheu, quomodo ex roſcido fonte
Hauriam potum limpidæ aquæ?
Et ſub alnis, & in viridi
Prato reclinata quieſcam?

Nut. O filia quid dicis?
Ne apud turbam hæc dicas,
Effundens ſermonem obnoxium furori.

Pha. Ducite me in montem, eo ad ſyluam,
Et ad pinus, vbi ferarum interfectores
Solum eundo calcant canes,
Maculoſis ceruis inſilientes.
Per deos cupio clamore excitare canes,
Et circa flauam comam proiicere
Torquem Theſſalicum,
Cuſpide munitum tenens in manu telum.

Nut.

Ταχὺ γὰρ σφάλλῃ, κοὐδενὶ χαίρεις.
Οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν
,, Φίλτερον ἡγῇ.
,, Κρεῖσσον δὲ νοσεῖν, ἢ θεραπεύειν.
,, Τὸ μὲν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
,, Λύπη τε φρενῶν, χερσίν τε πόνος.
,, Πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
,, Κοὐκ ἔστι πόνων ἀνάπαυσις.
,, Ἀλλ' ὅ,τι τοῦ ζῆν φίλτερον ἄλλο,
,, Σκότος ἀμπίσχον κρύπτει νεφέλαις.
,, Δυσέρωτες δὴ φαινόμεθ' ὄντες
,, Τοῦδ', ὅτι τοῦτο στίλβει κατὰ γῆν,
,, Δι' ἀπειροσύναν ἄλλου βιότου,
,, Κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας.
Μύθοις δ' ἄλλως φερόμεσθα.
Φαί. Ἄρατέ μου δέμας, ὀρθοῦτε κάρα.
Λέλυμαι μελέων σύνδεσμα, φίλαι.
Λάβετ' εὐπήχεις χεῖρας πρόπολοι.
Βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν.
Ἄφελ', ἀμπέτασον βόστρυχον. οἴμοι.
τρο. Θάρσει τέκνον, καὶ μὴ χαλεπῶς
Μετάβαλλε δέμας.
,, Ῥᾷον δὲ νόσον μεθ' ἡσυχίας
,, Καὶ γενναίου λήματος οἴσεις.
,, Μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.
Φαί. Ἒ, ἒ. πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
Καθαρῶν ὑδάτων πόμ' ἀρυσαίμαν;
Ὑπό τ' αἰγείροις, ἔν τε κομήτῃ
Λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμαν;
τρο. Ὦ παῖ, τί θροεῖς;
Οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσῃ.
Μανίας ἔποχον ῥίπτουσα λόγον.
Φαί. Πέμπετέ μ' εἰς ὄρος; εἶμι πρὸς ὕλαν
Καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
Στείβουσι κύνες,
Βαλίαις ἐλάφοις ἐγχριμπτόμεναι.
Πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι,
Καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεσσαλὸν ὅρπακα,
Ἐπίλογχον ἔχουσ' ἐν χειρὶ βέλος.

τρο.

Digitized by Google

Τρο. Τί ποτ' ὦ τέκνον τάδε κηραίνεις;
Τί κυνηγεσίων καὶ σοὶ μελέτης;
Τί δὲ κρηναίων νασμῶν ἔρασαι;
Πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
Κλιτὺς, ὅθεν σοι πῶμα γένοιτ' ἄν.
Φαί. Δέσποιν' ἁλίας Ἄρτεμι λίμνας,
Καὶ γυμνασίων τῶν ἱπποκρότων,
Εἴθε γενοίμαν ἐν σοῖς δαπέδοις,
Πώλους ἐνέτας δαμαζομένα.
Τρο. Τί τόδ' αὖ παράφρων ἔῤῥιψας ἔπος;
Νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας
Πόθον ἐστέλλου. νῦν δ' αὖ ψαμάθοις
Ἐπ' ἀκυμάντοις πώλων ἔρασαι.
Τάδε μαντείας ἄξια πολλῆς,
Ὅστις σε θεῶν ἀνασειράζει,
Καὶ παρακόπτει φρένας, ὦ παῖ.
Φαί. Δύστηνος ἐγὼ τί ποτ' εἰργασάμην;
Ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
Ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
Φεῦ, φεῦ. τλήμων.
Μαῖα, πάλιν μου κρύψον κεφαλάν.
Αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
Κρύπτε κατ' ὄσσων δάκρυ μοι βαίνει,
Καὶ ἐπ' αἰσχύνην ὄμμα τέτραπται.
„ Τὸ γὰρ ὀρθοῦσθαι γνώμαν, ὀδυνᾷ.
„ Τὸ δὲ μαινόμενον, κακόν. ἀλλὰ κρατεῖ,
„ Μὴ γιγνώσκοντ' ἀπολέσθαι.
Τρο. Κρύπτω. τὸ δ' ἐμὸν πότε δὴ θάνατος
Σῶμα καλύψει;
„ Πολλὰ διδάσκει γάρ μ' ὁ πολὺς βίος.
„ Χρῆν γὰρ μετρίας ἀλλήλους
„ Φιλίας θνητοὺς ἀνακίρνασθαι,
„ Καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς,
„ Εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
„ Ἀπό τ' ὤσασθαι, καὶ ξυντεῖναι.
„ Τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
„ Ψυχὰν, χαλεπὸν βάρος, ὡς κἀγὼ
„ Τῆσδ' ὑπεραλγῶ.
„ Βιότου δ' ἀτρεκεῖς ἐπιτηδεύσεις
„ Φασὶ σφάλλειν πλέον ἢ τέρπειν,

„ Τῇ

Nut. Curnam ô filia curas iſta?
Quid tibi eſt negotii cum exercitio venationis?
Quid vero fontanos latices expetis?
Etenim iuxta arcem eſt continuus roſcidus
Aquæductus, vnde tibi poteſt eſſe potus.
Pha. O domina ſacræ paludis Diana,
Et certaminum equeſtrium,
Vtinam eſſem in tuo campo,
Equos domeſticos domans.
Nut. Quid rurſus hoc ſtultum profudiſti verbum?
Nam modo quidem montē cōſcendēs, ad venationis
Deſiderium ferebaris. modo vero contra arena
In *fluctuū experte, i.* arida equos *agitare* cupis.
Hæc *profecto* diuinatione digna *ſunt* multâ,
Quod aliquis Deus te vexet.
Mentemque mutilet, *deliramq; reddat*, ô filia.
Pha. Infelix ego quid nam feci?
Quo aberraui a ſana mente?
Inſaniui, lapſa ſum dæmonis noxa.
Heu, heu miſera.
Nutrix, tege rurſus caput meum.
Pudet enim me eorum quæ dixi.
Tege, lachrymæ mihi ex oculis erumpunt,
Et oculi vertuntur ad pudorem.
,, Nam ad ſanam redire mentem, dolore afficit *animum*.
,, Ipſa vero inſania malum *quoddam eſt*; ſed præſtat
,, Non cognoſcentem *ſuos errores, ac inſaniam*, perire.
Nut. Tego. meum vero quandonam mors
Corpus teget?
,, Multa me docet vita longa.
,, Oportebat enim mediocres inter ſe mutuo
,, Mortales miſcere, *iungere, & contrahere* amicitias,
,, Et nō vſq; ad extremam medullā animę *penetrare*,
,, Et amores animorum facile ſolui poſſe,
,, Et expelli, & intendi, *minui, & augeri*.
,, Sed afflictari pro duabus vnam
,, Animam, graue onus *eſt*. Sicut etiam ego
,, Pro iſta doleo.
,, Accurata vero vitæ ſtudia
,, Plus aiunt nocere, quam delectare,

„ Et pugnare magis cum ſanitate.
„ Sic id quod nimium eſt,minus laudo
„ Quam illud,Ne quid nimis.
„ Et aſſentientur mihi ſapientes.

Chorus.

Cho. Mulier vetula, fidelis nutrix reginæ
Phædræ,videmus miſeras iſtas calamitates.
Obſcurũ vero nobis *eſt* quisnã ſit hic *domina* morbus.
Ex te igitur ſciſcitari,& audire vellemus.
Nut. Haud ſcio certo.neque enim vult dicere.
Cho. Neque quæ ſit cauſa horum malorum?
Nut. Eodem redis.Nam reticet hæc omnia.
Cho. Quam eſt ægrota,& contabuit corpore.
Nut. Quidni *cõtabeſceret*,ꝙ tertiũ iã diẽ impaſta manet?
Cho. Vtrum ab Ate *vexata*,an mori nitens?
Nut. Mori *nitẽs*.abſtinet .n. a cibo ad deceſsũ e vita,*i. vt mo-*
Cho. *Rem* miram dixiſti,ſi hæc placeant marito. [*riatur.*
Nut. Occultat enim hæc malum,& dicit ſe non ægrotare.
Cho. Ille vero in *eius* faciem intuens nõ cõiicit *morbum?*
Nut. *Minime.* peregri enim eſt,procul ab hoc agro.
Cho. Tu vero nullam vim adhibes,conans
Cognoſcere morbum huius,& errorem mentis?
Nut. Omnia tentaui,& nihil plus effeci.
Tamen non remittam etiam nũc de meo ſtudio.
Vt præſens tu quoque poſſis teſtis eſſe.
Qualis fuerim erga dominos calamitate afflictos.
Sed ô filia *Phædra*,priorem quidem ſermonem
Obliuiſcamur àmbæ,& tu placatior fias,
Soluens triſte ſupercilium,& *aſperam* conſilii viã.
Egoq;,ſi quid tibi nõ recte tunc,*i prius*,dixi,*eo nunc*
Omiſſo,ad alium veniam meliorem ſermonem.
Atq; ſi quo laboras occulto,*nec aliis declarando* malo,
Mulieres iſtæ *adſunt* ad ſedandum morbum:
Si vero tibi calamitas *adſit* ad mares efferenda, *viriuſq;*
Dic,vt medicis indicetur hæc res. [*declaranda,*
Eſto.quid taces?non oportet te tacere filia,
Sed aut me reprehendere,ſi quid non recte dico,
Aut bene dictis obtemperare verbis.
Loquere,quid?huc ſpecta. ô me miſeram,
Mulieres,fruſtra inſumimus hos labores,

Ab-

Digitized by Google

,, Τῇ θ' ὑγιείᾳ μᾶλλον πολεμεῖν.
,, Οὕτω τὸ λίαν γ' ἧσσον ἐπαινῶ
,, Τοῦ μηδὲν ἄγαν.
,, Καὶ ξυμφήσουσι σοφοί μοι.

ΙΑΜΒΟΙ.

χο. Γύναι γεραιὰ, βασιλίδος πιστὴ τροφὲ
Φαίδρας, ὁρῶμεν τάσδε δυστήνους τύχας.
Ἄσημα δ' ἡμῖν, ἥτις ἐστὶν ἡ νόσος.
Σοῦ δ' ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ' ἄν.
τρο. Οὐκ οἶδ' ἐλέγχουσ'. οὐ γὰρ ἐννέπειν θέλει.
χο. Οὐδ' ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;
τρο. Εἰς ταὐτὸν ἥκεις. πάντα γὰρ σιγᾷ τάδε.
χο. Ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας.
τρο. Πῶς δ' οὔ; τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν;
χο. Πότερον ὑπ' ἄτης, ἢ θανεῖν πειρωμένη;
τρο. Θανεῖν. ἀσιτεῖ δ' εἰς ἀπόστασιν βίου.
χο. Θαυμαστὸν εἶπας, εἰ τάδ' ἐξαρκεῖ πόσει.
τρο. Κρύπτει γὰρ ἥδε πῆμα, κοὔ φησιν νοσεῖν.
χο. Ὁ δ' εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων;
τρο. Ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.
χο. Σὺ δ' οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη
Νόσον πυθέσθαι τῆσδε, καὶ πλάνον φρενῶν;
τρο. Εἰς πάντ' ἀφῖγμαι, κοὐδὲν εἴργασμαι πλέον.
Οὐ μὴν ἀνήσω γ' οὐδὲ νῦν προθυμίας,
Ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς,
Οἵα πέφυκα δυστυχοῦσι δεσπόταις.
Ἀλλ' ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
Λαθώμεθ' ἄμφω. καὶ σύ θ' ἡδίων γενοῦ,
Στυγνὴν ὀφρὺν λύσασα, καὶ γνώμης ὁδόν.
Ἐγώ θ' ὅπῃ σοι μὴ καλῶς τόθ' εἱπόμην,
Μεθεῖσ', ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
Κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,
Γυναῖκες αἵδε συγκαθιστάναι νόσον.
Εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
Λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
Εἶεν. τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
Ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
Ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
Φθέγξαι, τί; δεῦρ' ἄθρησον. ὦ τάλαιν' ἐγώ.
Γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους;

Ἴσον δ' ἄπεσμεν τῶν πρίν. οὔτε γὰρ τότε
Λόγοις ἐθέλγεθ' ἥδε, νῦν τ' οὐ πείθεται.
Ἀλλ' ἴσθι μέν τοι, πρὸς τάδ' αὐθαδεστέρα
Γίγνου θαλάσσης, εἰ θανῇ, προδοῦσα σοὺς
Παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων,
Μὰ τὴν ἄνασσαν ἱππείαν ἀμαζόνα,
Ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
Νόθον, φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς
Ἱππόλυτον. Φ. οἴμοι. Τ. θιγγάνει σέθεν τόδε;
φαί. Ἀπώλεσάς με μαῖα, καί σε πρὸς θεῶν
Τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.
τρο. Ὁρᾷς; φρονεῖς μὲν εὖ. φρονοῦσα δ', οὐ θέλεις
Παῖδάς τ' ὀνῆσαι, καὶ σὸν ἐκσῶσαι βίον.
φαί. Φιλῶ τέκν'. ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι.
τρο. Ἁγνὰς μὲν ὦ παῖ χεῖρας αἵματος φέρεις.
φαί. Χεῖρες μὲν ἁγναί, φρὴν δ' ἔχει μίασμά τι.
τρο. Μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;
φαί. Φίλος μ' ἀπόλλυσ' οὐχ' ἑκοῦσαν οὐχ ἑκών.
τρο. Θησεύς τιν' ἡμάρτηκεν εἰς σ' ἁμαρτίαν;
φαί. Μὴ δρῶσ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶς.
τρο. Τί γὰρ τὸ δεινὸν τοῦθ', ὅ σ' ἐξαίρει θανεῖν;
φαί. Ἔα μ' ἁμαρτεῖν. οὐ γὰρ εἰς σ' ἁμαρτάνω.
τρο. Οὐ δῆθ' ἑκοῦσά γ', ἐν δὲ σοὶ λελείψομαι.
φαί. Τί δρᾷς; βιάζῃ χειρὸς ἐξαρτωμένη;
τρο. Καὶ σῶν γε γονάτων οὐ μεθήσομαί ποτε.
φαί. Κάκ' ὦ τάλαινα σοί, τάδ' εἰ πεύσῃ, κακά.
τρο. Μεῖζον γὰρ, ἢ σοῦ μὴ τυχεῖν, τί μοι κακόν;
φαί. Ὀλῇ. τὸ μέν τοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
τρο. Κἄπειτα κρύπτεις, χρήσθ' ἱκνουμένης ἐμοῦ;
φαί. Ἐκ τῶν γὰρ ἐσθλῶν αἰσχρὰ μηχανώμεθα.
τρο. Οὐκοῦν λέγουσα, τιμιωτέρα φανῇ.
φαί. Ἄπελθε πρὸς θεῶν, δεξιᾶς τ' ἐμῆς μέθες.
τρο. Οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδως ὃ χρῆν.
φαί. Δώσω. σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.
τρο. Σιγῷμ' ἂν ἤδη, σὸς γὰρ οὑντεῦθεν λόγος.
φαί. Ὦ τλῆμον, οἷον μῆτερ ἠράσθης ἔρον;
τρο. Ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φῂς τόδε;
φαί. Σύ τ' ὦ τάλαιν' ὅμαιμε, Διονύσου δάμαρ.
τρο. Τέκνον, τί πάσχεις; συγγόνους κακορροθεῖς;
φαί. Τρίτη δ' ἐγὼ δύστηνος ὡς ἀπόλλυμαι;

Digitized by Google

Abſumꝰ aũt *a ꝓpoſito.* tã ꝓcul,q̃ priꝰ. neq; enim tunc
Verbis demulcebatur hæc, neq; nunc obtemperat.
Sed ſcias tamen (quamobrem pertinacior
Sis mari) ſi moriaris,proditis tuis
Liberis, *eos* paternæ non fore participes domus.
Non per reginam equeſtrem Amazonem,
Quæ tuis liberis dominum procreauit
Spurium,ſapientem liberalia,probe ipſum noſti
Hippolytum. *P.* Heu me. *N.* Tangit te hoc?
Pha. Perdidiſti me nutrix. teque per Deos
Oro,vt de hoc viro taceas in poſterum.
Nut. Vides? recte quidem ſapis, prudens vero non vis
Filiisque prodeſſe,& tuam ſeruare vitam.
Pha. Amo liberos:ſed alia tempeſtate iactor.
Nut. O filia,puras quidẽ manus habes a ſanguine. [*polluta.*
Pha. Manꝰ q̃dẽ ſunt puræ:ſed mẽs piaculũ quoddã habet,*eſt*
Nut. Num ex aliunde oblato malo inimici alicuius?
Pha. Amicus me perdit non volentem non volens.
Nut. An Theſeus aliquod peccatum in te peccauit?
Pha. Vtinam ego nunquam illum læſiſſe videar.
Nut. Quæ eſt igitur illa magna res,quæ te cogit mori?
Pha. Sine me peccare.nec enim in te pecco.
Nut. Haud profecto volens *ſinam* ſed in te deficiam.
Pha. Quid agis?Vim ne facis,pendens ex manu?
Nut. Et tua genua non dimittam vnquam.
Pha. Si audies hæc mala, ô miſera, audies tibi mala.
Nut. An vero mihi maiꝰ malũ accidere poteſt, q̃ te priuari?
Pha. Peribis. res tamen iſta mihi gloriam afferet.
Nut. Et deinde *rẽ tã glorioſam* occultas,bona petẽte me?
Pha. Ex honeſtis enim turpia molimur.
Nut. Ergo ſi non dixeris *hæc*, honoratior videberis.
Pha. Abi per Deos,& dimitte meam dextram.
Nut. Nequaquã,ſiquidẽ nõ das mihi donũ , qđ oportebat.
Pha. Dabo. nam reuereor tuam venerandam manum.
Nut. Tacebo iam. iam enim tuum eſt loqui.
Pha. O miſera,qualem mater amaſti amorem?
Nut. Quo amauit taurum,filia,aut cur hoc dicis?
Pha. Et tu miſera ſoror,Bacchi coniunx.
Nut. O filia,quid accidit tibi?cognatis maledicis?
Pha. Egoque tertia infelix,quomodo pereo.

Nut. Perculſa ſum. quonam euadet hæc oratio?
Pha. Inde nos, non recens *ſumus* miſeræ.
Nut. Nihilo magis ſcio quæ volo audire.
Pha. Heu, q̃d o tu mihi poſſes dicere q̃ me oporteat dicere.
Nut. Non ſum vates ad obſcura clare cognoſcenda.
Pha. Quid *eſt* hoc, quod homines dicunt amare?
Nut. Idem ô filia eſt dulciſſimum. & ſimul acerbiſſimum.
Pha. ! Nos ſumus re expertæ alterutrum.
Nut. Quid ais? amas ô filia aliquem hominem?
Pha. Quis nam eſt ille Amazonis filius?
Nut. Hippolytum dicis? *P.* Ex te hæc, non ex me audis.
Pha. Heu me, quid dicis filia? Vt me perdidiſti.
Mulieres, intolerabilia *dicit*, non ſuſtinebo
Viuens iſtum hoſtilem diem: intueor lucẽ inuiſam,
Abiiciam, relinquam corpus, diſcedam
Ex hac vita moriens. valete, non viuo ego amplius.
Continentes enim non volentes *quidem*: ſed tamen
,, Amant mala. Venus igitur non eſt dea:
,, Sed ſi quid aliud maius eſt dea,
Quæ hanc, & me, & domum perdidit.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Audiuiſti ô, audiuiſti ô, non audiendos
2 Reginam morbos miſeros fatentem?
3 Vtinam periiſſem ego, priusquam tua amica
4 Excideret ex ſano mẽtis ſtatu. heu mihi, mihi, heu, heu.
5 O miſera propter hos dolores,
6 O ærumnæ, quæ nutritis homines.
7 Periiſti, emiſiſti in lucem *tua* mala.
8 Quodnam perpetuum hoc tempus te manet?
9 Aliquid noui fiet *in his* ædibus.
10 Non enim eſt amplius obſcurũ, quomodo *domũ hanc* [perdat fortuna
11 Veneris. O miſera puella Creſſa:

Phædra.

Pha. Mulieres Trœzeniæ, quæ extremum hoc
Veſtibulum terræ Pelopię habitatis.
Iam ſæpe *mecum* aliâs noctis in longo tempore
Cogitaui, quomodo corrupta ſit hominum vita.
Et mihi videtur nõ ſecundũ animi naturã: *at præter eã*
,, Deterius facere. eſt enim recta *rerum* cognitio

Multis.

τρο. Ἐκεῖθι πέπληγμαι. ποῖ προβήσεται λόγος;
φαί. Ἐκεῖθεν ἡμεῖς, οὐ νεωστὶ δυστυχεῖς.
τρο. Οὐδέν τι μᾶλλον οἶδ᾽, ἃ βούλομαι κλύειν.
φαί. Φεῦ, πῶς ἂν σύ μοι λέξειας, ἅ μ᾽ ἐχρῆν λέγειν;
τρο. Οὐ μάντις εἰμὶ, τἀφανῆ γνῶναι σαφῶς.
φαί. Τί τοῦθ᾽ ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;
τρο. Ἥδιστον ὦ παῖ ταὐτὸν, ἀλγεινόν θ᾽ ἅμα.
φαί. Ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημέναι.
τρο. Τί φής; ἐρᾷς ὦ τέκνον ἀνθρώπων τινός;
φαί. Ὅστις ποθ᾽ οὗτός ἐσθ᾽ ὁ τῆς ἀμαζόνος;
τρο. Ἱππόλυτον αὐδᾷς; Φ. σοῦ τάδ᾽, οὐκ ἐμοῦ κλύεις.
φαί. Οἴμοι, τί λέξεις τέκνον; ὥς μ᾽ ἀπώλεσας.
Γυναῖκες. οὐκ ἀνάσχετ᾽. οὐκ ἀνέξομαι
Ζῶσ᾽ ἐχθρὸν ἦμαρ. ἐχθρὸν εἰσορῶ φάος.
Ῥίψω μεθήσω σῶμ᾽. ἀπαλλαχθήσομαι
Βίου θανοῦσα, χαίρετ᾽. οὐκ ἔτ᾽ εἰμ᾽ ἐγώ.
Οἱ σώφρονες γὰρ οὐχ ἑκόντες, ἀλλ᾽ ὅμως,
„ Κακῶν ἐρῶσι. Κύπρις οὐκ ἄρ᾽ ἦν θεὸς,
„ Ἀλλ᾽ εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
Ἣ τήνδε, κἀμὲ, καὶ δόμους ἀπώλεσεν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

χο. 1 Ἄϊες ὦ, ἔκλυες ὦ, ἀνήκουστα τᾶς
2 Τυράννου πάθεα μέλεα θρεομένας.
3 Ὀλοίμαν ἔγωγε, πρὶν σὰν φίλαν
4 Καταλῦσαι φρενῶν. ἰώ μοι μοι. φεῦ, φεῦ.
5 Ὦ τάλαινα τῶνδ᾽ ἀλγέων,
6 Ὦ πόνοι τρέφοντες βροτούς.
7 Ὄλωλας, ἐξέφηνας εἰς φάος κακά.
8 Τίς σε παναμέριος ὅδε χρόνος μένει;
9 Τελευτήσεταί τι καινὸν δόμοις.
10 Ἄσημα δ᾽ οὐκ ἔτ᾽ ἐστὶν οἷ φθίνει τύχα
11 Κύπριδος. ὦ τάλαινα παῖ κρησία.

ΙΑΜΒΟΙ.

φαί. Τροιζήνιαι γυναῖκες, αἳ τόδ᾽ ἔσχατον
Οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
Ἤδη ποτ᾽ ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
Θνητῶν ἐφρόντισ᾽, ᾗ διέφθαρται βίος.
Καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
„ Πράσσειν κάκιον. Ἔστι γὰρ τό γ᾽ εὖ φρονεῖν

,, Πολλοῖσιν, ἀλλὰ τῇδ' ἀθρητέον τάδε.
,, Τὰ χρήστ' ἐπιστάμεσθα, καὶ γιγνώσκομεν,
,, Οὐκ ἐκπονοῦμεν δ'. οἱ μὲν ἀργίας ὕπο,
,, Οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
,, Ἄλλην τιν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
,, Μακραί τε λέσχαι, καὶ σχολὴ τερπνὸν κακόν,
,, Αἰδώς τε. δισσαὶ δ' εἰσίν. ἡ μὲν οὐ κακή,
,, Ἡ δ' ἄχθος οἴκων. εἰ δ' ὁ καιρὸς ἦν σαφής,
Οὐκ ἂν δύ' ἤστην ταὔτ' ἔχοντε γράμματα.
Ταῦτ' οὖν ἐπειδὴ τυγχάνω φρονοῦσ' ἐγώ,
Οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν
Ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
Λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν.
Ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως
Κάλλιστ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν
Ἐκ τοῦδε σιγᾶν τήνδε, καὶ κρύπτειν νόσον.
" Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἣ θυραῖα μὲν
,, Φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
,, Αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.
,, Τὸ δεύτερον δέ, τὴν ἄνοιαν εὖ φέρειν,
,, Τῷ σωφρονεῖν νικῶσα, προὐνοησάμην.
,, Τρίτον δ', ἐπειδὴ τοῖσιν οὐκ ἐξήνυτον
,, Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι
,, Κράτιστον. οὐδεὶς ἀντερεῖ βουλεύμασιν.
,, Ἐμοὶ γὰρ εἴη, μήτε λανθάνειν καλά,
,, Μήτ' αἰσχρὰ δρώσῃ, μάρτυρας πολλοὺς ἔχειν.
Τὸ δ' ἔργον ᾔδειν, τὴν νόσον τε δυσκλεᾶ,
Γυνή τε πρὸς τοῖσδ' οὖσ', ἐγίγνωσκον καλῶς,
,, Μίσημα πᾶσιν. Ὡς ὄλοιτο παγκάκως,
,, Ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰσχύνειν λέχη
,, Πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
,, Τόδ' ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
,, Ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
,, Ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
,, Μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
,, Λάθρᾳ δὲ τόλμας οὐ καλὰς κεκτημένας.
,, Αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
,, Βλέπουσιν εἰς πρόσωπα τῶν ξυνευνετῶν;
,, Οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην,
,, Τέραμνά τ' οἴκων, μή ποτε φθογγὴν ἀφῇ.

,, Ἡμᾶς

Digitized by Google

,, **Multis. Sed ſic ſpectanda *ſunt* hæc.**
,, **Bona *quidem* tenemus, & nouimus:**
,, **Sed non facimus:alii quidem propter ignauiam,**
,, Alii vero anteponentes voluptatem honeſto,
,, Aliam aliquam. Sunt enim multæ voluptates vitæ,
,, Et longę cōfabulationes,& ociū,iucūdū malū, [bonū:
,, Et pudor,ſunt aūt duo voluptatū genera:alterū quidē,
,, Alterū vero,onꝰ *i.calamitas* domꝰ. Qđ ſi appareret,vbi
Hęc nō eſsēt duo, cū habeāt easdē literas. [opꝰ eſſet,
Hæc igitur ego cum cogitarem,
Sperabam me nullo pharmaco corrumpi
Poſſe,vt facerem præter animi ſententiam.
Sed dicam tibi etiam meæ mentis viam.
Poſtquam me vulnerauit amor,conſiderabam qua ra-
Pulcherrime ferrem ipſum. Itaque cœpi [tione
Ex eo tempore occultare,& celare hunc morbum.
,, Nam nihil fidendum linguæ quæ alienas quidem
,, Hominum cogitationes corrigere nouit:
,, Ipſa vero ſibi plurima mala accerſit.
,, Secundo vero,hanc *amoris* amentiam fortiter ferre,
,, Caſtitate vincens *eam*,ante decreueram.
,, Tertio autem,quando *modis* iſtis non potui
,, Venerem *i. amorem* ſuperare,mori viſum eſt mihi
,, Optimum. Nullus *his meis* obloquetur conſiliis.
,, Mihi.n.contingat,vt neq; lateant p̄clara *mea facinora*,
,, Neq;,ſi turpia *facinora* faciam, teſtes multos habeam.
Ego quidem norā hāc rē, & morbū iſtū infamē,
Mulierq; præterea cum ſim,ſciebam bene,
,, Omnibus rem eſſe inuiſam. Vtinā *illa* pereat peſſime,
,, Quæcūq: cœpit polluere *cōiugales* lectos *cōgreſſa* cum
,, Prima externis, ex nobilibus autem familiis [viris
,, Hoc malum cœpit in fœminas aſpergi.
,, Nam cum turpia placent iis,qui habentur boni,
,, Certe valde honeſta videntur eſſe malis.
,, Odi autem eas,quæ *palam* verbis quidem ſunt caſtæ:
,, Clam vero audaciæ facinora non honeſta patrant,
,, Quæ quonam modo,ô domina marina Venus,
,, Intuentur in vultus *ſuorum* coniugum?
,, Neque horrent tenebras *malorum* cooperatrices,
,, Tectaque ædium,ne quando vocem edant.

Nos

Digitized by Google

„ Nos enim hoc ipſum interficiet, ô amicæ,
„ Ne vnquam deprehēdar dedecorare meū maritū,
„ Nec liberos quos peperi: ſed ingenue
„ Libertate florentes incolant vrbem,
„ Nobilium Athenarum, clari propter matrem.
„ Seruū enim reddit virū, quāuis ꝗs audaci aīo ſit ꝑdit⁹,
„ Quū ſibi cōſcius eſt maternorū, aut paternorū ſcelerū.
„ Solum autem hoc aiunt certare cū vita, *lōgeq; præſtare*.
„ Si cui iuſta, & honeſta mens adſit.
„ Malos autem homines oſtendit, quando contigerit,
„ Proponens ſpeculum, vt virgo iuuenis,
„ Tempus. apud quos ego vtinam nūquam videar.
Cho. Heu heu, quam vbique pulchra eſt modeſtia:
„ Et egregiam gloriam inter homines affert.
Nut. Domina, mihi quidem calamitas modo
Tua repente præbuit ingentem metum:
„ Nunc vero agnoſco me eſſe timidā. inter hoīes aūt
„ Cogitationes poſteriores aliquādo ſunt prudentiores.
Nihil. n. ſingulare, *nihil noui*, neq; ꝑter rationē *quidquā*
Paſſa es, *tibi cōtigit*. Ira. n. Deę *Veneris* in te eſt graſſata.
Amas? quid hoc eſt mirū? cū multis hib⁹ *hoc habes cōe*.
Deinde vero amoris cauſa animam perdes?
Haud igitur, haud opus eſt *amore* illis, qui alios amāt,
Et quotquot ſunt amaturi, ſi ipſos mori ſit neceſſe.
„ Nā Ven⁹ nō eſt tolerabilis, ſi cū magno impetu irruat.
„ Quæ cedentem quidem leuiter perſequitur.
„ Quē vero ſuꝑbū, magnificeq; *de ſe* ſentientē inuenerit,
„ Hunc arreptum, (quomodo putas) duriter tractat.
„ Vadit enim per aerem, eſt & in marinis
„ Fluctibus Venus. Omnia aūt ex hac ſunt nata.
„ Hæc eſt quæ ſeminat, & dat amorem,
„ Cuius *amoris* omnes in terra ſumus poſteri.
„ Quicunque igitur ſcripta veterum
„ Habent, & qui ſemper verſantur in poematis,
„ Norunt quomodo quondā Iupiter amauerit nuptias
„ Semeles, & norunt vt aliquando rapuerit
„ Pulchrā lucem ſpargēs Aurora Cephalū inter deos,
„ Propter amorem. ſed tamen in cælo
„ Habitant, nec fugiunt procul a diis.
„ Sed *dii* patiuntur *eos*, credo, victi calamitate.

Tu

,, Ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
,, Ὡς μή ποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
,, Μὴ παῖδας, οὓς ἔτικτον. ἀλλ' ἐλεύθεροι
,, Παρρησίᾳ θάλλοντες, οἰκοῖεν πόλιν
,, Κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
,, Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ.
,, Ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.
,, Μόνον δὲ τοῦτό φασ' ἁμιλλᾶσθαι βίῳ,
,, Γνώμην δικαίαν κἀγαθὴν ὅτῳ παρῇ.
,, Κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ,
,, Προθεὶς κάτοπτρον, ὥστε παρθένος νέα,
,, Χρόνος. παρ' οἷσι μή ποτ' ὀφθείην ἐγώ.
χο. Φεῦ, φεῦ. τὸ σῶφρον ὡς ἁπανταχοῦ καλὸν,
,, Καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται.
τρο. Δέσποιν', ἐμοί τοι συμφορὰ μὲν ἀρτίως
Ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον.
,, Νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα κἀν βροτοῖς
,, Αἱ δεύτεραί πως φροντίδες, σοφώτεραι.
Οὐ γὰρ περισσὸν οὐδὲν, οὐδ' ἔξω λόγου
Πέπονθας. ὀργαὶ δ' ἐς σ' ἐπέσκηψαν θεᾶς.
Ἐρᾷς; τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
Κᾆπειτ' ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
Οὐκ ἄρα γ' οὐ δεῖ τοῖς ἐρῶσι τῶν πέλας,
Ὅσοι τε μέλλουσ', εἰ θανεῖν αὐτοὺς χρεών.
,, Κύπρις γὰρ οὐ φορητὸς, ἢν πολλὴ ῥυῇ.
,, Ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται.
,, Ὃν δ' ἂν περισσὸν καὶ φρονοῦνθ' εὕρῃ μέγα,
,, Τοῦτον λαβοῦσα, πῶς δοκεῖς καθύβρισε.
,, Φοιτᾷ δ' ἀν' αἰθέρ'. ἔστι δ' ἐν θαλασσίῳ
,, Κλύδωνι Κύπρις. πάντα δ' ἐκ ταύτης ἔφυ.
,, Ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον,
,, Οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
,, Ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
,, Ἔχουσιν, αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεὶ,
,, Ἴσασι μὲν, Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
,, Σεμέλης ἴσασι δ', ὡς ἀνήρπασέν ποτε
,, Ἡ καλλιφεγγὴς Κέφαλον εἰς θεοὺς ἕως,
,, Ἔρωτος οὕνεκ'. ἀλλ' ὅμως ἐν οὐρανῷ
,, Ναίουσι, κοὐ φεύγουσιν ἐκποδὼν θεούς.
,, Στέργουσι δ' οἶμαι ξυμφορᾷ νικώμενοι.

Σὺ

Σὺ δ' οὐκ ἀνέξῃ; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
Πατέρα φυτεύειν, ἢ 'πὶ δεσπόταις θεοῖς
Ἄλλοισιν, εἰ μὴ τούσδε γε στέργεις νόμους.
„ Πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν,
„ Νοσοῦνθ' ὁρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾶν;
„ Πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
„ Συνεκκομίζειν Κύπριν. ἐν σοφοῖσι γὰρ
„ Τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
„ Οὐδ' ἐκπονεῖν τοι χρὴ βίον λίαν βροτούς,
„ Οὐδὲ στέγην γὰρ, ἧς κατηρεφεῖς δόμοι,
„ Καλῶς ἀκριβώσειαν. εἰς δὲ τὴν τύχην
„ Πεσοῦσ', ὅσην σὺ, πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
„ Ἀλλ' εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
„ Ἄνθρωπος οὖσα, κάρτα γ' εὖ πράξειας ἄν.
„ Ἀλλ' ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
„ Λῆξον δ' ὑβρίζουσ'· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
„ Τάδ' ἐστὶ, κρείσσω δαιμόνων εἶναι θέλειν·
„ Τόλμα δ' ἐρῶσα, θεὸς ἐβουλήθη τάδε.
„ Νοσοῦσα δ', εὖ πως τὴν νόσον καταστρέφου.
„ Εἰσὶν δ' ἐπῳδαὶ, καὶ λόγοι θελκτήριοι.
„ Φανήσεταί τι τῆσδε φάρμακον νόσου.
„ Ἦ τἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,
„ Εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

Χο. Φαίδρα. λέγει μὲν ἥδε χρησιμώτερα
Πρὸς τὴν παροῦσαν ξυμφοράν. αἰνῶ δὲ σέ.
Ὁ δ' αἶνος οὗτος δυσχερέστερος λόγων
Τῶν τῆσδε, καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν.

Φαι. Τοῦτ' ἔσθ', ὃ θνητῶν εὖ πόλεις οἰκουμένας,
„ Δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι.
„ Οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ δεῖ λέγειν,
„ Ἀλλ' ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.

Τρο. Τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
Δεῖ σ', ἀλλὰ τἀνδρός. ὡς τάχος διιστέον
Τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
Εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος
Τοιαῖσδε, σώφρων δ' οὖσ' ἐτύγχανες γυνή,
Οὐκ ἄν ποτ' εὐνῆς οὕνεχ', ἡδονῆς τε σῆς,
Προῆγον ἄν σε δεῦρο. νῦν δ' ἀγὼν μέγας
Σῶσαι βίον σὸν, κοὐκ ἐπίφθονον τόδε.

Φαι. Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλείσεις στόμα;

Καὶ

Tu vero *hæc* nō ſuſtinebis? oportebat igitur te cōndi-
A patre gigni, aut ſub dominis diis [tionibus certis,
Aliis *genitam viuere*, ſi non acquieſcis hiſce legibus.
„ Quot putas iam valde ſana mente præditos eſſe,
„ Qui q̃uis ſuos lectos *amoris* morbo laborātes videāt,
„ Quot etiā ꝑs cū liberis, ꝗ peccarāt, [ſe vid̃e diſſimulēt?
„ Leuaſſe Venerē, *eorūq; culpā extenuaſſe putas?* ſapiētiæ
„ Hęc tribuūtur hīm, vt lateāt q̃ nō *ſunt* honeſta. [enim
„ Nec oportet homines vitam nimis *ſeueram* excolere.
„ Nam ne tectum quidem, quo tectæ *ſunt* ædes,
„ Nimis exacta cura faciunt *artifices*. in calamitatē vero
„ Lapſa quātā tu *dixiſti*, qđo te *hic* euaſurā putas?
„ Sed ſi habes plura bona, quam mala,
„ Cum ſis homo, præclare agitur tecum.
„ Sed ô chara filia malam mentem habere ceſſa,
„ Ceſſaq; *Venerē* afficere cōtumelia nō .n. aliud q̃ cōtu-
„ Hęc ſunt, q̃ *facis*, ſuperiorē diis eſſe velle. [melia
„ Fortiter aūt amore tolera Deus .*n*. voluit hæc *ita fieri*.
„ Laborans vero *amoris* morbo, morbū hunc bene fini.
„ Sunt autem incātationes, & verba *animos* demulcētia,
„ Inuenietur aliquod remedium huius morbi.
„ Profecto enim ſero *aliquid* viri inuenient,
„ Si nos mulieres nullas artes inueniamus.
Cho. Phædra, hæc quidem dicit vtiliora
Ad præſentem calamitatem: laudo vero te.
Sed hæc laus *eſt* odioſior verbis
Huius, & tibi longe moleſtior auditu.
Pha. Hoc eſt, quod bene conſtitutas hominum ciuitates,
„ Et familias euertit, nimis ſplendidi ſermones.
„ Non enim oportet dicere iucunda auribus,
„ Sed id, ex quo glorioſus quis euadat.
Nut. Quid *adeo* magnifice loqueris? nō verbis ſpecioſis nūc
Opus eſt tibi: ſed viro. celeriter *aūt ſunt* diſpiciendi,
Qui rectū, *apertumq; viro* de te ſermonem enuntient.
Niſi enim tua vita in calamitatibus verſaretur
Tantis, & *ſi* eſſes pudica mulier,
Nunquam propter lectum, & voluptatem tuam,
Huc te adhortarer: nunc vero eſt magnum certamen
Vt ſeruem vitam tuam, neq; hoc inuidię *eſt* obnoxiū.
Pha. O atrocia locuta: non claudes os?

Et

Digitized by Google

Et non omittes iterum turpiſſimos ſermones?

Nut. Sūt q̄ dē hęc turpia,ſed meliora tamē tibi, q̄ honeſta:
Melior enim *erit* res,ſi modo te ſeruarit,
Quam illud nomen,quo tu ſuperbiens morieris.

Pha. Ne per Deos(bene enim dicis,ſed turpia)
Vltra hæc progrediaris,quod recte ſubiecerim
Animam amori,ſi vero turpia pulchre dixeris,
In id,quod fugio nunc,delapſa conſumar *ac peribo.*

Nut. Si igitur tibi *ſic* videbatur, non oportebat te peccare.
Si tamē *hoc decreuiſti*,pare mihi ſecūda.n.*eſt* hęc gratia.
Sunt mihi domi demulcētia philtra
Amoris.venerunt autē mihi modo in mentem,
Quæ te neque turpiter, neq; cum læſione mentis,
Liberabunt hoc morbo,ſi tu nō fueris ignaua, *neq; cō-*
Oportet enim iam ab illo,quem amas,aliq͂ [*tumax.*
Signum,aut ſermonem aliquem,aut a veſtibus *eius*
Accipere, & coniungere ex duobus vnum amorē.

Pha. Vtrum aūt vnctile,an potabile *erit* hoc pharmacum?

Nut. Haud ſcio ô filia, velis iuuari,non doceri.

Pha. Metuo ne mihi nimis ſapiens videaris.

Nut. Omnia timere te ſcito: quid vero vereris?

Pha. Ne quid horum indices Theſei filio.

Nut. Sine ô filia. ego recte curabo hæc.
Tantum tu mihi domina marina Venus
Auxiliatrix ſis. alia enim,quæ ego cogito,
Sufficiet dicere noſtris amicis qui ſunt intus.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Amor amor,qui per oculos
2 Stillat deſiderium, inducens ſuauem
3 Animæ voluptatem,*illis* aduerſus quos militat,
4 Ne mihi vnquam cum damno appareas,
5 Ne mihi immoderatus venias.
6 Neque enim ignis,ne-
7 que aſtrorum ſuperum telum *eſt tale,*
8 Quale Venereum
9 Mittit e manibus
10 Amor filius Iouis.

Antiſtrophe I.

1 Fruſtra, fruſtra & ad Alpheum;

2 Phœ-

Καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;
Τρο. Αἴσχρ', ἀλλ' ἀμείνω τῶν καλῶν τάδ' ἐστί σοι.
Κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε,
Ἢ τοὔνομ', ᾧ σὺ κατθανῇ γαυρουμένη.
Φαι. Καὶ μή γε πρὸς θεῶν (εὖ λέγεις γὰρ, αἰσχρὰ δὲ)
Πέρα προβῇς τῶνδ', ὡς ὑπείργασμαι μὲν εὖ
Ψυχὴν ἔρωτι, τἀισχρὰ δ' ἢν λέγῃς καλῶς,
Εἰς τοῦθ', ὃ φεύγω νῦν, ἀναλωθήσομαι.
Τρο. Εἴ τοι δοκεῖ σοι, χρῆν μὲν οὔ σ' ἁμαρτάνειν.
Εἰ δ' οὖν, πιθοῦ μοι δευτέρα γὰρ ἡ χάρις,
Ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
Ἔρωτος. ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω,
Ἅ σ' οὔτ' ἐπ' αἰσχροῖς, οὔτ' ἐπὶ βλάβῃ φρενῶν,
Παύσει νόσου τῆσδ', ἢν σὺ μὴ γένῃ κακή.
Δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
Σημεῖον, ἢ λόγον τιν', ἢ πέπλων ἄπο
Λαβεῖν, συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.
Φαι. Πότερα δὲ χριστὸν, ἢ ποτὸν τὸ φάρμακον;
Τρο. Οὐκ οἶδ'. ὄνασθαι, μὴ μαθεῖν βούλου, τέκνον.
Φαι. Δέδοιχ', ὅπως μοι μὴ λίαν φανῇς σοφή.
Τρο. Πάντ' ἂν φοβηθεῖσ' ἴσθι. δειμαίνεις δὲ τί;
Φαι. Μή μοί τι Θησέως τῶνδε μηνύσῃς τόκῳ.
Τρο. Ἔασον ὦ παῖ. ταῦτ' ἐγὼ θήσω καλῶς.
Μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
Συνεργὸς εἴης. τἄλλα δ' οἷ' ἐγὼ φρονῶ,
Τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. 1 Ἔρως, ἔρως, ὁ κατ' ὀμμάτων
,, 2 Στάζεις πόθον, εἰσάγων γλυκεῖαν
,, 3 Ψυχᾷ χάριν, οὓς ἐπιστρατεύσῃ,
4 Μή μοι ποτὲ σὺν κακῷ φανείης,
5 Μηδ' ἄρρυθμος ἔλθοις.
6 Οὔτε γὰρ πυρὸς, οὔ-
7 τ' ἄστρων ὑπέρτερον βέλος,
8 Οἷον τὸ τᾶς Ἀφροδίτας
9 Ἵησιν ἐκ χερῶν
10 Ἔρως ὁ Διὸς παῖς.

Ἀντιστροφὴ α΄.

1 Ἄλλως ἄλλως παρά τ' Ἀλφεῷ,

Digitized by Google

Φοίβου τ' ἐπὶ πυθίοις τεράμνοις,
Βοῦταν φόνον Ἑλλὰς ἀέξει.
Ἔρωτα δὲ τὸν τύραννον ἀνδρῶν,
Τὸν τᾶς Ἀφροδίτας
Φιλτάτων θαλάμων
Κληδοῦχον, οὐ σεβίζομεν,
Πέρθοντα, καὶ διὰ πάσης
Ἰόντα συμφορᾶς
Θνατοῖς, ὅταν ἔλθῃ.

Στροφὴ β'.

Τὰν μὲν οἰχαλίᾳ
Πῶλον, ἄζυγα λέκτρων,
Ἄνανδρον τοπρὶν, καὶ
Ἄνυμφον, οἴκων
Ζεύξασ' ἀπ' εἰρεσίαν δρομάδα.
Τὰν ναΐδ' ὅπως τε βάκχαν,
Σὺν αἵματι, σὺν καπνῷ,
Φονίοις θ' ὑμεναίοις,
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν.
Ὦ τλάμων ὑμεναίων.

Ἀντιστροφὴ β'.

Ὦ Θήβας ἱερὸν
Τεῖχος. ὦ στόμα Δίρκας,
Συνείποιτ' ἂν οἷον
Ἁ Κύπρις ἕρπει.
Βροντᾷ γὰρ ἀμφιπύρῳ, τοκάδα
Τὰν διογόνοιο βάκχου
Νυμφευσαμέναν, πότμῳ
Φονίῳ κατεύνασε.
„ Δεινὸν γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλισσα
„ Δ' οἵα τις πεπόταται.

Φαί. Σιγήσατ' ὦ γυναῖκες, ἐξειργάσμεθα.
Χο. Τί δ' ἐστὶ Φαίδρα δεινὸν ἐν δόμοισι σοῖς;
Φαί. Ἐπίσχετ'. αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.
Χο. Σιγῶ. τὸ μὲν τοι φροίμιον κακὸν τόδε.
Φαί. Ἰώ μοι. αἶ, αἶ, αἶ, αἶ.
Ὦ δυστάλαινα, τῶν ἐμῶν παθημάτων.

ΠΕΡΙΚΟΜΜΑΤΑ

Στροφὴ α'.

Χο. Τίνα θροεῖς αὐδάν;

2 Τίνα

2 Phœbique in Pythiis delubris.
3 Mactationem boum iam auget Græcię.
4 Amorem vero tyrannum hominum
5 Filium Veneris
6 Gratiſſimum thalamorum
7 Ianitorem *atque cuſtodem* non colimus,
8 Perdentem *homines*, & per omnes
9 Calamitates euntem
10 Mortalibus, quum *ad eos* venerit.

Strophe II.

1 Oechaliam enim
2 Puellam expertem coniugii,
3 Quæ prius ſine marito fuerat, &
4 Innuptam *in* ædibus,
5 Iungens *connubio* impigrã. *ac indefeſſam* curſu virginẽ,
6 Naidem *furentem* vt Baccham,
7 Cum ſanguine, & cum fumo,
8 Cruentisque hymenæis,
9 Alcmenæ filio, *i. Herculi*, Venus dedit,
10 O miſeram propter nuptias.

Antiſtrophe II.

1 O ſacer Thebarum
2 Murus, ô os Dircæ:
3 Dicite ſimul quomodo
4 Venus veniat.
5 Cum fulmine enim ignito matrem
6 Bacchi a Ioue geniti
7 Nuptam, fato
8 Letali ſopiuit, *ac necauit*.
„ 9 Horribili enim *Venus* omnia afflatu ciet. apis autem
„ Vt quædam *ad flores, ſic Venus ad homines* volat.

Pha. Tacete mulieres, perditæ ſumus.
Cho. Quid vero eſt mali ô Phædra in tuis ædibus?
Pha. Cohibete vos, *vt* cognoſcã clamorem illorũ, qui intus [*ſunt*.
Cho. Taceo. hoc tamen *eſt* malum exordium.
Pha. Heu me, heu, heu, heu, heu.
O me miſeram propter mea mala, quæ patior.

PERICOMMATA.

Strophe I.

Ch. 1 Quem edis eiulatum?

2 Quæ vociferaris verba?
3 Dicito quæ terret te
4 Fama, ô mulier, *in tuum* animum ſubito ruens?

Syſtema I.

Pha. 1 Periimus. his aſtantes foribus
2 Audite qualis ſtrepitus in ædibus ruat, *excitetur*.

Strophe II.

Ch. 1 Tu *ſtans* ad ianuam, tibi
2 Curæ eſt quæ venit
3 Ex ædibus fama.
4 Dic autem, dic mihi,
5 Quid nam accidit mali?

Syſtema II.

Pha. 1 Filius bellicoſæ Amazonis clamat
2 Hippolytus, dicens contra ancillam grauia mala.

Antiſtrophe II.

Ch. 1 Audio quidem vocem:
2 Clare tamen non poſſum
3 Percipere vocem.
4 Per fores tranſiit,
5 Venit tibi vox.

Antiſyſtema II.

Pha. 1 Atqui perſpicue ſane illā malorū pronubā, & *conciliatricem,*
2 Quæ domini lectū prodidit, eloquitur,

Antiſtrophe I.

Ch. 1 Hei mihi, mihi propter mala.
2 Prodita es ô chara.
3 Quid tibi dem conſilii?
4 Arcana enim ſunt reuelata: periiſti.

Pha. Heu heu, heu heu. *Cho.* Prodita *es* ab amicis.

Antiſyſtema I.

Pha. 1 Perdidit me, dicens mea mala,
2 Amice *quidem*, ſed non recte curans hunc morbum.

Chorus.

Cho. Quomodo igitur? quid facies ô *mulier* paſſa incurabilia *mala?*
Pha. Haud ſcio, niſi vnum, mori quam primum,
Quod eſt præſentium malorū remedium vnicum.
Hipp. O terra mater, Soliſq; voluīa, *radiiq; ꝑ aerē explicati,*
Qualium ſermonum infandam audiui vocem?
Nut. Tace ô fili, priuſquam audiat vocem aliquis.

Hipp.

Digitized by Google

2 Τίνα βοᾶς λόγον;
3 Ἔνεπε τίς φοβεῖ σε
4 Φήμα, γυναῖ, φρένας ἐπίσσυτος;

Σύστημα α'.

1 Ἀπωλόμεσθα. ταῖσδ' ἐπιστᾶσαι πύλαις,
2 Ἀκούσαθ' οἷος κέλαδος ἐν δόμοις πίτνει.

Στροφὴ β'.

Χο. 1 Σὺ παρὰ κλῇθρα· σοὶ
2 Μέλει πομπίμα
3 Φάτις δωμάτων.
4 Ἔννεπε δ' ἔννεπέ μοι,
5 Τί ποτ' ἔβα κακόν;

Σύστημα β'.

Φαί. 1 Ὁ τῆς φιλίππου παῖς ἀμαζόνος βοᾷ,
2 Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.

Ἀντιστροφὴ β'.

Χο. 1 Ἰαχὰν μὲν κλύω,
2 Σαφὲς δ' οὐκ ἔχω
3 Γεγωνεῖν ὄπα.
4 Διὰ πύλας ἔμολεν.
5 Ἔμολέ σοι βοά.

Ἀντισύστημα β'.

Φαί. 1 Καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήστριαν,
2 Τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.

Ἀντιστροφὴ α'.

Χο. 1 Ὤ μοι ἐγὼ κακῶν.
2 Προδέδοσαι φίλα.
3 Τί σοι μήσομαι; τὰ
4 Κρυπτὰ γὰρ πέφηνε, διὰ δ' ὄλλυσαι.
Φαί. Αἶ, αἶ. ἒ, ἔ. Χ. πρόδοτος ἐκ φίλων.

Ἀντισύστημα α'.

Φαί. 1 Ἀπώλεσέν μ' εἰποῦσα συμφορὰς ἐμάς,
2 Φίλως, καλῶς δ' οὔ, τήνδ' ἰωμένη νόσον.

ΙΑΜΒΟΙ.

Χο. Πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;
Φαί. Οὐκ οἶδα, πλὴν ἕν, κατθανεῖν ὅσον τάχος,
Τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.
Ἱππ. Ὦ γαῖα μῆτερ, ἡλίου τ' ἀναπτυχαί,
Οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.
Τρο. Σίγησον ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.

ἱππ. Οὐκ ἔστ'. ἀκούσας δεῖν' ὅπως σιγήσομαι.
τρο. Ναὶ πρός σε τῆς σῆς δεξιᾶς εὐωλένου.
ἱππ. Οὐ μὴ προσοίσεις χεῖρα, μὴ δ' ἅψῃ πέπλων.
τρο. Ὦ πρός σε γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.
ἱππ. Τί δ', εἴπερ ὡς φῂς μηδὲν εἴρηκας κακόν;
τρο. Ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.
ἱππ. Τά τοι καλ' ἐν πολλοῖσι κάλλιον λέγειν.
τρο. Ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.
ἱππ. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.
τρο. Ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσῃ;
ἱππ. Ἀπέπτυσ'. οὐδεὶς ἄδικός ἐστί μοι φίλος.
τρο. Σύγγνωθ'. ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.
ἱππ. Ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν,
,, Γυναῖκας, εἰς φῶς ἡλίου κατῴκισας;
,, Εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
,, Οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε.
,, Ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
,, Ἢ χαλκὸν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος,
,, Παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
,, Τῆς ἀξίας ἕκαστον. ἐν δὲ δώμασι
,, Ναίειν ἐλευθέροισι, θηλειῶν ἄτερ.
,, Νῦν δ' εἰς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
,, Μέλλοντες, ὄλβον δωμάτων ἐκτίνομεν.
,, Τούτῳ δὲ δῆλον, ὡς γυνὴ κακὸν μέγα.
,, Προσθεὶς γὰρ ὁ σπείρας τε καὶ θρέψας πατὴρ
,, Φερνὰς, ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ.
,, Ὁ δ' αὖ λαβὼν ἀτηρὸν εἰς δόμους κακὸν,
,, Γέγηθε, κόσμον προστιθεὶς ἀγάλματι
,, Καλὸν κακίστῳ, καὶ πέπλοισιν ἐκπονεῖ,
,, Δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
,, Ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλοῖς
,, Γαμβροῖσι, χαίρων σώζεται πικρὸν λέχος.
,, Ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
,, Λαβὼν, πιέζει τἀγαθῷ τὸ δυστυχές.
,, Ῥᾷστον δ', ὅτῳ τὸ μηδὲν, ἀλλ' ἀνωφελὴς
,, Εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
,, Σοφὴν δὲ μισῶ. μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
,, Εἴη φρονοῦσα πλεῖον, ἢ γυναῖκα χρῆν.
,, Τὸ γὰρ πανοῦργον μᾶλλον ἐντίκτει Κύπρις
,, Ἐν ταῖς σοφαῖσιν. ἡ δ' ἀμήχανος γυνὴ

,, Γνώμῃ

Digitized by Google

Hipp. Non poteſt fieri vt taceam, cũ tam atrocia audiuerim.
Nut. Oro te per tuam pulchram dextram.
Hipp. Ne admoueas manum,neque attingas veſtem.
Nut. O per genua tua te rogo,ne me perdas.
Hipp. Quid vero *tacebo*,ſiquidẽ,vt dicis,nihil mali locuta eſt?
Nut. O fili,hoc meum dictum non eſt euulgandum.
Hipp. Honeſta tamen inter multos honeſtũ eſt dicere.
Nut. O fili,iuſiurandum ne contemnas.
Hipp. Lingua iurauit,mens vero *manet* iniuriata.
Nut. O fili quid facies?perdes tuos amicos?
Hipp. Abominor: nullus *enim* ſceleratus eſt mihi amicus.
Nut. Ignoſce.Conſentaneum *eſt* homines errare,ô fili.
Hipp. O Iupiter,quid nam fucatum malum hominibus,
„ Mulieres ſub ſolis luce collocaſti?
„ Si enim volebas ſeminare genus humanum,
„ Non oportebat hoc fieri ex mulieribus:
„ Sed *oportebat* homines dicantes in tuis templis
„ Aut æs,aut ferrum , aut auri pondus,
„ Liberorum emere ſemen,pro precio [& in ędibus
„ Æſtimationis vnũ quẽq;,*i. p̃oblati mũeris æſtimatione.*
„ Liberis habitare, ſine mulieribus.
„ Nunc vero primum hoc malum ducere in ædes
„ Volentes,expendimus *omnes noſtræ* domus facultates.
„ Inde aũt manifeſtũ eſt, quam magnũ malũ ſit mulier.
„ Pater enim qui genuit,& educauit,addens
„ Dotem,in alienas ædes elocatam mittit,
„ Qui vero contra malum noxium in ædes recępit,
„ Gaudet,ornatum addens ſtatuæ
„ Peſſimæ pulchrum,& ornat veſtibus
„ Infelix,*oẽs* facultates *ſuæ* domus ſubtrahẽs,*exhauriens,*
„ Habet enim neceſſitatem,quia iunctus affinitate claris
„ Affinibus,gaudens ſeruat acerbum,*moleſtũq;* lectũ.
„ Aut bonũ connubiũ,*i. bonã vxorẽ,* ſoceros vero malos
„ Nactus, premit. *lenitq;*, bono *ſuum* infortunium.
„ Melius vero cui nihil *eſt iſtorum,* ſed inutilis
„ Propter ſimplicitatem mulier in ædibus collocatur.
„ Odi.n.ſapiẽtẽ *mulierẽ.* vtinã vero ne ſaltẽ ĩ mea domo
„ Sit mulier,quæ plus ſapiat, q̃ oporteat mulierẽ *ſapere.*
„ Nam Venus magis parit aſtutiam
„ In ſapientibus. mulier vero ſimplex

„ Propter mētē breuē, *exiguãq; prudētiã*, ſtultitię *venerea*
„ Nō oportebat aūt ad doīas venire ancillā, [eſt īmunis.
„ Sed vna habitare cum ipſis muta animantia
„ Fera, ne quemquam alloqui poſſent,
„ Nec ex illo vocem iterum accipere.
„ Nunc vero malæ quidem *mulieres* mala intus agitant
„ Conſilia, foras vero efferunt ancillæ.
Vt & tu nobis patris, ô ſceleſtum caput,
Lectorū intactorū, *nec tāgendorū*, veniſti ad fœdera cō-
Quæ *ſcelera* ego fluentibus aquis abſtergā, [cilianda.
„ In aures inſtillans, *eaſq; eluens*. qđo igitur fierē malus,
„ Qui ne purus quidem eſſe videor his auditis?
„ Probe autem *hoc* ſcias, te mea pietas ſeruat, mulier.
Niſi.n. iureiurādo deorū incautus, eſſem deprehēſus,
Nunquam me continuiſſem, quin dicerem hæc patri.
Nūc vero ex ędib. q dē, quādiu pegri extra *hanc* terram
Theſeus *fuerit*, abibo, tacite vero continebimꝰ os.
Videbo aūt cū patre profectꝰ, *i. huc reuerſus*, pedibus,
Quomodo ipſum ſis inſpectura & tu, & domina tua.
Tuam autem audaciam *iam* expertus cognoſcam.
„ Pereatis. nunquā vero *odio* ſatiatus deſinam odiſſe
„ Mulieres, neq; ſi quis dicat me *hoc* ſemper dicere.
„ Nam profecto & illæ ſemper ſunt malæ.
Aut nunc eas doceat aliquis caſtas eſſe,
Aut me quoque ſinat in illas inuehi ſemper.

ANTISTROPHICA.

Antiſtrophe.

Ch. 1 Infelices. ô miſerum mulierum fatum,
2 Quam iam artem, aut rationem habemus *ſpe*
3 Fruſtratæ, ad diſſoluendum nodum *huius* cauſæ?
Ph. 4 Luimus *meritas* pœnas, ô terra, & lux,
5 Quonam fugiens vitabo *præſentes* calamitates?
6 Quomodo vero ô charæ celabo malum?
7 Quis deus auxiliator, aut quis hominum
8 Adiutor, aut cooperator iniuſtorum facinorum
9 Apparebit? nam hoc noſtrum malum
10 Vitæ præſens inexplicabile, *ac ineuitabile* venit.
11 Ego *ſum* miſerrima *omnium* mulierum.

Chorus.

Cho. Heu, heu. actum eſt. nō enim ſucceſſerunt technæ

Tuæ

Digitized by Google

„ Γνώμη βραχείᾳ μωρίαν ἀφῃρέθη.
„ Χρῆν δ' εἰς γυναῖκας πρόσπολον μὲν οὐ περᾶν,
„ Ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη
„ Θηρῶν, ἵν' εἶχον μηδὲ προσφωνεῖν τινα,
„ Μήτ' ἐξ ἐκείνου φθέγμα δέξασθαι πάλιν.
„ Νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
„ Βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.
Ὡς καὶ σύ γ' ἡμῖν πατρὸς, ὦ κακὸν κάρα,
Λέκτρων ἀθίκτων ἦλθες εἰς συναλλαγάς.
Ἃ 'γὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
„ Εἰς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,
„ Ὃς οὐδ' ἀκούσας τοιάδ', ἁγνεύειν δοκῶ;
„ Εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώζει γύναι.
Εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ηὑρέθην,
Οὐκ ἄν ποτ' ἔσχον μὴ τάδ' ἐξειπεῖν πατρί.
Νῦν δ' ἐκ δόμων μὲν ἔς τ' ἂν ἔκδημος χθονὸς
Θησεύς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα.
Θεάσομαι δὲ σῷ πατρὶ μολὼν ποδὶ,
Πῶς νιν προσόψει καὶ σύ, καὶ δέσποινα σή.
Τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
„ Ὄλοισθε. Μισῶν δ' οὔ ποτ' ἐμπλησθήσομαι
„ Γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν.
„ Ἀεὶ γὰρ οὖν πως εἰσὶ κἀκεῖναι κακαί.
Ἤ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
Ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Ἀντιστροφή.

Χο. 1 Τάλανες, ὦ κακοτυχεῖς γυναικῶν πότμοι,
2 Τίνα νῦν ἢ τέχναν ἔχομεν, ἢ λόγον,
3 Σφαλεῖσαι κάθαμμα λύσειν λόγου;
Φα. 4 Ἐτύχομεν δίκας, ὦ γᾶ, καὶ φῶς,
5 Πᾷ ποτ' ἐξαλύξω τύχας;
6 Πῶς δὲ κρύψω φίλαι πῆμα;
7 Τίς ἂν θεῶν ἀρωγὸς, ἢ τίς ἂν βροτῶν
8 Πάρεδρος, ἢ ξυνεργὸς ἀδίκων ἔργων
9 Φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος
10 Παρὸν, δυσεκπέρατον ἔρχεται βίου.
11 Κακοτυχεστάτα γυναικῶν ἐγώ.

ΙΑΜΒΟΙ.

Τρ. Φεῦ, φεῦ. πέπρακται, κοὐ κατώρθωνται τέχναι,

Digitized by Google

Δέσποινα, τῆς σῆς προσπόλου. κακῶς δ' ἔχει.
Φαί. Ὦ παγκακίστη, καὶ φίλων διαφθορεῦ.
Οἷ' εἰργάσω με. Ζεύς ὁ γεννήτωρ ἐμὸς,
Πρόρριζον ἐκτρίψειέ σ', οὐτάσας πυρί.
Οὐκ εἶπον; οὐ σῆς προὐνοησάμην φρενὸς,
Σιγᾶν, ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
Σὺ δ' οὐκ ἀνέσχου. τοιγὰρ οὐκ ἔτ' εὐκλεεῖς
Θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.
Οὗτος γὰρ ὀργῇ συντεθηγμένος φρένας,
Ἐρεῖ καθ' ἡμῶν πατρὶ τὰς ἁμαρτίας.
Ἐρεῖ δὲ Πιτθεῖ τῷ γέροντι συμφορὰς,
Πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.
„ Ὄλοιο καὶ σὺ, χ' ὅστις ἄκοντας φίλους
„ Πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.
Τρο. Δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά.
Τὸ γὰρ δάκνον, σου τὴν διάγνωσιν κρατεῖ.
Ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξῃ, λέγειν.
Ἔθρεψά σ', εὔνους τ' εἰμί. τῆς νόσου δέ σοι
Ζητοῦσα γ' εὗρον φάρμαχ', οὐχ ἃ βουλόμην.
Εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦ.
„ Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.
Φαί. Ἦ γὰρ δίκαια ταῦτα, κἀξαρκοῦντά μοι,
Τρώσασαν ἡμᾶς, εἶτα συγχωρεῖν λόγοις;
Τρο. Μακρηγοροῦμεν. οὐκ ἐσωφρόνουν ἐγώ.
Ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.
Φαί. Παῦσαι λέγουσα. καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
Παρῄνεσάς μοι, κἀπεχείρησας κακά.
Ἀλλ' ἐκποδὼν ἄπελθε, καὶ σαυτῆς πέρι
Φρόντιζ'. ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.
Ὑμεῖς δὲ παῖδες εὐγενεῖς Τροιζήνιαι,
Τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
Σιγῇ καλύψαθ', ἅ 'νθάδ' εἰσηκούσατε.
Χο. Ὄμνυμι σεμνὴν Ἄρτεμιν Διὸς κόρην,
Μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.
Φαί. Καλῶς ἐλέξαθ'. ἓν δὲ προστρέπουσ' ἐγὼ
Εὕρημα δή τι τῆσδε συμφορᾶς ἔχω,
Ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,
Αὐτή δ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
Οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
Οὐδ' εἰς πρόσωπον Θησέως ἀφίξομαι

Αἰ-

Tuæ ancillæ, ô domina: male vero ſe res habet.

Pha. O peſſima, & amicorum corruptela, *i. corruptrix*,
Quæ feciſti mihi. Iupiter pater meus
Perdat te radicitus, fulmine percutiens.
Nonne dixi? an non præuidi tuum conſilium,
Vt taceres *in iis*, propter quę nunc ego male affligor?
Tu vero nō potuiſti *tacere*. quāobrē nō ampliꝰ glorioſæ
Moriemur: ſed opus eſt mihi iam nouis rationibus.
Hic enim *Hippolytus* animum ira concitatum habens,
Dicet contra nos patri peccata,
Dicet etiam Pittheo ſeni calamitates,
Implebitque terram omnem turpiſſimis ſermonibus.
,, Et tu pereas, & quicunque amicis repugnantibus
,, Promptus eſt ad non honeſte benefaciendum.

Nut. Domina, potes ꝗdē *iure* mea reprehēdere peccata.
Quod.n. *te* mordet, *i. dolor*, tuū *rectum* iudiciū ſuperat.
Poſsū vero & ego ad hęc, ſi *mea verba* admittas, reſpō-[dere.
Educaui te, & beneuola ſum: morbi vero tibi
Quærens remedia, inueni non quæ volui:
Si vero feliciter *rem* geſſiſſem, valde ſapiēs fuiſſē.
,, Pro *variis*.n. euētib. mētes habēꝰ, *& de reb. iudicamus*.

Phæ. An vero iuſta *ſunt* hęc, mihiq; ſufficiētia, *i. grata*,
Te ſauciatis nobis, deinde *nobiſcum* congredi verbis?

Nut. Prolixa *nimis* oratione vtimur. ego non ſapiens fui.
Sed *tamen* vel propter hæc licet *tibi*, filia, ſeruari.

Pha. Deſiſte loqui. nam & prius non recte
Conſuluiſti mihi. & aggreſſa es mala.
Quamobrem de medio ſecede, & de te ipſa
Sis ſolicita. Ego enim mea recte curabo.
Vos vero nobiles puellæ Trœzeniæ.
Hoc tantum mihi præbete deprecanti,
Silentio tegite quæ hic audiuiſtis.

Cho. Iuro per caſtam Dianam, filiam Iouis,
Me nihil vnquam ex tuis malis prolaturam in lucem.

Pha. Recte dixiſtis. Vnum vero ego, admonens me,
Iā quoddā huius calamitatis inuentū remediū habeo,
Vt addam glorioſam quidem vitam meis liberis,
Ipſa vero iuuer in præſenti caſu.
Nunquam enim dedecorabo familiam Cretenſem,
Neque veniam in conſpectum Theſei,

Tur-

Turpibus polluta factis, propter animam vnicam.

Cho. Es ne igitur factura aliquod immedicabile malum?

Pha. Mori *ſtatus.* q̄do vero *ſim moritura*, ego hoc cogitabo.

Cho. Bona verba dic. **Pha.** Et tu me recte mone.

Ego enim Venerem, quæ me perdit,
Diſcedens e vita hodie,
Delectabo: vincar autem ab acerbo amore.
Sed tamen fiam etiam alteri malum
Defuncta, vt diſcat in meis malis non
Elato animo eſſe, & huius morbi mecum
Communiter particeps, modeſtior eſſe diſcet.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Excelſis ſub *ſcopulorum* latebris vtinam eſſem,
2 Vbi me volantem auem
3 In volatili grege faceret Deus,
4 Tolleret enim ſupra marinum fluctum,
5 Adriatici littoris,
6 Eridanique aquam.
7 Vbi ſtillant purpuream
8 In aquam patris ter miſeræ
9 Puellæ, Phaethontis miſeratione, lachrymarum
10 Electro pellucidos ſplendores.

Antiſtrophe I.

1 Et ad littus pomis plenum Heſperidum
2 Nympharum conficerem *iter, i. volarem,*
3 Vbi *Neptunus* marinus rector purpurei ſtagni,
4 Non amplius, *i. nō vlterius* cōcedit viā nautis, venerandum
5 Limitem habens cæ-
6 li, quod Atlas ſuſtinet.
7 Fontesque ambroſii ſcaturiunt
8 Apud cubicula aulæ Iouis,
9 Vbi beata dona donans, & valde diuina feret
10 Tellus beatitudinem diis.

Strophe II.

1 O albis *velorum* alis inſtructa Cretenſis
2 Nauis, quæ per marinos
3 Fluctus mariſtrepos ſali
4 Adduxiſti meam dominam.
5 Beatis ab ædibus,

Αἰσχροῖς ἐπ' ἔργοις, οὕνεκα ψυχῆς μιᾶς.
Χο. Μέλλεις δὲ δή τι δρᾶν ἀνήκεστον κακόν;
Φαι. Θανεῖν. ὅπως δ' ἐγὼ τοῦτο βουλεύσομαι.
Χο. Εὔφημος ἴσθι. Φ. καὶ σύ γ' εὖ με νουθέτει.
Ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
Ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ,
Τέρψω. πικροῦ δ' ἔρωτος ἡττηθήσομαι.
Ἀτὰρ κακόν γε χ' ἀτέρῳ γενήσομαι
Θανοῦσ', ἵν' εἰδῇ μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
Ὑψηλὸς εἶναι. τῆς νόσου δὲ τῆσδέ μοι
Κοινῇ μετασχὼν, σωφρονεῖν μαθήσεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν,
2 Ἵνα με πτεροῦσσαν ὄρνιν
3 Θεὸς ἐν ποταναῖς ἀγέλησι θείη.
4 Ἀρθείην δ' ἐπὶ πόντιον κῦμα
5 Τᾶς Ἀδριηνᾶς ἀκτᾶς,
6 Ἠριδανοῦ θ' ὕδωρ.
7 Ἔνθα πορφυρέων σταλάσσουσιν
8 Εἰς οἶδμα πατρὸς τριτάλαιναι
9 Κόραι. Φαέθοντος οἴκτῳ, δακρύων
10 Τὰς ἠλεκτροφαεῖς αὐγάς.

Ἀντιστροφὴ α'.

1 Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν
2 Ἀνύσαιμι τῶν ἀοιδῶν,
3 Ἵν' ὁ ποντομέδων πορφυρέας λίμνης
4 Ναύταις οὐκ ἔθ' ὁδὸν νέμει, σεμνὸν
5 Τέρμονα κυρῶν οὐρα-
6 νοῦ, τὸν Ἄτλας ἔχει,
7 Κρῆναί τ' ἀμβρόσιαι χέονται
8 Ζηνὸς μελάθρων παρὰ κοίταις.
9 Ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
10 Χθὼν εὐδαιμονίαν θεοῖς.

Στροφὴ β'.

1 Ὦ λευκόπτερε Κρησία
2 Πορθμὶς, ἃ διὰ πόντιον
3 Κῦμ' ἀλίκτυπον ἅλμας
4 Ἐπόρευσας ἐμὰν ἄνασσαν
5 Ὀλβίων ἀπ' οἴκων,

6 Κα-

Digitized by Google

Κακονυμφοτάταν ὄνασιν.
Ἢ γὰρ ἀπ' ἀμφοτέρων,
Ἢ Κρησίας ἐκ γᾶς δύσορνις
Ἔπτατο κλεινὰς Ἀθήνας, Μου-
νυχίου δ' ἐπ' ἀκταῖς ἐκδήσαντο
Πλεκτὰς πεισμάτων ἀρχὰς,
Ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.

Ἀντιστροφὴ β'.

Ἀνθ' ὧν οὐχ' ὁσίων ἐρώ-
των δεινᾷ φρένας Ἀφροδί-
τας νόσῳ κατεκλάσθη.
Χαλεπᾷ δ' ὑπέραντλος οὖσα
Συμφορᾷ, τεράμνων
Ἀπὸ νυμφιδίων κρεμαστὸν
Ἅψεται ἀμφὶ βρόχον
Λευκᾷ καθαρμόζουσα δέρᾳ,
Δαίμονα στυγνὸν καταιδεσθεῖ-
σα, τάν τ' εὔδοξον ἀνθαιρουμένα
Φήμαν, ἀπαλλάσσουσά
Τ' ἀλγεινὸν φρενῶν ἔρωτα.

ΙΑΜΒΟΙ.

θε. Ἰοὺ, ἰού. βοηδρομεῖτε πάντες οἱ πέλας δόμων.
Ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.
χο. Φεῦ, φεῦ. πέπρακται. βασιλὶς οὐκ ἔτ' ἔστι δὴ
Γυνὴ, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.
ἀγ. Οὐ σπεύσετ'; οὐκ οἴσει τις ἀμφιδέξιον
Σίδηρον, ᾧ τόδ' ἅμμα λύσομεν δέρης;
ἡμι. Φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους.
Λῦσαί τ' ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;
ἡμι. Τί δ'; οὐ πάρεισι πρόσπολοι νεανίαι;
„Τὸ πολλὰ πράσσειν, οὐκ ἐν ἀσφαλεῖ βίου.
ἀγ. Ὀρθώσατ' ἐκτείνοντες ἄθλιον νέκυν.
Πικρὸν τόδ' οἰκούρημα δεσπόταις ἐμοῖς.
χο. Ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή.
Ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.
θη. Γυναῖκες, ἴστε τίς ποτ' ἐν δόμοις βοή;
Ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο.
Οὐ γάρ τί μ' ὡς θεωρὸν ἀξιοῖ δόμος
Πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
Μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;

Πρόσω

6 *Ad* infeliciſſimas nuptiarum delicias.
7 Aut enim ab vtraque *regione*,
8 Aut e terra Cretenſi infauſta
9 Volauit inclytas Athenas: Mu-
10 nychii vero in littore ligauerunt
11 Contorta funium initia, *tortos rudentes.*
12 Et in terram continentem deſcenderunt.

Antiſtrophe II.

1 Quamobrem non licitis amo-
2 ribus animo horribiliter Vene-
3 ris morbo fracta eſt.
4 Sæua autem ſuperata a
5 Calamitate, tectis
6 A ſponſalibus pendentem
7 Nectet laqueum circa
8 Candidam adaptans ceruicem.
9 Deam triſtem reueri-
10 ta, honeſtamque *turpi* anteponens
11 Famam, depellens-
12 que moleſtum ex animo amorem.

Ancilla.

Heu heu, accurrite omnes, qui prope domum eſtis,
Domina, Theſei vxor, eſt in laqueis.

Cho. Heu heu, actum eſt, regia iam non eſt amplius
Mulier, penſilibus in laqueis ſuſpenſa.

Nun. Non feſtinatis? Non adferet aliquis anceps
Ferrum, quo ſoluamus hunc nodum ceruicis?

Semi. Amicæ quid agimus? an placet ingredi in ædes,
Et ſoluere dominam ex aſtrictis laqueis?

Semi. Cur vero non adſunt iuuenes famuli? [tum.
» Multarũ *rerũ* ſatagere, & *curioſum eſſe* nõ *eſt* in vita tu-

Nun. Rectam collocate, extendentes miſerum cadauer,
Acerbum *eſt* hoc miniſterium dominis meis.

Cho. Periit infelix mulier, vt audio:
Iam enim vt cadauer *componi ſolet*, ipſam extendunt.

The. Mulieres, ſcitis quiſnam clamor *ſit* in ædibus?
Vehemens ſonitus ancillarum peruenit *ad me*.
Haud enim vllo modo me, vt ſpectatorẽ dignatur fa-
Portis apertis hilariter ſalutare. [milia
Num Pittheo ſeni aliquid noui accidit?

Pro-

Prouecta quidem iam eſt ætate:ſed tamen etiam
Cum magno meo dolore has relinqueret ædes.
Cho. Non ad ſenes tibi tendit hæc fortuna,
O Theſeu:iuniores mortui dolore afficient te.
The. Heu,an meorum ſpoliatur vita liberorum?
Cho. Viuunt,mortuà matre quam àcerbiſſime.
The. Quid ais?periit vxor? ex quo caſu? [ſpendit.
Cho. Laqueũ penſilẽ ſtrãgulationis, *i. vt ſe ſtrangularet*, ſu-
The. Dolorene cõfecta, an ab aliqua calamitate *ad hoc ĩpul-*
Cho. Tantum *hoc* ſcimus.recens enim & ego ad ædes [*ſa?*
Theſeu accedo,tuorũ malorũ deploratrix,*i. vt tua ma*
The. Heu,heu.q̃d igitur his coronatus ſum caput [*la lugeã.*
Contextis foliis,qui ſum infelix ſpectator?
Laxate clauſtra miniſtri portarum,
Soluite compages,vt videam fatum crudele
Coniugis,quæ me mortua perdidit.

MONOSTROPHICA.

Cho. Heu heu,miſera propter miſera mala,
Paſſa es *atrocia*. confeciſti *hoc*
Tantum,vt confunderes hanc domum.
(Heu heu audaciã:ô violẽter mortuã,&ſcelerato caſu)
Certamen tuæ miſeræ manus.
Quis vero deleuit tuam miſeram vitam?
The. Hei mihi propter mala, quæ ſum paſſus. ô miſera.
Peſſima mea mala: ô fortuna,
Quam grauis mihi,& *meis* ædibus acceſſiſti,
Non dicenda macula ex aliqua furia.
Conſumit igitur *me* mea miſera vita.
Ego vero miſer intueor pelagus malorum
Tantum,vt ego nunquam poſſim retro natare,
Nec ſuperare fluctus huius calamitatis.
Soluite compages,vt videam miſerũ ſpectaculũ.
Qua oratione te miſer,quam tuam fortunam
Infelicem miſera compellem? [ſublata abis,
Auis.n. vt quędã ex manib. *euolans* ex hĩm conſpectu
Saltu mihi acerbo ad Plutonem ruens.
Heu,heu,heu, heu. miſerãda, miſerãda *ſunt* hęc mala.
Ex anteacto aũt æuo alicunde refero, *& patior*
Calamitatem *hanc*, p̃p peccata *in* deos *commiſſa*,
Superiorum alicuius *meorum progenitorum*,

Cho.

Πρόσω μὲν ἤδη βίοτος. ἀλλ' ὅμως ἔτ' ἂν
Λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίπῃ δόμους.
χο. Οὐκ εἰς γέροντάς ἥδε σοι τείνει τύχη,
Θησεῦ. νέοι θανόντες ἀλγυνοῦσί σε.
θη. Οἴμοι. τέκνων μοι μή τι συλᾶται βίος;
χο. Ζῶσιν θανούσης μητρὸς, ὡς ἄλγιστά σοι.
θη. Τί φῄς; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;
χο. Βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.
θη. Λύπῃ παχνωθεῖσ', ἢ ἀπὸ συμφορᾶς τινός;
χο. Τοσοῦτον ἴσμεν. ἄρτι γὰρ κἀγὼ δόμους
Θησεῦ πάρειμι, σῶν κακῶν πενθήτρια.
θη. Αἶ, αἶ. τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα
Πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
Χαλᾶτε κλῇθρα πρόσπολοι πυλωμάτων.
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω δυσδαίμονα
Γυναικὸς, ἥ με κατθανοῦσ' ἀπώλεσεν,

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

χο. Ἰὼ, ἰὼ. τάλαινα μελέων κακῶν.
Ἔπαθες, εἰργάσω
Τοσοῦτον, ὥστε τούσδε συγχέαι δόμους
(Αἶ αἶ τόλμας, ὦ βιαίως θανοῦσ', ἀνοσίῳ τε συμφορᾷ)
Σᾶς χερὸς πάλαισμα μελέας,
Τίς ἄρα σάν, τάλαιναν, ἀμαυροῖ ζωάν;
θη. Ὤμοι ἐγὼ παθέων, ὧν ἔπαθον. ὦ τάλαινα.
Τὰ κάκιστ' ἐμῶν κακῶν. ὦ τύχα,
Ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης.
Κηλὶς ἄφραστος ἐξ ἀλαστόρων τινὸς,
Κατακονὰ μὲν οὖν ἀβίωτος βίος.
Κακῶν δ' ὁ τάλας πέλαγος εἰσορῶ
Τοσοῦτον, ὥστε μήποτ' ἐκνεῦσαι πάλιν,
Μήδ' ἐκπερᾶσαι κῦμα τῆσδε συμφορᾶς.
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν.
Τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
Βαρύποτμον τλῆμον προσαυδῶν τύχω;
Ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
Πήδημ' ἐς ᾅδου πικρὸν ὁρμήσασά μοι.
Αἶ, αἶ, αἶ, αἶ μέλεα πάθη τάδε.
Πρόσωθεν δὲ πόθεν ἀνακομίζομαι
Τύχαν, δαιμόνων ἀμπλακίαισι
Τῶν πάροιθέν τινος.

χο. Οὐ

Χο. Οὐ σοὶ τάδ', ὦ 'ναξ ἦλθε δὴ μόνῳ κακά.
Πολλῶν μετ' ἄλλων ὤλεσας κεδνὸν λέχος.
Θη. Τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας
Μετοικεῖν, σκότῳ θανὼν ὁ τλήμων,
Τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας.
Ἀπώλεσας γὰρ μᾶλλον, ἢ κατέφθισο.
Τίνος κλύω; πόθεν θανάσιμος τύχα,
Γύναι, σὰν ἔβα τάλαιναν καρδίαν;
Εἴποι τις ἂν τὸ πραχθὲν, ἢ μάτην ὄχλον
Στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;
Ἰώ μοι μοι, σέθεν μέλεος,
Οἷον εἶδον ἄλγος δόμων,
Οὐ τλητὸν, οὐδὲ ῥητόν; ἀλλ' ἀπωλόμην.
Ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.
Χο. Ἔλιπες ἔλιπες, ὦ φίλα γυναικῶν,
Ἀρίστα θ', ὁπόσας ἐφορᾷ
Φέγγος ἀελίου τε
Καὶ νυκτὸς ἀστερωπὸς σελάνα.
Ἰὼ τάλας, ὦ τάλας. ὅσον κακὸν ἔχει δόμος.
Δάκρυσί μου βλέφαρα
Καταχυθέντα, τέγγεται σᾷ τύχᾳ.
Τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.
Θη. Ἔα, ἔα. τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
Ἠρτημένη, θέλει; τί σημῆναι νέον;
Ἀλλ' ἦ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
Ἔγραψεν ἡ δύστηνος, ἐξαιτουμένη;
Θάρσει τάλαινα λέκτρα γὰρ τὰ Θησέως
Οὐκ ἔστι, δώματ', ἥ τις εἴσεισιν γυνή.
Καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
Τῆς οὐκέτ' οὔσης τῆσδε, προσσαίνουσί με.
Φέρ' ἐξελίξας περιβολὰς σφραγισμάτων,
Ἴδω τί λέξαι δέλτος ἥδε μοι θέλει.
Χο. Φεῦ, φεῦ τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
Ἐπεισφέρει θεὸς κακόν. ἐμοὶ μὲν οὖν
Ἀβίωτος βίου τύχα πρὸς τὸ κρανθὲν
Εἴη τυχεῖν. ὀλομένους γὰρ οὐκέτ' ὄντας λέγω·
Φεῦ φεῦ τῶν ἐμῶν τυράννων δόμους.
Ὦ δαῖμον, εἴ πως ἐστὶ, μὴ σφήλῃς δόμους.
Αἰτουμένης γὰρ κλῦθί μου. πρὸς γάρ τινος
Οἰωνὸν ὥστε μάντις εἰσορῶ κακοῦ.

Θη.

Cho. O rex non tibi ſoli hæc mala acciderunt:
Cum multis aliis perdidiſti tuam inclytā coniugē.
The. Sub terra volo, ſub terra caliginem *hinc*
Migrans habitare, mortuus *in* tenebris miſer,
Orbatus tua chariſſima conſuetudine.
Perdidiſti enim *me* magis quam *ipſa* perieris.
Quem audio? vnde letalis ille caſus
Mulier, acceſſit *ad* miſerum cor tuum?
Dicitne aliquis factum, an fruſtra turbam
Famulorum meorum continet domus regia?
Heu mihi, mihi propter te. miſer,
Quantum luctum vidi ædium
Non ferendum, neque dicendum: ſed perii.
Domus *eſt* deſerta, & liberi ſunt orphani.
Cho. Reliquiſti reliquiſti *nos*, ô chariſſima mulierum,
Optimaque, quotquot aſpicit
Lumen ſolis,
Et noctu ſplendens luna.
Hei miſer, miſer. quantum malum habet domus.
Palpebræ meæ lachrymis
Perfuſæ madefiunt tuo fato.
Sed & ſequens malum horreo iampridem.
The. Sine, ſine. quidnam vero iſtæ literæ ex chara manu
Suſpenſæ ſibi volunt? quid noui *volunt* ſignificare?
An vero de lecto, liberiſque mihi literas
Scripſit infelix, *aliquid a me* petens?
Bono ſis animo miſera. Lectos enim Theſei,
Domumque non eſt vlla, quæ ſit ingreſſura mulier.
Atqui notæ palæ aureæ *annuli*
Huius nō amplius viuētis: *at defuncta*, blādiūtur mihi.
Age explicatis vinculis ſigillorum,
Videam quid mihi literæ iſtæ dicere velint.
Cho. Heu heu, hoc iterum nouum *malum* per ſucceſſionem
Malorum addit Deus. Mihi igitur
Vitæ miſera conditio propter factum hoc
Erit. Dico enim nos periiſſe, neque amplius eſſe.
Heu heu, domum domum dominorum meorū.
O dæmon, ſi poſſibile eſt, ne euertas domum.
Audi vero precantem. præterea enim alicuius
Noui mali ſiniſtrum augurium vt vates proſpicio.

The. Hei mihi, quale hoc aliud malum ad malum *acceſſit?*
Non ferendum, neque dicendum, ô me miſerum.
Cho. Qđ rei eſt? dicito, ſi q̧d verbis mecũ cõmunicari poteſt.
The. Clamãt, clamãt literæ nõ ferenda. quo fugiens vitabo
Molem malorum? perditus enim pereo.
Quale, quale vidi in ſcriptis carmen
Sonans, miſer.
Cho. Heu heu, profers ſermonem autorem malorum.
The. Hoc profecto non amplius intra portas oris
Continebo inexplicabile, noxium, noxium
Malum. ô ciuitas, ciuitas,
Hippolytus auſus eſt attingere meum thalamum
Per vim, venerando Iouis oculo contempto.
Sed ô pater Neptune, quas mihi aliquando
Tres imprecationes promiſiſti, vna confice
Ex iſtis meum filium. diem vero ne effugiat
Hũc, ſi modo nobis dediſti certas imprecationes, *euen-[turatas.*

Chorus.

Rex, deprecare hæc rurſus a diis.
Intelliges enim te peccaſſe. pare mihi.
The. Non fiet. Præterea vero expellam ipſum ex hac terra.
Duorum vero fatorum altero mactabitur.
Aut enim Neptunus ipſum ad domum Plutonis
Mittet mortuum, meas imprecationes honorans,
Aut expulſus ex hac terra, vagans
In terra peregrina. miſeram vitam deget.
Cho. Atqui ille ipſe filius tuus opportune adeſt
Hippolytus, remittens autem malam iram rex
Theſeu, optime tuæ conſule familiæ.
Hipp. Audiens tuum clamorem pater veni
Celeriter. ſed tamen rem, propter quam nunc gemis,
Non noui. cuperem autem ex te audire.
Eia, quid rei eſt? tuam coniugem pater video
Mortuam. hoc dignum eſt maxima admiratione.
Quam modo reliqui in hac luce,
Non multo ante intuebatur *hanc lucem.*
Quid accidit ei? quo modo periit?
Pater, volo ex te audire.
„ Taces? Silentii vero nullus *eſt* vſus in malis.
„ Cor enim cupiens omnia audire,

Et

Digitized by Google

Θη. Οἴμοι. τόδ᾽ οἷον ἄλλο πρὸς κακῷ κακόν;
Οὐ τλητὸν οὐδὲ λεκτόν. ὢ τάλας ἐγώ.
Χο. Τί χρῆμα; λέξον, εἴ τι μοι λόγου μέτα.
Θη. Βοᾷ βοᾷ δέλτος ἄλαστα. ποῖ φύγω
Βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι.
Οἷον οἷον εἶδον ἐν γραφαῖς μέλος
Φθεγγόμενον, τλήμων.
Χο. Αἰ, αἴ. κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.
Θη. Τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις
Καθέξω δυσεκπέρατον, ὀλοὸν ὀλοὸν
Κακόν. ὦ πόλις, πόλις,
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
Βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ᾽ ἀτιμάσας.
Ἀλλ᾽ ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
Ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
Τούτων ἐμὸν παῖδ᾽· ἡμέραν δὲ μὴ φύγῃ
Τήνδ᾽, εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.

ΙΑΜΒΟΙ.

Χο. Ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν.
Γνώσῃ γὰρ αὖθις ἀμπλακών, ἐμοὶ πιθοῦ.
Θη. Οὐκ ἔστι. καὶ πρός γ᾽ ἐξελῶ σφε τῆσδε γῆς.
Δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται.
Ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς ᾅδου δόμους
Θανόντα πέμψει, τὰς ἐμὰς ἀρὰς σέβων,
Ἢ τῆσδε χώρας ἐκπεσὼν, ἀλώμενος
Ξένην ἐπ᾽ αἶαν, λυπρὸν ἀντλήσει βίον.
Χο. Καὶ μὴν ὅδ᾽ αὐτὸς παῖς σὸς εἰς καιρὸν πάρα
Ἱππόλυτος. ὀργῆς δ᾽ ἐξανεὶς κακῆς ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.
Ἱππ. Κραυγῆς ἀκούσας σῆς, ἀφικόμην πάτερ
Σπουδῇ. τὸ μέντοι πρᾶγμ᾽, ἐφ᾽ ᾧ τινι νῦν στένεις,
Οὐκ οἶδα, βουλοίμην δ᾽ ἂν ἐκ σέθεν κλύειν.
Ἔα, τί χρῆμα; σὴν δάμαρθ᾽ ὁρῶ πάτερ
Νεκρόν. μεγίστου θαύματος τόδ᾽ ἄξιον.
Ἣν ἀρτίως ἔλειπον εἰς φάος τόδε,
Οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
Τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
Πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.
» Σιγᾷς; σιωπῆς δ᾽ οὐδὲν ἔργον ἐν κακοῖς.
» Ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν,

„ Καὶ τοῖς κακοῖσι λίχνος ὢν ἁλίσκεται.
Οὐ μὴν φίλους γε κἄτι μᾶλλον ἢ φίλους,
Κρύπτειν δίκαιον σὰς πάτερ δυσπραξίας.
Θη. Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
„ Τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,
„ Καὶ πάντα μηχανᾶσθε, κἀξευρίσκετε,
„ Ἓν δ' οὐκ ἐπίστασθ', οὐδ' ἐθηράσασθέ πω,
„ Φρονεῖν διδάσκειν, οἷσιν οὐκ ἔνεστι νοῦς;
Ιππ. Δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
„ Τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάζειν.
Ἀλλ' οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ.
Δέδοικα μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.
Θη. Φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
„ Σαφές τι κεῖσθαι, καὶ διάγνωσιν φρενῶν,
„ Ὅστις τ' ἀληθής ἐστιν, ὅς τε μὴ φίλος.
„ Δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
„ Τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν.
„ Ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
„ Πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.
Ιππ. Ἀλλ' ἦ τις εἰς σὸν οὖς με διαβαλὼν ἔχει
Φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες
αἴτιοι.
Ἔκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
Λόγοι παραλλάσσοντες ἔξεδροι φρενῶν.
Θη. Φεῦ τῆς βροτείας ποῖ προβήσεται φρενός;
„ Τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
„ Εἰ γὰρ κατ' ἀνδρὸς βίοτον ἐξογκώσεται,
„ Ὁ δ' ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
„ Πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
„ Ἄλλην δεήσει γαῖαν, ἣ χωρήσεται
„ Τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.
Σκέψασθε δ' εἰς τόνδ', ὅστις ἐξ ἐμοῦ γεγὼς,
Ἤισχυνε τἀμὰ λέκτρα, κἀξελέγχεται
Πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
Δεῖξον δ', ἐπειδή γ' εἰς μίασμ' ἐλήλυθας,
Τὸ σὸν πρόσωπον δεῦρ' ἐναντίον πατρί.
Σὺ δὴ θεοῖσιν, ὡς περισσὸς ὢν ἀνὴρ,
Συνεῖ; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
Οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ,
Θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.

Ἤδη

Digitized by Google

„ Et in malis *aliorũ audiendis* auidũ eſſe deprehenditur.
Non tamen amicos,& aliquid amplius, quam amicis,
Celare *eſt* iuſtum,ô pater,tuas calamitates.
The. O in multis rebus peccantes homines temere,
„ Cur vero artes quidem ſexcentas docetis,
„ Et omnia machinamini,& excogitatis,
„ Vnum vero non ſcitis,neque inueniſtis adhuc.
„ Vt ſapere doceatis *illos*,quibus non ineſt mens?
Hipp. Peritum ſapientiæ doctorẽ dixiſti, quicumq; recte ſa-
„ Non ſapientes potis eſt,*i.poteſt* cogere. [pere
Sed(non opportuno enim tempore ſubtiliter diſputas
Metuo ne tua lingua excedat *in* malis. [pater)
The. Heu,Oportebat hominibus notam amicorum
„ Manifeſtam aliquam eſſe,& diiudicationem mentis,
„ Quisnam verus ſit & quis non *ſit verus* amicus.
„ Et omnes homines duplicem vocem habere:
„ Vnam quidem veracem,alteram vero qualemcunque.
„ Vt quę cogitaret iniuſta,*& mentiretur*,argueretur
A iuſta, neque deciperemur.
Hipp. Sed profecto apud tuas aures aliq̃s me calumniat⁹ eſt
Ex amicis. laboramus autem quamuis nulli culpæ ſi-
mus affines.
Obſtupui. Nam perterrefaciunt mea tua
Verba,erumpentia extra ſedẽ mentis, *i. prater rationẽ.*
The. Heu. quo progredietur humana mens?
„ Quis finis temeritatis,& audaciæ erit?
„ Si enim vniuſcuiusq; viri vita ſuperbe propagetur,
„ Et poſterior priore longe
„ Deterior ſit,deos adiicere terræ
„ Oportebit aliam terram, quæ capiat
„ Eos qui ſunt iniuſti,& mali.
Intuemeni vero in hunc,qui cum ex me natus ſit,
Polluit meum thalamum,& depræhenditur
A mortua manifeſte quod fuerit flagitioſiſſimus.
Oſtende igitur, quandoquidem ad *hoc* piaculũ es pro-
Tuam faciem hic coram patre. [greſſus,
Tu igitur cum diis tanquam excellens vir exiſtens
Verſaris?tu caſtus *es* & incorruptus a malis?
Ego non amplius credam tuæ iactationi,
Tribuens diis imperitiam,& imprudentiam.

Iam gloriare, & eſu inanimatorum
Cibis cauponare, & habens magiſtrum Orphea,
Bacchare, multarum literarum colens fumos.
„ Siquidem *in crimine manifeſto* deprehēſus es. tales au-
„ tem ego [*minimum gratiam*
Omnibus fugiendos eſſe moneo. venantur enim *ho-*
Magnificis verbis, *interim facinora* turpia molientes.
Hæc eſt mortua, hoc tibi ſaluti fore putas.
At in hoc ipſo, ô peſſime, captus es.
Nam quod iuſiurandum grauius? quæ verba
Hac *epiſtola contra te ſcripta potiora* eſſe poſſent, vt cri-
men effugias?
Dicesne quod illa te oderit, & nothum genus
Tuum legitimis, *ac ingenuis hominibus* inimicum eſſe?
Dicis igitur ipſam malam eſſe mercatricem vitæ,
Si odio tui perdidit chariſſima.
An *vero dices* quod ſtultitia viris quidem non ineſt:
„ Mulieribus vero innata eſt? Ego noui iuuenes
„ Nihilo tutiores eſſe mulieribus,
„ Quando Venus turbat iuuenilem animum.
„ Sed virilitas prodeſt eis quæ adeſt.
Quid igitur? quid de his tecum verbis certo,
Cum cadauer adſit, *quod eſt* certiſſimus teſtis?
Diſcede ex hac terra quam celerrime exul,
Et non proficiſcaris Athenas diuinitus ædificatas,
Neq; in fines terrę, cuiꝰ imperiũ haſta mea tenet, *i. cui*
Si. n. affectus hac iniuria a te, vincerer, [*ego impero.*
Nunquam Iſthmius Sinnis teſtaretur a me
Se cæſum: ſed me fruſtra gloriari *diceret*.
Neque maris conſortes Scironides vnquam
Petræ dicerent me grauem eſſe malis.
Cho. Neſcio quomodo dicam felicem eſſe vllum
„ Mortalium. nam prima rurſus retrouerſa ſunt.
Hipp. Pater, tua quidem ira, & commotio animi tui
Vehemens *eſt*. res tamen quæ multas habet rationes,
(Si quis *eas* euolueret) hæc non *eſt* honeſta.
Ego vero *ſum* ineptus ad verba faciendũ apud turbam,
Apud æquales vero paulo *ſum* peritior. [ſapientes
„ Habet aũt & hoc *aliquã veriſimilẽ* rationẽ. qui. n. inter
„ Nulliꝰ ſunt pretii, illi ſunt aptiores ad loquendũ apud
turbam.

Tamen

Ἤδη νυν αὔχει, καὶ δι' ἀψύχου βορᾶς
Σίτοις καπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων,
Βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς.
,, Ἐπεί γ' ἐλήφθης. τοὺς δὲ τοιούτους
,, ἐγὼ
Φεύγειν προφωνῶ πᾶσι. θηρεύουσι γὰρ
Σεμνοῖς λόγοισιν αἰσχρὰ μηχανώμενοι.
Τέθνηκεν ἥδε. τοῦτό σ' ἐκσώσειν δοκεῖς.
Ἐν τῷδ' ἁλίσκῃ πλεῖστον, ὦ κάκιστε σύ.
Ποῖοι γὰρ ὅρκοι κρείσσονες; τίνες λόγοι
Τῆσδ' ἂν γένοιντ' ἄν, ὥστε σ' αἰτίαν
φυγεῖν;
Μισεῖν σε φήσεις τήνδε, καὶ τὸ δὴ νόθον
Τοῖς γνησίοις σοῦ πολέμιον πεφυκέναι;
Κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις,
Εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν.
Ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
,, Γυναιξὶ δ' ἐμπέφυκεν, οἶδ' ἐγὼ νέους
,, Οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
,, Ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα.
,, Τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
Τί οὖν; τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις,
Νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
Ἔξερρε γαίας τῆσδ' ὅσον τάχος φυγάς.
Καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
Μήτ' εἰς ὅρους γῆς, ἧς ἐμὸν κρατεῖ δόρυ.
Εἰ γὰρ παθών γε σοῦ τάδ' ἡσσηθήσομαι,
Οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
Κτανεῖν ἑαυτόν, ἀλλὰ κομπάζειν μάτην.
Οὐδ' αἱ θαλάσσης σύννομοι Σκειρωνίδες
Φήσουσι πέτραι, τοῖς κακοῖς μ' εἶναι βαρύν.
Χο. Οὐκ οἶδ' ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
,, Θνητῶν. τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.
Ἱππ. Πάτερ. μένος μὲν, ξύστασίς τε σῶν φρενῶν,
Δεινή. τὸ μέντοι πρᾶγμ' ἔχον πολλοὺς λόγους,
Εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον.
Εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος.
,, Ἔχει δὲ μοῖραν καὶ τόδ'. Οἱ γὰρ ἐν σοφοῖς
,, Φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.

Ὅμως δ' ἀνάγκη συμφορᾶς ἀφιγμένης,
Γλῶσσάν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν.
Ὅθεν μ' ὑπῆλθες πρῶτον ὡς διαφθερῶν.
Κοὐκ ἀντιλέξοντ'. εἰσορᾷς φάος τόδε,
Καὶ γαῖαν; ἐν τοῖσδ' οὐκ ἔνεστ' ἀνὴρ ἐμοῦ,
Οὐδ' ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
Ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
Φίλοις τε χρῆσθαι, μὴ ἀδικεῖν πειρωμένοις,
Ἀλλ' οἷσιν αἰδὼς, μήτ' ἀπαγγέλλειν κακὰ,
Μήτ' ἀνθυπουργεῖν αἰσχρὰ τοῖσι χρωμένοις,
Οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
Ἀλλ' αὐτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
Ἑνὸς δ' ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς.
Λέχους γὰρ εἰς τόδ' ἡμέρας ἁγνὸν δέμας.
Οὐκ οἶδα πρᾶξιν τήνδε, πλὴν λόγῳ κλύων,
Γραφῇ τε λεύσσων. οὐδὲ ταῦτα γὰρ σκοπεῖν
Πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
Εἰ δὴ τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ' ἴσως.
Δεῖ δή σε δεῖξαι, τῷ τρόπῳ διεφθάρην.
Πότερα τὸ τῆσδε σῶμ' ἐκαλλιστεύετο
Πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον,
Ἔγκληρον εὐνὴν προσλαβὼν, ἐπήλπισα;
Μάταιος ἄρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρονῶν.
» Ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν;
» Ἥκιστά γ', εἰ μὴ τὰς φρένας διέφθορε
» Θνητῶν, ὅσοισιν ἀνδάνει, μοναρχία.
Ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
Πρῶτος θέλοιμ' ἂν, ἐν πόλει δὲ δεύτερος
Σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις.
» Πράσσειν γὰρ εὖ πάρεστι. κίνδυνος δ' ἀπὼν,
» Κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
Ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις.
Εἰ μὲν γὰρ ἦν μοι μάρτυς οἷός εἰμ' ἐγὼ,
Καὶ τῆσδ' ὁρώσης φέγγος ἠγωνιζόμην,
Ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών.

Νεῶ

Tamen neceſſe eſt veniente calamitate
Linguam me ſoluere, *vt loquar.* primum autem inci-
piam dicere, *inde*,
Vnde me prius adortus es vt perditurus,
Et non contradicturum. intueris hoc lumen,
Et terram? in his non eſt vir me
Caſtior natus, etiam ſi tu neges.
Nam primum quidem noui colere deos,
Et vti amicis, qui non conantur iniuria me afficere,
Sed *in* quibus *eſt* pudor, neque nuntiare mala *noui*,
Neque viciſſim operam meā nauare in *rebus* turpibus,
iis, qui *turpibus* vtuntur, *ac delectantur.*
Preterea non *ſum* deriſor familiarium, pater:
Sed idē ſum amicis tā abſentibus, quam præſentibus.
Vnius vero *criminis ſum* immunis, quo me nunc cepiſ-
ſe, *& cuius me conuiciſſe* putas.
In hunc enim diem meum corpus eſt purum a thala-
mo, *i. a re Venerea.*
Neq; noui hunc *Veneris* actū, niſi verbis audiens,
Picturaque cernens. neq; enim hæc ſpectare
Promptus ſum, habens animum virginalem.
Si vero mea pudicitia tibi forte *rem* non perſuadet,
Oportet te oſtendere quo modo perierit.
Vtrum huius corpus pulchritudine ſuperaret
Omnes mulieres, an me habitaturū tuam domū
Sperauerim, accepto hæreditario lecto.
Stultus enim fuiſſem, & plane deſipiens.
» An *hoc feci*, quod regnare iucundum *ſit* caſtis?
» Minime profecto, niſi mentes corruperit
» Hominum, quibus placet, monarchia.
Ego enim in certaminibus quidem Græcis vincere
Primus vellem, in vrbe vero ſecundus
Cum optimis amicis ſemper viuere feliciter.
» Rem enim feliciter gerere *ſic* licet, periculum. n. abſens
» Maiorem tyrannide largitur voluptatem.
Vnum mearum *rationum argumentum a me* nō eſt di-
ctum, cætera vero habes.
Si enim eſſet mihi teſtis, qualis ego ſum.
Et certarem iſta lucem vidente, *i. viuente*,
Reipſa videres malos, ſi indagares.

Nũc vero Iouem cuſtodẽ iuriſiurandi,& hoc ſolũ terrę
Iuro, me nunquam attigiſſe tuam coniugem,
Neque voluiſſe, neque in mentem *hoc* mihi veniſſe.
Alioqui peream inglorius, infamis,
Sine ciuitate, ſine ædibus, exul errans in terra.
Et neque mare, neque terra recipiat meas
Carnes defuncti, ſi ſum ſceleratus vir.
An autem illa metuens, perdiderit vitam,
Neſcio: nam mihi non licet dicere vltra.
,, Fuit caſta, cum *tamen re vera* non poſſet eſſe caſta.
,, Nos vero habẽtes *caſtitatẽ, ea* nõ recte ſumus vſi.

Cho. Sufficientem dixiſti criminis *obiecti* depulſionem, *cauſaque defenſionem*,
Quia iuſiurandum præbuiſti, nõ leuẽ deorum fidem.

The. Nonne hic eſt incantator, & præſtigiator,
Qui confidit iuriſiurandi religione, ſe meum
Animũ flexurum, cum patrẽ me ignominia affecerit?

Hipp. Atqui *in* te valde hæc miror, pater.
Si enim *meus* tu eſſes filius, ego vero tuus pater,
Interfeciſſem profecto te, nec exilio mulctaſſem,
Si quidem auſus fuiſſes meam vxorem attingere.

The. Quam recte hoc dixiſti, non ſic morieris,
Sicut tu tibiipſi hanc propoſuiſti legem.
,, Feſtinata enim mors eſt gratiſſima infelici homini,
Sed ex patria terra exul errans,
In terra peregrina miſeram vitam ages.
,, Hæc enim eſt merces homini impio.

Hipp. Hei mihi, quid facies? neque tempus indicem
Contra nos recipies, ſed me expelles e terra?

The. Vltra quidem Oceanum, & loca Atlantica,
Si quomodo poſſim: ſic odi tuum caput.

Hipp. Neque iuſiurandum, neque fidem, neque vatum
Dicta explorans, me indemnatum ex *hoc* agro eiicies?

The. Hæc epiſtola, ſortitionem non expectans,
Accuſat te fideliter: iſtis vero ſupra caput
Volantibus auibus longum ego valere dico.

Hipp. O Dii, cur igitur non ſoluam meum os,
Qui a vobis, quos colo, perdor?
Haud igitur *loquar: nam* omnino non perſuaderẽ *rem iis*, quibus me oportet *eam perſuadere*.

Fruſtra

Digitized by Google

Νῦν δ' ὅρκιόν σοι Ζῆνα, καὶ πέδον χθονὸς
Ὄμνυμι, τῶν σῶν μή ποθ' ἅψασθαι γάμων,
Μήδ' ἂν θελῆσαι, μήδ' εἰς ἔννοιαν λαβεῖν.
Ἦ τ' ἄν γ' ὀλοίμην ἀκλεὴς, ἀνώνυμος,
Ἄπολις, ἄοικος, φυγὰς ἀλιτεύων χθόνα,
Καὶ μήτε πόντος, μήτε γῆ δέξαιτό μου
Σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
Εἰ δ' ἥδε δειμαίνουσ' ἀπώλεσεν βίον,
Οὐκ οἶδ'· ἐμοὶ γὰρ οὐ θέμις λέγειν πέρα.
„ Ἐσωφρόνησεν, οὐκ ἔχουσα σωφρονεῖν.
„ Ἡμεῖς δ' ἔχοντες, οὐ καλῶς ἐχρώμεθα.
χο. Ἀρκοῦσαν εἶπας αἰτίας ἀπο-
στροφὴν,
Ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν θεῶν.
θη. Ἆρ' οὐκ ἐπῳδὸς καὶ γόης πέφυχ' ὅδε,
Ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
Ψυχὴν κρατήσειν, τὸν τεκόντ' ἀτιμάσας;
ἱππ. Καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω πάτερ.
Εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατὴρ,
Ἔκτεινά τοι σ' ἂν, κοὐ φυγαῖς ἐζημίουν,
Εἴπερ γυναικὸς ἠξίους ἐμῆς θιγεῖν.
θη. Ὡς ἄξιον τόδ' εἶπας. οὐχ οὕτω θανῇ.
Ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον.
„ Ταχὺς γὰρ ἅδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.
Ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλιτεύων χθονὸς,
Ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον.
„ Μισθὸς γάρ ἐστιν οὗτος ἀνδρὶ δυσσεβεῖ.
ἱππ. Οἴμοι. τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
Δέξῃ καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;
θη. Πέραν γε πόντου, καὶ τόπων ἀτλαντικῶν,
Εἴ πως δυναίμην. ὡς σὸν ἐχθαίρω κάρα.
ἱππ. Οὐδ' ὅρκον, οὐδὲ πίστιν, οὐδὲ μάντεων
Φήμας ἐλέγξας, ἄκριτον ἐκβαλεῖς με γῆς;
θη. Ἡ δέλτος ἥδε, κλῆρον οὐ δεδεγμένη,
Κατηγορεῖ σου πιστά. τοὺς δ' ὑπὲρ κάρα
Φοιτῶντας ὄρνις πόλλ' ἐγὼ χαίρειν λέγω.
ἱππ. Ὦ θεοὶ, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,
Ὅστις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
Οὐ δῆτα. πάντως οὐ πίθοιμ' ἂν οἷς
με δεῖ.

Μάτην

Digitized by Google

Μάτην δ' ἂν ὅρκους συγχέαιμ', οὓς ὤμοσα.
Θη. Οἴμοι. τὸ σεμνὸν ὥς μ' ἀποκτενεῖ τὸ σόν.
Οὐκ εἶ πατρῴας ὡς τάχιστα γῆς ἐκτός;
Ιππ. Ποῖ δῆτα τλήμων τρέψομαι; τίνος ξένων
Δόμους ἔσειμι, τῇδ' ἐπ' αἰτίᾳ φυγών;
Θη. Ὅστις γυναικῶν λυμεῶνας ἥδεται
Ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.
Ιππ. Αἰ, αἴ πρὸς ἧπαρ δακρύων τ' ἐγγὺς τόδε,
Εἰ δὴ κακός τε φαίνομαι, δοκῶ τέ σοι.
Θη. Τότε στενάζειν καὶ προγιγνώσκειν ἐχρῆν,
Ὅτ' εἰς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.
Ιππ. Ὦ δώματ', εἴθε φθέγμα γηρύσοισθέ μοι.
Καὶ μαρτυρήσαιτ' εἰ κακὸς πέφυκ' ἀνήρ.
Θη. Εἰς τοὺς ἀφώνους μάρτυρας φεύγεις; σαφῶς
Τόδ' ἔργον, οὐ λέγον, σε μηνύει κακόν.
Ιππ. Φεῦ. εἴθ' ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον
Στάνθ', ὡς ἐδάκρυσ', οἷα πάσχομεν κακά.
Θη. Πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν,
Ἢ τοὺς τεκόντας ὅσια δρᾶν, δίκαιος ὤν.
Ιππ. Ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί,
Μηδείς ποτ' εἴη τῶν ἐμῶν φίλων νόθος.
Θη. Οὐχ ἕλξετ' αὐτὸν δμῶες; οὐκ ἀκούετε
Πάλαι ξενοῦσθαι τόνδε προὐννέποντά με;
Ιππ. Κλαίων τις αὐτῶν ἆρ' ἐμοῦ γε θίξεται.
Σὺ δ' αὐτός, εἴ σοι θυμός, ἐξώθει χθονός.
Θη. Δράσω τάδ', εἰ μὴ τοῖς ἐμοῖς πείσῃ λόγοις.
Οὐ γάρ τις οἶκτος σῆς μ' ὑπέρχεται φυγῆς.
Ιππ. Ἄρηρεν, ὡς ἔοικεν. ὦ τάλας ἐγώ.
Ὡς οἶδα μὲν ταῦτ'. οἶδα δ' οὐχ, ὅπως φράσω.
Ὦ φιλτάτη μοι δαιμόνων Λητοῦς κόρη,
Σύνθακε, συγκύναγε, φευξόμεσθα δὴ
Κλεινὰς Ἀθήνας. ἀλλὰ χαιρέτω πόλις,
Καὶ γαῖ' Ἐρεχθέως, ὦ πέδον Τροιζήνιον,
Ὡς ἐγκαθηβᾶν πόλλ' ἔχεις εὐδαίμονα,
Χαῖρ'. ὕστατον γάρ σ' εἰσορῶν προσφθέγγομαι.
Ἴτ' ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
Προσείπαθ' ἡμᾶς, καὶ προπέμψατε χθονός,
Ὡς οὔποτ' ἄλλον ἄνδρα σωφρονέστερον
Ὄψεσθε, κεἰ μὴ ταῦτ' ἐμῷ δοκεῖ πατρί.

ΕΠΩ-

Digitized by Google

Fruſtra autem confunderē iuſiurandum, quod iuraui.
The. Hei mihi, quam me interficiet tua ſanctimonia,
Nō abibis quā celerrime extra patrium ſolum?
Hipp. Quo igitur miſer me vertam? cuius hoſpitis
Domum ingrediar, propter hoc crimen exulans?
The. Qui libenter corruptores coniugum
Recipit peregrinos, & eos qui cohabitant cum malis.
Hipp. Heu heu, hoc afficit hepar, & hoc prope lachrymas eſt,
Quod iam malus appareo, & videor tibi.
The. Tunc oportebat gemere, & prouidere,
Cum auſus es iniuria afficere vxorem patris tui.
Hipp. O domus vtinam mihi vocem edere poſſes,
Et teſtareris, an ſim malus vir.
The. Confugis ad teſtes mutos? clare
Hæc res, quæ non loquitur, indicat te eſſe malum.
Hipp. Heu, vtinam liceret *mihi* meipſum aſpicere coram
Stantem, vt deplorarem qualia mala patior.
The. Multo magis aſſueteciſti teipſum colere,
Quam pietatem exercere erga parentes iuſte.
Hipp. O mater infelix, ô acerba progenies,
Nemo meorum amicorum ſit vnquam nothus.
The. Non trahetis eum ſerui? non auditis
Me iampridem iuſſiſſe hunc in exilium pelli?
Hipp. Plorans igitur aliquis ipſorum me tanget.
Tu vero ipſe, ſi tibi animus *eſt*, expelle *me ex hac* terra.
The. Faciam hæc, niſi meis pareas verbis.
Nulla enim miſericordia tui me ſubit exilii.
Hipp. Statutum eſt, vt videtur. O me miſerum,
Quia ſcio quidē hęc, neſcio tamē quomodo *hac* efferā,
O chariſſima mihi dearum, filia Latonæ,
Cohabitatrix, ſocia venationis, fugiemus igitur
Inclytas Athenas: ſed valeat vrbs,
Et terra Erechthei: ô ſolum Trœzenium,
Quā multa habes iucunda ad pubertatē trāſigendam,
Vale. Poſtremum enim te videns alloquor.
O iuuenes, quos æquales habui in hac terra, ite,
Salutate nos, & deducite *ex hac* terra.
Quia non alium *me* caſtiorem hominē vnquam
Videbitis, etiamſi hęc non videantur patri meo.

EPO-

EPODICA.

Strophe I.

Ch. Certe valde mihi deorum
Curæ, quoties animum ſubeunt,
Dolores, *ac mœrorem* auferunt.
Prudentiam vero quandam ſpe celans, *fouens*,
Deficio, & fortunas hominum,
Et facta intuens.
Alia enim aliâs *incertis* vicibus mutantur.
Et hominibus variatur vita
Semper multis erroribus obnoxia.

Antiſtrophe I.

„ Vtinam mihi precanti
„ Diuinitus fatum hoc concedat,
„ Fortunam cum diuitiis,
„ Et animum non ſeneſcentem curis:
„ Et exiſtimatio neque eximia, neque etiam
„ Mala contingat.
„ Faciles vero mores in craſtinum
„ Tempus ſemper immutans, *temporiq; ſeruiens*,
„ Vitam beatam degam,

Strophe II.

Non amplius enim puram
Mentê habeo. Video enim *multa* prętet ſpem *accidere*,
Poſtquam ciuitatis Græcæ
Athenarum clariſſimam ſtellam
Vidimus, vidimus ob patris iram
In aliam terram mitti.
O arena vrbani littoris,
Et ſaltus montane, quo *cum* canibus
Celeribus *Hippolyte* aſcendiſti,
Cum dea feras interficiens,
Circa caſtam Dictynnam.

Antiſtrophe II.

Non amplius iugum
Equorum Venetorum conſcendes,
Ad curſum circa paludes *in officio*
Continens pede equos deſtinatos exercitiis.
Et vigilans Muſa ſub iugo chordarum
Deſinet, *melosq; ſiſtet* in domo paterna.

Sine

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'.

Ἦ μέγα μοι τὰ θεῶν
Μελεδήμαθ', ὅταν φρένας ἔλθῃ,
Λύπας παραιρεῖ.
Ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων,
Λείπομαι, ἔν τε τύχαις θνατῶν,
Καὶ ἐν ἔργμασι λεύσσων.
Ἄλλα γὰρ ἄλλοτ' ἀμείβεται.
Μετὰ δ' ἵσταται ἀνδράσιν αἰὼν,
Πολυπλάνητος αἰεί.

Ἀντιστροφὴ α'.

Εἴθε μοι εὐξαμένᾳ
Θεόθεν τάδε μοῖρα παράσχοι,
Τύχαν μετ' ὄλβου,
Καὶ ἀγήρατον ἄλγεσι θυμόν.
Δόξα δὲ μήτ' ἀτρεκής, μήτ' αὖ
Παράσημος ἐνείη.
Ῥᾴδια δ' ἤθεα τὸν αὔριον
Μεταβαλλομένα χρόνον αἰεί,
Βίον συνευτυχοίην.

Στροφὴ β'.

Οὐκέτι γὰρ καθαρὰν
Φρέν' ἔχω. παρὰ δ' ἐλπίδα λεύσσω,
Ἐπεὶ τὸν Ἑλλανίας
Φανερώτατον ἀστέρ' Ἀθήνας,
Εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
Ἄλλαν ἐπ' αἶαν ἱέμενον.
Ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
Δρυμός τ' ὄρεος, ὅθι κυνῶν
Ὠκυπόδων ἐπέβας
Θεᾶς μέτα θῆρας ἐναίρων,
Δίκτυναν ἀμφὶ σεμνάν.

Ἀντιστροφὴ β'.

Οὐκέτι συζυγίαν
Πώλων Ἐνετᾶν ἐπιβάσῃ,
Τὸν ἀμφὶ λίμνας τρόχον
Κατέχων ποδὶ γυμνάδος ἵππους.
Μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδῶν
Λήξει πατρῷον ἀνὰ δόμον,

Ἀσέ-

Ἀστέφανοι δὲ κόρας ἀνάπαυλαι
Λατοῦς βαθεῖαν ἀνὰ χλόαν.
Νυμφιδία δ' ἀπόλω-
λε λέχη φυγᾷ σᾷ
Λέκτρων ἅμιλλα κόραις.

Ἐπῳδός.

Ἐγὼ δὲ σᾷ δυστυχίᾳ
Δάκρυσι διοίσω
Πότμον ἄποτμον. ὦ τάλαινα
Μᾶτερ, ἔτεκες ἀνόνητα, φεῦ,
Μανίω θεοῖσιν,
Ἰὼ ἰὼ συζυγίαι χάριτες,
Τί τὸν τάλαν' ἐκ πατρῴας γᾶς,
Οὐδὲν ἄτας αἴτιον,
Πέμπετε τῶνδ' ἀπ' οἴκων;

ΙΑΜΒΟΙ.

ἡμι. Καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
Σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.
ἄγ. Ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
Εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε μοι
Σημήνατ'. ἆρα τῶνδε δωμάτων ἔσω;
χο. Ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.
ἄγ. Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον
Σοί, καὶ πολίταις, οἵτ' Ἀθηναίων πόλιν
Ναίουσι, καὶ γῆς τέρμονας Τροιζηνίας.
θη. Τί δ' ἐστί; μῶν τις συμφορὰ νεωτέρα
Διστὰς κατείληφ' ἀστυγείτονας πόλεις;
ἄγ. Ἱππόλυτος οὐκ ἔτ' ἐστίν, ὡς εἰπεῖν ἔπος,
Δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.
θη. Πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
Ὅτου κατῄσχυν' ἄλοχον ὡς πατρὸς βίᾳ;
ἄγ. Οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
Ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρὶ
Πόντου κρέοντι παιδὸς ἠράσω πέρι.
θη. Ὦ θεοί, Πόσειδον, ὡς ἄρ' ἦσθ' ἐμὸς πατήρ,
Ὀρθῶς ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
Πῶς καὶ διώλετ' εἰπέ. τῷ τρόπῳ δίκης
Ἔπαισεν αὐτὸν ῥόπτρον αἰσχύναντά με;
ἄγ. Ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
Ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας,

Κλα-

7 Sine coronis autem *erunt* aræ puellæ
8 Latonæ in profundo gramine.
9 Nuptiales vero perierunt
10 Lecti propter exilium tuum,
11 *Et tuorum* lectorum certamen, *nuptiarumq; ſpes periit* [puellis.

Epodi.

1 Ego vero propter tuam calamitatem
2 Lachrimis *oculos rigans* feram
3 Fatum infelix. ô miſera
4 Mater. fruſtra *talem filium* peperiſti. heu,
5 Succenſeo Diis.
6 Heu heu, vos gratiæ concordes, *cõcordiaq; cõciliatrices,*
7 Quare hunc miſerum e terra patria,
8 Nullius culpæ reum,
9 Emittitis procul ab his ædibus?

Semichorus.

Atqui miniſtrum hunc Hippolyti video,
Celeriter triſtem tendentem ad domum.

Nun. Quo vadens dominum huius terræ Theſeum
Inueniam ô mulieres? ſi nouiſtis, mihi
Significate. nunquid intra hanc domum?

Cho. Ille ipſe egreditur ex ædibus.

Nun. Theſeu affero rem dignam conſideratione, *curaq;*,
Tibi, & ciuibus, qui vrbem Athenienſium
Habitant, & fines terræ Trœzeniæ.

The. Quidnam eſt? an noua aliqua calamitas
Duas vicinas vrbes inuaſit?

Nun. Hippolytus non amplius eſt, *obiit*, vt ſummatim dicã.
Exiguo tamẽ tẽporis momẽto videt hanc lucẽ *adhuc.*

The. A quo *caſus obiit?* num aliquis inuaſit *eum* hoſtiliter,
Cuius cõiugem per vim, vt patris, fœde ſtuprarit?

Nun. Iugum proprii currus perdidit eum,
Et imprecationes oris tui, quas tu patri tuo
Domino maris vouiſti de tuo filio.

The. Odii, ô Neptune, quam *vere* es pater meus,
Quia recte audiuiſti meas imprecationes.
Quomodo etiam perierit dic. quo modo Iuſtitiæ
Claua percuſſit eum, qui me dedecore affecit?

Nun. Nos quidem iuxta littus, quod alluitur fluctibus,
Strigilibus equorum pectebamus crines,

Plorantes. nam venit nuncius quidam, dicens
Quod non amplius in hac terra verſaturus eſſet pedem,
Hippolytus, habens a te mandatum miſeri exilii.
Ipſe venit ferens idem carmen lachrymarum
Nobis ad littus. maximus autem a tergo ſequens
Coetus amicorum æqualium ſimul ibat.
Tandem vero dixit ſedatis luctibus,
Quid iſta deploro? obtemperandū eſt verbis patris.
Iungite equos ferentes iuga curribus
Serui, non enim amplius eſt mihi hæc ciuitas.
Inde tamen omnes feſtinabant,
Et dicto citius apparatos
Equos ad dominum ipſum ſtitimus,
Apprehendit vero manibus habenas a ſede currus,
Ipſis ocreis ornans pedem.
Et primum quidem diis dixit paſſis manibus,
Iupiter peream, ſi malus ſum vir,
Sentiat autē pater quomodo nos ignominioſe tractet,
Vel mortuos, vel lucem intuentes, *i. viuos*.
Deinde accipiens ſtimulum in manus, admouit
Equis ſimul. nos vero miniſtri pone currum
Prope frena ſequebamur dominum,
Illa via, quæ fert rectà ad Argos, & Epidaurum.
Sed poſtquam intrauimus in locum deſertum,
Eſt quoddam littus e regione huius terræ,
Situm iam ad mare Saronicum.
Inde quidam ſonitus ex terra, ſicut vox Iouis,
Emiſit vehementem fremitum, horribilem auditu:
Caput autem ſtatuerunt erectum, & aurem in cælum
Equi. Erat vero in nobis metus iuuenilis,
Vnde nam eſſet ſonitus, ſed in marinum
Littus intuentes, vidimus ingentem
Fluctum cælo hærentē, *i. valde ſublimē*, vt adimeretur
Meis oculis proſpectus littoris Scironii.
Texit autem Iſthmum, & petram Æſculapii:
Deinde vero intumeſcens, & vndique ſpumam
Plurimam effundens cum ſonitu, marino æſtu,
Venit ad littus, vbi erant quadrigæ;
Et cum ipſa proceſſa, & graui tempeſtate,
Fluctus ille expoſuit *humi* taurum, ferum monſtrum,

Cuius

Κλαίοντες. ἦλθε γάρ τις ἄγγελος λέγων,
Ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέφοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
Ὁ δ' ἦλθε ταὐτὸν δακρύων φέρων μέλος
Ἡμῖν ἐπ' ἀκτάς. μυρία καὶ ὀπισθόπους
Φίλων ἅμ' ἔστειχ' ἡλίκων ὁμήγυρις.
Χρόνῳ δὲ δή ποτ' εἶπ' ἀπαλλαχθεὶς γόων,
Τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις,
Ἐντύνεθ' ἵππους ἅρμασι ζυγηφόρους,
Δμῶες. πόλις γὰρ οὐκ ἔτ' ἔστιν ἥδε μοι.
Τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο.
Καὶ θᾶσσον, ἢ λέγοι τις, ἐξηρτυμένας
Πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν.
Μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
Αὐταῖσιν ἀρβύλῃσιν ἁρμόσας πόδα.
Καὶ πρῶτα μὲν θεοῖς εἶπ' ἀναπτύξας χέρας,
Ζεῦ, μηκέτ' εἴην, εἰ κακὸς πέφυκ' ἀνήρ.
Αἴσθοιτο δ' ἡμᾶς ὡς ἀτιμάζει πατήρ,
Ἤτοι θανόντας, ἢ φάος δεδορκότας.
Κἀν τῷδ' ἐπῆγε κέντρον εἰς χεῖρας λαβὼν
Πώλοις ὁμαρτῇ. πρόσπολοι δ' ὑφ' ἅρματος
Πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ,
Τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
Ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
Ἀκτή τις ἐστὶ τοὐπέκεινα τῆσδε γῆς,
Πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
Ἔνθεν τις ἠχὼ χθόνιος, ὡς φωνὴ Διός,
Βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν.
Ὀρθὸν δὲ κρᾶτ' ἔστησαν, οὖς τ' εἰς οὐρανὸν
Ἵπποι. παρ' ἡμῖν δ' ἦν φόβος νεανικός,
Πόθεν ποτ' εἴη φθόγγος. εἰς δ' ἁλιρρόθους
Ἀκτὰς ἀποβλέψαντες, ἱερὸν εἴδομεν
Κῦμ' οὐρανῷ στηρίζον, ὡς ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν.
Ἔκρυπτε δ' ἰσθμόν, καὶ πέτραν Ἀσκληπιοῦ.
Κἄπειτ' ἀνοιδῆσάν τε, καὶ πέριξ ἀφρὸν
Πολὺν καχλάζον ποντίῳ φυσήματι
Χωρεῖ πρὸς ἀκτάς, οὗ τέθριππος ἦν ὄχος.
Αὐτῷ δὲ σὺν κλύδωνι, καὶ τρικυμίᾳ,
Κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας.

Οὗ πᾶσα μεστὴ χθὼν φθέγματος πληρουμένη,
Φρικῶδες ἀντεφθέγγετ᾽. εἰσορῶσι δὲ
Κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
Εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος.
Καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
Πολὺς ξυνοικῶν, ἥρπασ᾽ ἡνίας χεροῖν.
Ἕλκει δὲ, κώπην ὥστε ναυβάτης ἀνὴρ,
Ἱμᾶσιν εἰς τοὔπισθεν ἀρτήσας δέμας.
Αἱ δ᾽ ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις,
Βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς,
Οὔθ᾽ ἱπποδέσμων, οὔτε κολλητῶν ὄχων
Μεταστρέφουσαι. κεἰ μὲν εἰς τὰ μαλθακὰ
Γαίας ἔχων οἴακας ἰθύνοι δρόμον,
Προὐφαίνετ᾽ εἰς τοὔμπροσθεν, ὥστ᾽ ἀναστρέφειν,
Ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον.
Εἰ δ᾽ εἰς πέτρας φέροιντο, μαργῶσαι φρένας,
Σιγῇ πελάζων, ἄντυγι ξυνείπετο
Εἰς τοῦθ᾽, ἕως ἔσφηλε, κἀνεχαίτισεν,
Ἁψῖδα πέτρῳ προσβαλὼν ὀχήματος.
Σύμφυρτα δ᾽ ἦν ἅπαντα. σύριγγές τ᾽ ἄνω
Τροχῶν ἐπήδων, ἀξόνων τ᾽ ἐνήλατα.
Αὐτὸς δ᾽ ὁ τλήμων ἡνίαισιν ἐμπλακεὶς,
Δεσμὸν δυσεξήνυτον ἕλκεται δεθεὶς,
Σποδούμενος μὲν πρὸς πέτρας φίλον κάρα,
Θραύων δὲ σάρκας, δεινὰ δ᾽ ἐξαυδῶν κλύειν,
Στῆτ᾽ ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,
Μή μ᾽ ἐξαλείψητ᾽. ὦ πατρὸς τάλαιν᾽ ἀρά.
Τίς ἄνδρ᾽ ἄριστον βούλεται σῶσαι παρών;
Πολλοὶ δὲ βουληθέντες, ὑστέρῳ ποδὶ
Ἐλειπόμεσθα. χὠ μὲν ἐκ δεσμῶν λυθεὶς
Τμητῶν ἱμάντων, οὐ κάτοιδ᾽ ὅτῳ τρόπῳ,
Πίπτει, βραχὺν βίοτον ἐμπνέων ἔτι.
Ἵπποι δ᾽ ἔκρυφθεν, καὶ τὸ δύστηνον τέρας
Ταύρου, λεπαίας οὐ κάτοιδ᾽ ὅπως χθονός.
Δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
Ἀτὰρ τοσοῦτον οὐ δυνήσομαί ποτε
Τὸν σὸν πιθέσθαι παῖδ᾽ ὅπως ἐστὶν κακὸς,
Οὐδ᾽ εἰ γυναικῶν πᾶν κρεμασθείη γένος,
Καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
Πεύκην, ἐπεί νιν ἐσθλὸν ὄντ᾽ ἐπίσταμαι.

Cuius ſonitu terra omnis plena
Horribiliter reſonabat. Intuentibus autem,
Hoc ſpectaculum apparebat maius aſpectu *noſtro*.
Statim autem equos grauis inuaſit metus.
Et dominus quidem in re equeſtri
Multum verſatus,corripuit manibus habenas.
Traxit autem (vt remum vir nauticus)
Equos loris retro flectens corpus.
Sed equi mordentes frenos, in igni factos,ſuis mandibulis,
Violenter ferunt,neque manum rectoris,
Neque lora,neque bene compactos currus
Curantes. & ſi quidem in plana
Terra habens gubernacula flectebat curſum,
Apparebat anterius, vt *currum Hipp.* retro cõuerteret,
Taurꝰ,perterrefaciens inſano metu quadriiugũ currũ:
Quod ſi ferebantur verſus petras animo furẽtes,
Tacite appropinquans, ſimul comitabatur currum,
Donec impegit,& excuſſit,
Impellens circulum rotæ ſaxo.
Omnia autem erant confuſa,fiſtulæque ſurſum
Rotarum ſaliebant,axiumque claui.
Ipſe vero miſer loris implicitus,
Trahitur vinctus vinculo inexplicabili,
Alliſus quidem charum caput ad petras,
Cõminuens vero corpus,& clamãs horribilia auditu:
State ô equi nutriti in meis præſepibus,
Ne me perdatis. ô miſera patris imprecatio.
Quis præſens vult ſeruare virum optimum?
Multi autem volentes,tardo pede
Eminus ſequebamur. iſte vero ſolutus e vinculis
Fractorum lororum,neſcio quomodo
Cadit,ſpirans adhuc exiguam vitam:
Sed equi occultati ſunt,& infelix caput
Tauri,haud ſcio quomodo *in* terræ montoſæ iugis.
Ego vero ô rex, ſum quidem famulus tuarum ędium,
Sed *tamen* eo nunquam adduci potero,
Vt credam tuum filium eſſe improbum.
Neque ſi totum genus mulierum ſuſpendatur,
Et aliquis literis impleat omnem in Ida monte
Syluam,quandoquidem ſcio eum eſſe probum.

Cho. Heu heu. pfectę ſunt calamitates nouorū malorū, nij
„ Nec eſt fati, neceſſitatisq; effugium *nec fatalis neceſſi*
Thе. Odio quidem viri, qui paſſus eſt hæc, [*vitari poteſt*
Delectatus ſum iſtis verbis. nunc autem reueritus
Et deos, & illum; propterea quod eſt ex me natus,
Neque delector, neque indignor his malis.
Nun. Quomodo igitur ferre, aut quid oportet miſero
Nos facere, vt gratificemur animo tuo?
Cogita, ſed meo conſilio vſus.
Non eris crudelis in tuum filium infelicem.
Thе. Adferte ipſum, vt videns coram
Eum, qui negauit ſe polluiſſe meos lectos.
Verbis conuincā, deorumq; calamitatibus, i. *pœnis di-*
MONOSTROPHICA. [*uinitus irrogatis.*
Cho. Tu deorum inflexibilem animum,
„ Et hominum ducis ô Venus, ſimulque
Puer varia decorus pluma circumfuſus
Celerrimis alis.
Volitat enim ſuper terram, & valde reſonans
Salſum ſuper mare.
Mulcetque Cupido, quem furenti corde
Inuaſerit alatus,
Aurofulgens, naturam
Catulorum in montibus degentium.
Et marinorum, & quæcunque terra alit
Quam ſol ardens videt.
Et viros. vniuerſorum enim
Regium honorem, Venus
Horum ſola obtines.
Diana.
Iubeo te nobilem Ægei
Filium audire.
Diana vero filia Latonæ compellat te.
O Theſeu, cur miſer iſtis delectaris?
Cum iniuſte interfeceris tuum filium,
Falſis verbis adductus vxoris,
Obſcure. manifeſtam vero nactus es cladem.
Cur non ſub terræ tartara occultas
Corpus erubeſcens,
Aut alatus ſurſum in aerem transferens vitam

Pedem

Χο. Αἶ, αἶ. κέκρανται συμφοραὶ νέων κακῶν.
» Οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.
Θη. Μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε,
Λόγοισιν ἥσθην τοῖσδε. νῦν δ' αἰδούμενος
Θεούς τ', ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
Οὔθ' ἥδομαι τοῖσδ', οὔτ' ἐπάχθομαι κακοῖς.
Αγ. Πῶς οὖν κομίζειν. ἢ τί χρὴ τὸν ἄθλιον
Δρῶντας πρὸς ἡμᾶς, σῇ χαρίζεσθαι φρενί;
Φρόντιζ'. ἐμοῖς δὲ χρώμενος βουλεύμασιν,
Οὐκ ὠμὸς εἰς σὸν παῖδα δυστυχοῦντ' ἔσῃ.
Θη. Κομίζετ' αὐτόν, ὡς ἰδὼν ἐν ὄμμασι
Τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη,
Λόγοις ἐλέγξω, δαιμόνων τε συμφοραῖς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Σὺ τὰν θεῶν ἄκαμπτον φρένα,
» Καὶ βροτῶν ἄγεις. Κύπρι. σὺν
Δ' ὁ ποικιλόπτερος ἀμφιβαλὼν
Ὠκυτάτῳ πτερῷ.
Ποτᾶται δ' ἐπὶ γαῖαν, εὐάχητον
Θ' ἁλμυρὸν ἐπὶ πόντον.
Θέλγει δ' ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ
Πτανὸς ἐφορμάσῃ.
Χρυσοφαὴς, φύσιν
Ορεσκόων σκυλάκων,
Πελαγίων θ', ὅσα τε γᾶ τρέφει,
Ταν ἅλιος αἰθόμενος δέρκεται,
Ἄνδρας τε. συμπάντων δὲ
Βασιληΐδα τιμὰν Κύπρι
Τῶνδε μόνα κρατύνεις.

ΑΝΑΠΑΙΣΤΟΙ.

Αρ. Σὲ τὸν εὐπατρίδαν Αἰγέως κέλομαι
Παῖδ' ἐπακοῦσαι.
Λητοῦς δὲ κόρη σ' Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖσδε συνήδῃ;
Παῖδ' οὐχ ὁσίως σὸν ἀποκτείνας,
Ψευδέσι μύθοις πεισθεὶς ἀλόχου,
Ἀφανῆ. φανερὰν δ' ἔσχες ἄτην.
Πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
Δέμας αἰσχυνθείς.
Ἢ πτηνὸς ἄνω μεταβὰς βίοτον,

Πήματος ἔξω πόδα τόνδ' ἀνέχεις;
Ὡς τοῖς ἀγαθοῖς ἀνδράσιν, οὔ σοι
Κτητὸν βιότου μέρος ἐστίν.

ΙΑΜΒΟΙ.

Ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν.
Καί τοι προκόψω γ' οὐδὲν, ἀλγυνῶ δέ σε.
Ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐνδεῖξαι φρένα
Τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνῃ,
Καὶ τῆς γυναικὸς οἶστρον, ἢ τρόπον τινὰ
Γενναιότητα. τῆς γὰρ ἐχθίστης θεῶν
Ἡμῖν, ὅσαισι παρθένειος ἡδονὴ,
Δηχθεῖσα κέντροις, παιδὸς ἠράσθη σέθεν.
Γνώμῃ δὲ νικᾶν τὴν Κύπριν πειρωμένη,
Τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς.
Ἣ σῷ δι' ὅρκων παιδὶ σημαίνει νόσον.
Ὁ δ' ὥσπερ ἦν δίκαιον, οὐκ ἐφέσπετο
Λόγοισιν. Οὐδ' αὖ πρὸς σέθεν κακούμενος,
Ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.
Ἡ δ' εἰς ἔλεγχον μὴ πέσῃ φοβουμένη,
Ψευδεῖς γραφὰς ἔγραψε, καὶ διώλεσε
Δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.
θη. Οἴμοι. Α. δάκνει σε Θησεῦ μῦθος, ἀλλ' ἔχ' ἥσυχος,
Τοὐνθένδ' ἀκούσας, ὡς ἂν οἰμώξῃς πλέον.
Ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς σαφεῖς ἔχων;
Ὧν τὴν μίαν παρεῖλες ὦ κάκιστε σὺ
Εἰς παῖδα τὸν σὸν, ἐξὸν εἰς ἐχθρόν τινα.
Πατὴρ μὲν οὖν σοι πόντιος, φρονῶν καλῶς,
Ἔδωχ' ὅσονπερ χρῆν, ἐπείπερ ἤνεσεν.
Σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνῃ κακός.
Ὃς οὔτε πίστιν, οὔτε μάντεων ὄπα
Ἔμεινας, οὐδ' ἤλεγξας, οὐ χρόνῳ μακρῷ
Σκέψιν γ' ἔνειμας, ἀλλὰ θᾶσσον ἤ σ' ἐχρῆν,
Ἀρὰς ἀφῆκας παιδὶ, καὶ κατέκτανες.
θη. Δέσποιν' ὀλοίμην. Α. δείν' ἔπραξας. ἀλλ' ὅμως
Ἔτ' ἐστὶ καὶ σοὶ τῶνδε συγγνώμης τυχεῖν.
Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε,
» Πληροῦσα θυμόν. θεοῖσι δ' ὧδ' ἔχει νόμος.
» Οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίᾳ
» Τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
Ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη,

Οὐκ

Digitized by Google

Pedem hunc extra noxam ſuſtines? *ſiſtis?*
Quia cum bonis viris, tibi non
Poſſidenda eſt pars vitæ.

Audi Theſeu ſtatum tuorum malorum:
Etſi nihil proficiam, tamen dolore afficiam te.
Sed in hunc *locum, i. huc* veni, vt oſtendã animum filii
Tui iuſtum, quod honeſte ſit mortuus,
Et vxoris tuæ furorem, aut aliquo modo
Generoſitatem. A Dea enim inuiſiſſima
Nobis, quotquot virginitas voluptati eſt,
Morſa ſtimulis, amauit tuum filium.
Ratione autem ſuperare Venerem conans,
Nutricis periit non volens machinis.
Quæ tuo filio iureiurãdo interpoſito, *acceptaq; fide* in-
Hic aũt, vt iuſtũ erat, nõ obtẽꝑabat [dicat morbũ *Phæ.*
Verbis. neq; rurſum male tractatus a te,
Irritam fecit fidem iuſiurandi, cum eſſet pius.
Illa vero timens ne proderetur,
Scripſit falſas literas, & perdidit
Dolo tuum filium: ſed tamen rem perſuaſit tibi.
The. Heu heu. *Dia.* Mordet te Theſeu hęc oratio. ſed expe-
Audiens quæ ſequuntur, vt plus plores, [cta,
An nõ ſcis te tres imprecationes ratas habuiſſe a patre?
Quarum vnam tu peſſime tranſtuliſti
In filiũ tuũ, cũ poſſes in inimicũ aliquem *conuertere.*
Pater quidem marinus, *i. Neptunus,* tibi bene volens
Dedit ſicut oportuit, quemadmodum promiſit.
Tu vero & in illum, & in me malus videris,
Qui neque fidem, neque vocem vatum
Expectaſti, neque exploraſti, neque tempori longo
Conſultationem tribuiſti: ſed citius quã te oportebat,
Imprecationes emiſiſti in filium, eumque occidiſti.
The. Domina peream. *Dia.* Feciſti atrocia, ſed tamẽ
Adhuc potes horum veniam conſequi.
Nam Venus voluit, vt fierent iſta,
,, Implens iram *ſuam.* Diis enim hæc eſt lex.
,, Nemo vult occurrere, *i. aduerſari,* ſtudio
,, Volentis, ſed cedimus ſemper *alii aliis:*
Alioqui certo ſcito, ſi non timuiſſem Iouem,

Nu-

Nunquam veniſſem ego eo dedecoris,
Vt virum omnium mihi chariſſimum mortalium
Mori ſinerem. Tuum vero peccatum,
Primum quidem ignorantia liberat a malitia:
Deinde vero vxor *tua* defuncta *magnas* conſumpſit
Verborũ probationes *in epiſtola ſcriptas*, vt tuũ perſuaderet animũ.
Nũc maxime tibi hęc mala cõfluxerũt.
,, Sed & mihi dolor *adeſt*. Pios enim Dii
,, Mori non gaudent: ſed malos
,, Cum ipſis liberis, & domo perdimus.

Chorus.

Atqui miſer ille iam venit,
Corpus iuuenile,
Et flauum caput fœde tractatus.
O qualis miſeria in hac familia accidit.
Geminus ædes
Luctus diuinitus tanquã furor quidã immiſſus occupauit.

Hipp. Heu, heu, heu, heu.
Infelix ego ob iniuſti patris
Iniuſtam ſententiam dilaniatus ſum.
Perii miſer, hei mihi, hei mihi.
Dolores excitantur per meum caput,
Et in cerebro ſalit ſpaſmus:
Sine, defatigatum corpus quiete recreem.
Heu, heu. ô odioſum iugũ equorũ, quos mea
Manu alui,
Perdidiſti me, & occidiſti.
Heu, heu. per Deos ſerui placide
Contrectate manibus corpus laceratum.
Quænam aſtitit dextra lateribus? *quanã hac attrectat?*
Apte me attollite. celeriter aũt *me domũ* trahite, *i. portate*
Infelicem, & execratum
Patris errore. Iupiter, Iupiter, hæc vides?
Ille ego caſtus, & cultor deorum,
Ille, qui continentia cunctos ſupero,
Vado ad manifeſtam mortem, prorſus
Amiſſa vita.
Fruſtra vero labores pietatis
In homines exercui.
Heu, heu, heu, heu.

Et

Οὐκ ἄν ποτ' ἦλθον εἰς τόδ' αἰσχύνης ἐγώ,
Ὥστ' ἄνδρα πάντων φίλτατον ἐμοὶ βροτῶν,
Θανεῖν ἐᾶσαι. τὴν δὲ σὴν ἁμαρτίαν,
Τὸ μὴ εἰδέναι μὲν, πρῶτον ἐκλύει κάκης.
Ἔπειτα γ' ἡ θανοῦσ' ἀνάλωσεν γυνὴ
Λόγων ἐλέγχους, ὥστε σὴν πεῖσαι φρένα.
Μάλιστα νῦν σοί που τάδ' ἔρρωγεν κακά.
» Λύπη δὲ κἀμοί. τοὺς γὰρ εὐσεβεῖς θεοὶ
» Θνήσκοντας οὐ χαίρουσι. τούς γε μὴν κακοὺς
» Αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
Σάρκας νεαρὰς
Ξανθόν τε κάρα διαλυμανθείς.
Ὦ πόνος οἴκων, οἷος ἐκράνθη.
Δίδυμον μελάθροις
Πένθος θεόθεν καταληπτόν.
Ἱππ. Αἶ, αἶ, αἶ, αἶ.
Δύστηνος ἐγὼ πατρὸς ἐξ ἀδίκου
Χρησμοῖς ἀδίκοις διελυμάνθην.
Ἀπόλωλα τάλας. οἴμοι, οἴμοι.
Διά μου κεφαλῆς ἀΐσσουσ' ὀδύναι,
Κατὰ γ' ἐγκέφαλον πηδᾷ σφάκελος.
Σχὲς, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
Ἒ, ἔ. ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
Βόσκημα χερὸς,
Διά μ' ἔφθειρας, κατὰ τ' ἔκτεινας.
Φεῦ, φεῦ. πρὸς θεῶν δμῶες ἀτρέμας
Χρωτὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
Τίς ἐφέστηκεν δεξιὰ πλευροῖς;
Πρόσφορά μ' αἴρετε. σύντονα δ' ἕλκετε
Τὸν κακοδαίμονα, καὶ κατάρατον
Πατρὸς ἀμπλακίαις. Ζεῦ, Ζεῦ, τάδ' ὁρᾷς;
Ὅδ' ὁ σεμνὸς ἐγὼ, καὶ θεοσέπτωρ,
Ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερσχὼν,
Προῦπτον ἐς ἅδην στείχω κατ' ἄκρας
Ὀλέσας βίοτον.
Μόχθους δ' ἄλλως τῆς εὐσεβείας
Εἰς ἀνθρώπους ἐπόνησα.
Αἶ, αἶ, αἶ, αἶ.

Καὶ νῦν ὀδύνα μ' ὀδύνα βαίνει.
Μέθετε τάλανα.
Καί μοι θάνατος παιὰν ἔλθοι.
Προσαπόλλυτέ μ', ὄλλυτε τὸν δυσδαί-
μον'. ἀμφιτόμου λόγχας ἔραμαι
Διαμοιρᾶσαι,
Διά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
Ὦ πατρὸς ἐμοῦ δύστηνος ἀρά.
Μιαιφόνων τε συγγόνων.
Παλαιῶν προγεννητόρων.
Ἐξορίζεται κακὸν, οὐδὲ μέλλει,
Ἔμολέ τ' ἐπ' ἐμὲ, τί ποτε τὸν οὐδὲν
Ὄντ' ἐπαίτιον κακῶν.
Ἰώ μοι μοι. τί φῶ;
Πῶς δ' ἀπαλλάξω βιοτὰν
Ἐμὰν τοῦδ' ἀναλγήτου πάθους;
Εἴθε με κοιμάσειε τὸν δυσδαίμονα.
Ἅιδου μέλαινα, νύκτερός τ' ἀνάγκη.

ΙΑΜΒΟΙ.

ἀρ. Ὦ τλῆμον, οἵᾳ συμφορᾷ συνεζύγης.
Τὸ δ' εὐγενές σε τῶν φρενῶν διώλεσεν.
ἱππ. Ἔα. ὦ θεῖον ὀσμῆς πνεῦμα. καὶ γὰρ ἐν κακοῖς
Ὢν, ᾐσθόμην σου, κἀνεκουφίσθην δέμας.
Ἔστ' ἐν τόποισι τοῖσδε γ' Ἄρτεμις θεά.
ἀρ. Ὦ τλῆμον, ἔστι σοί γε φιλτάτη θεῶν.
ἱππ. Ὁρᾷς με δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;
ἀρ. Ὁρῶ, κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.
ἱππ. Οὐκ ἔστι σοι κυναγὸς, οὐδ' ὑπηρέτης.
ἀρ. Οὐ δῆτ'. ἀτάρ τοι δύσποτμός γ' ἀπόλλυσαι.
ἱππ. Οὐδ' ἱππονώμας, οὐδ' ἀγαλμάτων φύλαξ.
ἀρ. Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.
ἱππ. Ὤιμοι. φρονῶ δὴ δαίμον', ἥ μ' ἀπώλεσε.
ἀρ. Τιμῆς ἐμέμφθη, σωφρονοῦντι δ' ἤχθετο.
ἱππ. Τρεῖς ὄντας ἡμᾶς ὤλεσ', ᾔσθημαι, Κύπρις.
ἀρ. Πατέρα τε, καὶ σὲ, καὶ τρίτην ξυνάορον.
ἱππ. Ὤιμωξα τοίνυν καὶ πατρὸς δυσπραξίας.
ἀρ. Ἐξηπατήθη δαίμονος βουλεύμασιν.
ἱππ. Ὦ δυστάλας σὺ τῆσδε συμφορᾶς πάτερ.
θη. Ὄλωλα τέκνον, οὐδέ μοι χάρις βίου.
ἱππ. Στένω σὲ μᾶλλον, ἢ 'με, τῆς ἁμαρτίας.

θη.

Et nunc dolor me, dolor inuadit.
Dimittite miſerum,
Et veniat mihi mors quæ ſit meus hymnus:
Perdite me, perdite inſe-
licem, ancipitem enſem expecto,
Vt me diſſecem,
Et ſopiam, *i. extinguam* meam vitam.
O infelicem patris mei imprecationem,
Et pollutorum cæde cognatorum.
Priſcorum progenitorum
Malum terminatur in me, neque cunctatur,
Et venit in me, curnam illum, qui nullo modo
Eſt autor *horum* malorum *premit.*
Hei mihi, mihi: quid dicam?
Quomodo vero liberabo vitam
Meam ab iſto ſtupidum me reddente malo?
Vtinam me miſerum conſopiat
Plutonis atra, nocturnaque neceſſitas.

Diana.

O infelix, in quam calamitatem incidiſti?
Generoſus animus ille tuus te perdidit.
Hipp. Sine. ô diuinum halitum odoris. etenim licet in malis
Sim, tamen ſenſi te, & leuatus ſum corpore.
» Eſt in his ædibus dea Diana.
Dia. O miſer, adeſt tibi chariſſima tua dea.
Hipp. Videſne me domina, quam ſim miſer?
Dia. Video. ſed nõ fas eſt me lachrymas emittere ex oculis.
Hipp. Non amplius eſt tuus venator, neque miniſter.
Dia. Non profecto, ſed infelix periiſti.
Hipp. Neq; agitator equorũ, neq; *tuarum* ſtatuarum cuſtos.
Dia. Venus enim veteratoria ſic machinata eſt.
Hipp. Heu mihi. agnoſco iam deam, quæ me perdidit.
Dia. Queſta eſt de honore. infeſta.n. tibi fuit, ꝙ caſtus eras.
Hipp. Venus perdidit, vt ſentio, nos tres.
Dia. Patrem, & te, & tertiam, vxorem patris.
Hipp. Deploro igitur & patris infortunia.
Dia. Deceptus eſt conſilio deæ.
Hipp. O infelix tu pater propter hanc calamitatem.
The. Perii fili. nec *vlla* mihi voluptas *eſt* vitæ.
Hipp. Doleo magis tuam vicẽ, quam meã, ꝑꝑ hoc erratum.

Tha.

The. Vtinam vero fili pro te mortuus eſſem.

Hipp. O dona acerba patris tui Neptuni.

The. Vtinã nunquã veniſſent mihi in meum os. [mus.

Hipp. Quid vero? interfeciſſes me *nihilominus*, adeo ſuccẽſ

The. Mẽte.n. tũc eram⁹ a Diis priuati. [*deuouere* poſſet.

Hipp. Heu. vtinã *et* mortaliũ gen⁹ Deos execrari, *& viciſ*

Dia. Sine. non enim, non ſub caliginem terræ

Deæ Veneris ex cupiditate, inultæ, *i. ſine vltione*

Irruunt iræ in tuum corpus,

Propter tuam pietatem, & bonam mentem.

Ego enim ipſius alium hac mea manu,

Qui longe chariſſimus *ipſi* fuerit mortalium,

His telis ineuitabilibus vlciſcar.

Tibi vero ô miſer, pro his malis,

Maximos honores in vrbe Trœzenia

Dabo. nam puellæ innuptæ ante nuptias

Tibi tondebunt crines longo tempore,

Præſtantes maximum luctum lachrymis.

Semper vero virginum de te muſicæ

Cantilenæ erunt, nec ignotus lapſus

In te amor Phædræ tacebitur.

Tu vero ô fili ſenis Ægei, ſuſcipe

Tuum filium in vlnas, & attrahe, *i. complectere*.

„ Inuitus enim eum perdidiſti: homines vero

Conſentaneum eſt peccare diis permittentibus.

Et te adhortor vt non odio proſequaris tuũ patrẽ

Hippolyte: tenes enim fatum, quo periiſti.

Et vale. nam non fas eſt mihi intueri mortuos,

Neque polluere oculos animã efflãtis, *ac morientis* an-

Video enim te iam vicinum eſſe huic malo. [helitu.

Hipp. Læta & tu vade beata virgo.

Longumque relinquas leuiter *noſtrum* colloquium.

Rixas vero cum patre ſuſceptas dimitto, *ſic* te volente.

Nam & ante *ſemper* tuis obtemperaui verbis.

Heu, heu. venit mihi caligo iam in oculos,

Accipe me pater, & erige corpus.

The. Hei mihi fili. quid mihi facis miſero?

Hipp. Perii, & iam video portas inferorum.

The. An *moreris* relinquens pollutam mentem meam?

Hipp. Nequaquam, quandoquidem te libero ab hac cæde.

The.

Digitized by Google

θη. Εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ σοῦ νεκρός.
ἱππ. Ὦ δῶρα πατρὸς σοῦ Ποσειδῶνος πικρά.
θη. Ὡς μή ποτ' ἐλθεῖν ὤφελ' εἰς τοὐμὸν στόμα.
ἱππ. Τί δ'; ἔκτανες τ' ἄν μ', ὡς τότ' ἦσθ' ὠργισμένος.
θη. Δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐσφαλμένοι.
ἱππ. Φεῦ, εἴθ' ἦν ἀραῖον δαίμοσι βροτῶν γένος.
ἀρ. Ἔασον. οὐδὲ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
Θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
Ὀργαὶ κατασκήψουσιν εἰς τὸ σὸν δέμας,
Σῆς δ' εὐσεβείας, κἀγαθῆς φρενὸς χάριν.
Ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς,
Ὃς ἂν μάλιστα φίλτατος κυρεῖ βροτῶν,
Τόξοις ἀφύκτοις τοῖσδε τιμωρήσομαι.
Σοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν,
Τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ
Δώσω. κόραι γὰρ ἄζυγες γάμων πάρος,
Κόμας κεροῦνταί σοι δι' αἰῶνος μακροῦ,
Πένθη μέγιστα δακρύων καρπουμένῳ.
Ἀεὶ δὲ μουσοποιὸς εἰς σὲ παρθένων
Ἔσται μέριμνα, κοὐκ ἀνώνυμος πεσὼν
Ἔρως ὁ Φαίδρας εἰς σὲ σιγηθήσεται.
Σὺ δ', ὦ γεραιοῦ τέκνον Αἰγέως, λαβὲ
Σὸν παῖδ' ἐν ἀγκάλαισι, καὶ προσέλκυσαι.
„ Ἄκων γὰρ ὤλεσάς νιν. Ἀνθρώποισι δὲ,
Θεῶν διδόντων, εἰκὸς ἐξαμαρτάνειν.
Καὶ σοὶ παραινῶ, πατέρα μὴ στυγεῖν σέθεν,
Ἱππόλυτ'. ἔχεις γὰρ μοῖραν, ᾗ διεφθάρης.
Καὶ χαῖρ'. ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν,
Οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς.
Ὁρῶ δέ σ' ἤδη τοῦδε πλησίον κακοῦ.
ἱππ. Χαίρουσα καὶ σὺ στεῖχε παρθέν' ὀλβία.
Μακρὰν δὲ λείπεις ῥᾳδίως ὁμιλίαν.
Λύω δὲ νεῖκος πατρὶ, χρῃζούσης σέθεν.
Καὶ γὰρ πάροιθε σοῖς ἐπειθόμην λόγοις.
Αἲ, αἲ. κατ' ὄσσων κιγχάνει μ' ἤδη σκότος.
Λαβοῦ πάτερ μου, καὶ κατόρθωσον δέμας.
θη. Ὤ μοι τέκνον. τί δρᾷς με τὸν δυσδαίμονα;
ἱππ. Ὄλωλα, καὶ δὴ νερτέρων ὁρῶ πύλας.
θη. Ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα;
ἱππ. Οὐ δῆτ', ἐπεί σε τοῦδ' ἐλευθερῶ φόνου.

θη.

Θη. Τί φής; ἀφίης αἵματός μ' ἐλεύθερον;
ἱππ. Τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.
Θη. Ὦ φίλταθ', ὡς γενναῖος ἐκφαίνῃ πατρί.
ἱππ. Ὦ χαῖρε καὶ σύ, χαῖρε πολλά μοι πάτερ.
Θη. Οἴμοι φρενὸς σῆς εὐσεβοῦς τε, κἀγαθῆς.
ἱππ. Τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν.
Θη. Μή νυν προδῷς με τέκνον, ἀλλὰ καρτέρει.
ἱππ. Κεκαρτέρηται τἄμ', ὄλωλα γὰρ πάτερ.
Κρύψον δέ μου πρόσωπον ὡς τάχος πέπλοις.
Θη. Ὦ κλείν' Ἀθηνῶν, Παλλάδος θ' ὁρίσματα,
Οἵου στερήσεσθ' ἀνδρός. ὦ τλήμων ἐγώ.
Ὡς πολλὰ Κύπρι σῶν κακῶν μεμνήσομαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Κοινὸν τόδ' ἄχος πᾶσι πολίταις
Ἦλθεν ἀέλπτως.
Πολλῶν δακρύων ἔσται πίτυλος.
„ Τῶν γὰρ μεγάλων ἀξιοπενθεῖς
„ Φῆμαι, μᾶλλον κατέχουσιν.

Εὐριπίδου Ἱππόλυτος Στεφανηφόρος.

ΥΠΟ-

Digitized by Google

The. Quid ais? dimittis me liberum a culpa necis?
Hipp. Teſtor Dianam ſagittis *feras* domantem.
The. O chariſſime quam generoſus es erga patrem.
Hipp. O pater vale, & tu vale plurimum.
The. Heu mentem tuam piam, & bonam.
Hipp. Opta te conſequi tales genuinos liberos.
The. Ne nunc deſeras me fili, ſed fortis ſis.
Hipp. Fortis iam fui. perii enim pater.
Tegito autem faciem meam quam celerrime peplis.
The. O celebres fines Athenarum, & Palladis,
Quali viro orbabimini, ô ego miſer.
Quam ſæpe ô Venus recordabor tua mala.

Chorus.

Communis hic luctus omnibus ciuibus
Venit præter ſpem.
Multarum lachrymarum erit impetus.
" Nam præſtantium *virorum* digni luctu, *triſtesq;*
" Rumores, *hominũ animos* magis occupant, *ac mouent.*

Finis Hippolyti Coronati.

Digitized by Google

ARGVMENTVM ALCESTIDIS.

Apollo petiit a Parcis, vt Admetus iam moriens, alium præberet, qui pro ipſo moreretur, vt ipſe iterum viueret tamdiu quam antea vixiſſet. Alceſtis autem coniux ſeipſam dedit illi periculo, neutro parente volente pro filio mori. Non multo poſt quam hic caſus accidit, Hercules interueniens cum a famulo quodam didiciſſet ea quæ acciderant, accedit ad ſepulchrum, & cogit mortem diſcedere, ſub veſte autem occultat mulierem: Admetum vero rogat, vt eam ad ſe recipiat & cuſtodiat. ſe enim dicebat cepiſſe eam præmium in pugna: non volente autem illo, retegens oſtendit ei quam lugebat.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Apollo.	*Alceſtis.*
Mors.	*Seruus.*
Chorus.	*Admetus.*
Semichorus.	*Eumelus.*
Ancilla	*Hercules.*
Alceſtidis.	*Pheres.*

Prologum autem agit Apollo.

EVRI-

ΥΠΟΘΕΣΙΣ
ΑΛΚΗΣΤΙΔΟΣ.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν μοιρῶν, ὅπως Ἄδμητος τελευτᾶν μέλλων, παράσχῃ τινὰ τὸν ὑπὲρ αὐτοῦ τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνῳ ζήσῃ. καὶ Ἄλκηστις ἡ γυνὴ ἐπέδωκεν ἑαυτὴν, μηδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ, τῆς συμφορᾶς ταύτης γενομένης, Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον. καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου, λαβόντα τηρεῖν. εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἀποκαλύψας, ἔδειξεν ἣν ἐπένθει.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ
πρόσωπα.

Ἀπόλλων.
Θάνατος.
Χορός.
Ἡμιχόριον.
Θεράπαινα
Ἀλκήστιδος.
Ἄλκηστις.
Θεράπων.
Ἄδμητος.
Εὔμηλος.
Ἡρακλῆς.
Φέρης.

Προλογίζει δὲ ὁ Ἀπόλλων.

ΕΥΡΙΠΙΔΟΥ

ΑΛΚΗΣΤΙΣ.

ΙΑΜΒΟΙ.

Ω Δώματ' ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
Θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος,
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα.
Οὗ δὴ χολωθεὶς, τέκτονας δίου πυρὸς
Κτείνω Κύκλωπας. καί με θητεύειν πατὴρ
Θνητῷ παρ' ἀνδρὶ τῷδ' ἄποιν' ἠνάγκασεν.
Ἐλθὼν δὲ γαῖαν τήνδ', ἐβουφόρβουν ξένῳ.
Καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας.
Ὁσίου γὰρ ἀνδρὸς, ὅσιος ὢν ἐτύγχανον,
Παιδὸς Φέρητος, ὃν θανεῖν ἐρρυσάμην,
Μοίρας δολώσας. ἤνεσαν δέ μοι θεαὶ,
Ἄδμητον ᾅδην τὸν παραυτίκ' ἐκφυγεῖν,
Ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
Πάντας δ' ἐλέγξας καὶ διεξελθὼν φίλους,
Πατέρα γεραιάν θ' ἥ σφ' ἔτικτε μητέρα,
Οὐχ εὗρε πλὴν γυναικὸς, ἥτις ἤθελε
Θανεῖν πρὸ κείνου, μηκέτ' εἰσορᾶν φάος.
Ἣ νῦν κατ' οἴκους ἐν χεροῖν βαστάζεται
Ψυχορραγοῦσα. τῇδε γὰρ σφ' ἐν ἡμέρᾳ
Θανεῖν πέπρωται, καὶ μεταστῆναι βίου.
Ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κιχῇ,
Λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.
Ἤδη δὲ τόνδε θάνατον εἰσορῶ πέλας,
Ἱερῆ θανόντων, ὅς νιν εἰς ᾅδου δόμους
Μέλλει κατάξειν. συμμέτρως δ' ἀφίκετο
Φρουρῶν τόδ' ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

ΑΝΑΠΑΙΣΤΟΙ.

Θά. Ἆ, ἆ, ἆ, ἆ.
Τί σὺ πρὸς μελάθροις;

Τί

EVRIPIDIS

ALCESTIS.

Apollo.

O Domus Admeti, in qua ſuſtinui ego
Seruilem menſam boni conſulere, quamuis
eſſem deus.
Iupiter enim interfecto filio meo, autor *fuit huius meæ*
Æſculapio, pectoribus immiſſo fulmine, [*ſeruitutis*,
Cuius *rei causâ* ego irat⁹, fabros dialis ignis, *i fulminis*,
Occidi Cyclopas: itaque me ſeruire pater
Mortalem apud virum horum pro multa coegit.
Cũ igitur veniſſem in hanc terrã, boues paui hoſpitis,
Et ſeruaui hanc domum vsq; in hunc diem.
Pii enim viri pia *domus* erat,
Admeti filii Pheretis, quem liberaui a morte,
Parcis deceptis. promiſerunt enim mihi deæ
Admetum præſentem mortem effugiturum eſſe,
Alio cadauere Inferis facta permutatione dato.
Cumque omnes exploraret, & circumiret amicos.
Patrem, & anum matrem, quæ ipſum peperit,
Neminem tamen inuenit præter cõiugem, quę vellet
Mori pro ipſo, & non amplius intueri hanc lucem,
Quæ nunc in ædibus manibus geſtatur,
Agens animam: eam enim in hoc die
Fatale eſt mori, & diſcedere ex vita.
Ego vero ne me piaculum in domo depræhendat,
Relinquam ædium hæc chariſſima tecta.
Iam enim hanc Mortem video prope *nos eſſe*,
Sacerdotem mortuorum, quę ipſam *Admeti coniugem*
ad Orci domos,
Eſt deductura: conuenienter autem aduenit,
Hunc diem obſeruans, quo fatale eſt eam mori.

Mors.

Ehem; ehem:
Quid tu ad ædes has?

Quid tu verſaris hic
Phœbe? rurſus iniuſte facis. inferorum honores
Carpens & minuens, *vel tollens*.
Non ſatis tibi fuit fatum Admeti
Impedire, Parcas doloſa
Decipienti techna? nunc vero quid hîc iterum
Manum arcu armatam ſeruas?
Profecto hoc promiſit, maritum liberatu-
ra ſe pro *eo* morituram, Peliæ filia.

Apollo.

Bono ſis animo. Ius enim & rationes bonas habeo.

M. Quid igitur arcu opus eſt, ſi iure agis?
Ap. Vſitatum eſt mihi ſemper hæc geſtare.
M. An vt etiam iniuſte his ædibus opituleris?
Ap. Angor enim calamitatibus amici viri.
M. Et defraudabis me etiam hoc altero mortuo?
Ap. At ne illum quidem per vim tibi abſtuli.
M. Quomodo igitur ſupra terram eſt, *ac viuit*, non autem
ſub terra *latet*?
Ap. Quia vxorē ꝑmutauit, ad quā abducēdā tu nūc venis.
M. Et quidem abducam ſub terram ad inferos.
Ap. Accipiens *eam* abi: neſcio. n. an tibi perſuadere poſſim.
M. Occidere videlicet illū quē oportet? ad hoc .n. inſtructi ſumus.
Ap. Non. ſed cunctantes *ſenes* interficere.
M. Habeo rationem, & ſtudium tuum.
Ap. Licetne igitur vt Alceſtis ad ſenectutem perueniat?
M. Non licet: me quoque honore delectari putes.
Ap. Certe non plus vna anima poteris auferre.
M. Quum iuuenes obeunt, maiorem conſequor gloriam.
Ap. Si vero anus moriatur, ſplendidius ſepelietur.
M. Vtilem diuitibus Phœbe legem ponis.
Ap. Quid dixiſti? an etiam per imprudentiam ſapiens es?
M. Redimerēt, quib facultas adeſt, vt ſenes morerentur.
Ap. An nō igitur placet tibi dare mihi hoc beneficium?
M. Non certe. noſti enim meos mores.
Ap. Infenſos hominibus, & diis inuiſos.
M. Nō poſſes omnia obtinere, quę nō conuenit te *habere*.
Ap. Certe tu miteſces, quanquam ſis valde crudelis,
Talis vir ad hanc Pheretis domum venit,
Miſſus ab Euryſtheo equeſtrem ad

Currum

Τί σὺ τῇδε πολεῖς,
Φοῖβ'; ἀδικεῖς αὖ, τιμὰς ἐνέρων
Ἀφοριζόμενος, καὶ καταπαύων.
Οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
Διακωλῦσαι, Μοίρας δολίῳ
Σφήλαντι τέχνῃ; νῦν δ' ἐπὶ τῇδ' αὖ
Χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
Ἣ τόδ' ὑπέστη, πόσιν ἐκλύσα-
σ' αὐτὴν προθανεῖν, Πελίου παῖς.

ΙΑΜΒΟΙ.

ἀπό. Θάρσει· δίκην τε, καὶ λόγους κεδνοὺς ἔχω.
θα. Τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;
ἀπό. Σύνηθες ἀεὶ ταῦτα βαστάζειν ἐμοί.
θα. Καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν;
ἀπό. Φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.
θα. Καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;
ἀπό. Ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.
θα. Πῶς οὖν ὑπὲρ γῆς ἐστι, κοὐ κάτω
χθονός;
ἀπό. Δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.
θα. Κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα;
ἀπό. Λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμί σε.
θα. Κτείνειν ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.
ἀπό. Οὔκ· ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.
θα. Ἔχω λόγον γε, καὶ προθυμίαν σέθεν.
ἀπό. Ἔστ' οὖν ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;
θα. Οὐκ ἔστι· τιμῆς κἀμὲ τέρπεσθαι δόκει.
ἀπό. Οὔτοι πλέον γ' ἄν, ἢ μίαν ψυχὴν λάβοις.
θα. Νέων φθινόντων, μεῖζον ἄρνυμαι κλέος.
ἀπό. Κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.
θα. Πρὸς τῶν ἐχόντων Φοῖβε τὸν νόμον τίθης.
ἀπό. Πῶς εἶπας; ἀλλ' ἦ καὶ σοφὸς λέληθας ὤν;
θα. Ὠνοῖντ' ἄν, οἷς πάρεστι, γηραιοὺς θανεῖν.
ἀπό. Οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;
θα. Οὐ δῆτ'. ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.
ἀπό. Ἐχθρούς γε θνητοῖς, καὶ θεοῖς στυγουμένους.
θα. Οὐκ ἂν δύναιο πάντ' ἔχειν, ἃ μή σε δεῖ.
ἀπό. Ἦ μὴν σὺ παύσει καίπερ ὠμὸς ὢν ἄγαν,
Τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνήρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μέτα

Ὄχημα Θρήκης ἐκ τόπων δυσχειμέρων.
Ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις,
Βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται.
Κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις,
Δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσῃ τ' ἐμοί.
Θα. Πόλλ' ἂν σὺ λέξας, οὐδὲν ἂν πλέον λάβοις.
Ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς ᾅδου δόμους.
Στείχω δ' ἐπ' αὐτὴν, ὡς κατάρξωμαι ξίφει.
Ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν,
Ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσει τρίχα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Τί ποτ' ἡσυχία πρόσθε μελάθρων;
Τί σεσίγηται δόμος Ἀδμήτου;
Ἡμι. Ἀλλ' οὐδὲ φίλων τις πέλας οὐδεὶς,
Ὅστις ἂν εἴποι, πότερον φθιμένην
Τὴν βασίλειαν χρὴ πενθεῖν, ἢ
Ζῶσ' ἔτι φῶς λεύσσει Πελίου παῖς,
Ἄλκηστις, ἐμοὶ πᾶσί τ' ἀρίστη
Δόξασα γυνὴ
Πόσιν εἰς αὑτῆς γεγενῆσθαι;
Ἡμι. Κλύει τις ἢ στεναγμὸν, ἢ χερῶν κτύπον,
Κατὰ στέγας, ἢ γόον, ὡς πεπραγμένων;
Ἡμι. Οὐ μὰν οὐδέ τις ἀμφιπόλων
Στατίζετ' ἀμφὶ πύλας.
Εἰ γὰρ μετακύμιος ἄτας,
Ἰὼ Παιὰν, φανείης.
Ἡμι. Οὔτ' ἂν φθιμένας γ' ἐσιώπων. οὐ
Γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων νέκυς.
Ἡμι. Πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;
Ἡμι. Πῶς ἂν ἔρημον τάφον Ἄδμητος
Κεδνῆς ἂν ἔπραξε γυναικός;
Ἡμι. Πυλῶν πάροιθεν δ' οὐχ ὁρῶ
Πηγαῖον ὡς νομίζεται
Γε χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
Χαίτα τ' οὔτις ἐπὶ προθύροις τομαί-
ας, ἃ δὴ νεκύων πένθεσι πιτνεῖ.
Οὐ δουπεῖ νεολαία γυναικῶν.
Ἡμι. Καὶ μὴν τόδε δὴ κύριον ἦμαρ.
Ὧι χρὴ σφε μολεῖν κατὰ γαίας.
Ἡμι. Καὶ τί τόδ' αὐδᾷς;

Currum *abducendum* Thraciæ ex locis frigidis.
Qui in his Admeti ædibus hoſpitio exceptus,
Per vim tibi hanc mulierem eripiet.
Nec vlla tibi a nobis erit gratia,
Et tamen hæc facies,& mihi eris inuiſus.

Mors Etiamſi tu multa dicas,nihil tamẽ plus obtinebis,
Hæc enim mulier deſcendet in Plutonis domos.
Accedo aũt ad eam,vt gladio ſacra auſpicer.
Iſte enim *eſt* ſacer diis inferis,
Cuius hic gladius luſtrarit capillum capitis.

Chorus.

Quodnam *eſt hoc* ſilentium ante atria?
Cur tacet domus Admeti?

Semichor⁹ An nullus amicorum prope eſt,
Qui dicat vtrum mortuam
Reginam lugere oporteat,an
Adhuc viuens lumen *ſolis* videat Peliæ filia
Alceſtis:quæ mihi quidem,& omnibus aliis optima
Mulier eſt viſa
Erga ſuum maritum fuiſſe?

Semi. Auditne aliquis vel eiulatum,vel manuum ſtrepitum
In ædibus,vel luctum,tanquam re confecta?

Semi. Imo vero ne vllus quidem ſeruorum
Stat ad portas.
Vtinam vero medius inter fluctus huius calamitatis,
O Pæan,ô *Apollo malorum auerruncator*, appareas.

Semi. Non tacerem, ſi eſſet mortua: non
Enim iam ex ædibus cadauer elatum euanuit.

Semi. Vnde *hoc coniicis?* nõ glorior.quid tibi animũ addit?

Semi. Quomodo ſolitarias exequias Admetus
Dilectæ coniugis peregiſſet?

Semi. Non enim video ante fores
Fontanam (vt receptum eſt moribus)
Aquã cadaueri lauãdo deſtinatã, ꝑ defunctorũ forib.
Comaque nulla ad veſtibulum ſe- [tuorum.
cta *eſt*, q̃ profecto accidunt, *fieriq; ſolent in* luctu mor-
Non lamentatur cœtus iuuenilis mulierum.

Semi. Atqui hæc eſt rata dies,
Qua fatale erat eam ſub terram ire, *i. mori.*

Semi. Quid vero hoc dixiſti?

Semi.

Semi. Attigiſti animum, attigiſti etiam mentem.
Cho. Decet, quando boni triſtantur,
Lugere, quisquis bonus exiſtimatur ab initio.

ANTISTROPHICA.

Strophe.

1 Verum neque claſſem,
2 Quocunque terrarum aliquis
3 Mittens, vel in Lyciam,
4 Vel ad ſiccas
5 Hammonis ſedes,
6 *Huius* miſeræ liberare poſſit
7 Animam. fatum enim crudele
8 Appropinquat. Deorum vero ad aras
9 Nullum amplius habeo
10 Sacerdotem, ad quem accedam.

Antiſtrophe.

1 Solus vero ſi in hac luce eſſet
2 Oculis videns, *i. viuens*,
3 Phœbi filius *Æſculapius*, relictis,
4 Rediret *Alceſtis*, tenebricoſis ſedibus,
5 Et portis Plutonis.
6 Mortuos enim *Æſculapius* reſuſcitabat,
7 Priusquam eum interfecit a Ioue vibratum
8 Telum ignis fulminei.
9 Nunc vero quam vitæ
10 Spem arripiam?

Omnia enim nunc tentata ſunt regibus,
Ad omnes enim aras deorum
Cruenta ſacrificia abundant:
Et tamen horum malorum nullum eſt remedium.

Sed ecce quædam famularum ex ædibus egreditur
Lachrymans: quam *nouam* fortunam audiam?
„ Lugere quidem, ſi quid heris accidit,
„ Veniam meretur. vtrum autem adhuc ſit viua mulier,
An vero perierit. ſcire vellemus.
Anc. Et viuam dicere, & mortuam licet tibi.
Cho. Quomodo aũt idẽ poteſt mortuus eſſe, & viuere?
Anc. Iam *morti* eſt vicina, & agit animam.

ἡμι. Ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.
χο. Χρὴ τῶν ἀγαθῶν διακναιομένων,
Πενθεῖν, ὅστις χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

1 Ἀλλ' οὐδὲ ναυκληρίαν
2 Ἔσθ' ὅποι τις αἴας
3 Στείλας, ἢ Λυκίας,
4 Εἴτ' ἐπὶ τὰς ἀνύδρους
5 Ἀμμωνιάδας ἕδρας,
6 Δυστάνου παραλῦσαι
7 Ψυχάν. μόρος γὰρ ἄποτμος
8 Πλάθει, θεῶν δ' ἐπ' ἐσχάραις
9 Οὐκ ἔχω ἐπὶ τίνα
10 Μηλοθύταν πορευθῶ.

Ἀντιστροφή.

1 Μόνος δ' ἂν εἰ φῶς τόδ' ἦν
2 Ὄμμασι δεδορκὼς
3 Φοίβου παῖς, προλιποῦσ-
4 σ' ἦλθεν ἕδρας σκοτίους,
5 Ἅιδα τε πύλας·
6 Δμαθέντας γὰρ ἀνίστη,
7 Πρὶν αὐτὸν εἷλε διόβολον
8 Πλῆκτρον πυρὸς κεραυνίου.
9 Νῦν δὲ τίν' ἔτι βίου
10 Ἐλπίδα προσδέχωμαι;

ΑΝΑΠΑΙΣΤΟΙ.

Πάντα γὰρ ἤδη τετέλεσται βασιλεῦσι,
Πάντων δὲ θεῶν ἐπὶ βωμοῖς
Αἱμόρραντοι θυσίαι πλήρεις,
Οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.

ΙΑΜΒΟΙ.

Ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
Δακρυρροοῦσα. τίνα τύχην ἀκούσομαι,
ἡμ. Πενθεῖν μὲν, εἴ τι δεσπόταισι τυγχάνει,
ἡμ. Συγγνωστόν. εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ,
Εἴτ' οὖν ὄλωλεν, εἰδέναι βουλοίμεθ' ἄν.
θε. Καὶ ζῶσαν εἰπεῖν, καὶ θανοῦσαν ἔστι σοι.
χο. Καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε, καὶ βλέποι;
θε. Ἤδη προνωπής ἐστι, καὶ ψυχορραγεῖ.

ΧΟ.

χο. Ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.
θε. Οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.
χο. Ἐλπὶς μὲν οὐκ ἔτ' ἐστὶ σώζεσθαι βίον;
θε. Πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
χο. Οὔκουν ἐπ' αὐτοῖς πράσσεται τὰ πρόσφορα;
θε. Κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.
χο. Ἴστω νυν εὐκλεής γε κατθανουμένη,
Γυνή γ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.
θε. Πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
Τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
Γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
Πόσιν προτιμῶσ', ἢ θέλουσ' ὑπερθανεῖν,
Καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις.
Ἃ δ' ἐν δόμοις ἔδρασε, θαυμάσῃ κλύων.
Ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
Ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
Ἐλούσατ'. ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων
Ἐσθῆτα, κόσμον τ', εὐπρεπῶς ἠσκήσατο.
Καὶ στᾶσα πρόσθεν ἑστίας, κατηύξατο.
Δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός,
Πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι,
Τέκν' ὀρφανεῦσαι τἀμά. καὶ τῷ μὲν, φίλην
Σύζευξον ἄλοχον, τῇ δὲ, γενναῖον πόσιν.
Μηδ' ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι,
Θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
Ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
Πάντας δὲ βωμοὺς, οἳ κατ' Ἀδμήτου δόμους,
Προσῆλθε, κἀξέστεψε, καὶ προσηύξατο,
Πτόρθων ἀποσχίζουσα μυρσίνων φόβην,
Ἄκλαυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
Κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
Κἄπειτα θάλαμον εἰσπεσοῦσα, καὶ λέχος.
Ἐνταῦθα δὴ δάκρυσεν, κἄλεγε τάδε.
Ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
Κορεύματ' ἐκ τοῦδ' ἀνδρὸς, οὗ θνήσκω πέρι,
Χαῖρ'. οὐ γὰρ ἐχθαίρω σ'. ἀπώλεσας δέ με
Μόνην. προδοῦναι γάρ σ' ὀκνοῦσα, καὶ πόσιν,
Θνήσκω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
Κυνεῖ δὲ προσπίτνουσα. πᾶν δὲ δέμνιον

Ὀφθαλ-

Digitized by Google

Cho. O miſer quali qualis exiſtens *vxore* priuaris.
Anc. Nondum hoc ſcit dominus priusquam acciderit.
Cho. Nulla ſpes igitur ſeruandæ vitæ ſupereſt?
Anc. Fatalis enim dies violenter accedit.
Cho. Num igitur fiunt conuenientia vt in tali re?
Anc. Ornatus eſt paratus, quo eam ſepeliet maritus.
Cho. Scito nunc *ille* quod glorioſe morietur,
Longe optima mulier omnium, quæ ſub ſole ſunt.
Anc. Quomodo vero non optima? quis. n. contradicet?
Quid conuenit aliud facere præſtantiſſimam
Mulierẽ? quomodo .n. magis oſtenderet vlla *cõiux alia*
Se magni facere maritum, quam ſi velit pro *eo* mori?
Et hæc quidem vniuerſa ciuitas nouit.
At quæ domi egit, miraberis audiens.
Poſtquam enim ſenſit fatalem diem
Adeſſe, fluuiali aqua candidum corpus
Lauit, & accipiens ex cedrinis arcis
Veſtem, & ornamenta, decore ſe ornauit,
Et ſtans ante aras precabatur:
O domina, ego enim ad inferos eo,
Poſtremum te adorans, petam, [quidẽ *illorũ*, charam
Vt pupillorũ meorũ liberorũ tutelã ſuſcipias, & alteri
Iungas coniugem, alteri vero generoſum maritum.
Neq;, quemadmodũ *ipſorũ* parẽs perit, *ſic etiã* ipſorum
Moriantur immatura morte liberi: ſed felices
In ſolo patrio iucundam vitam impleant.
Ad omnes porro aras, quę erant in ædibus Admeti,
Acceſſit, illasque coronauit, & precata eſt,
Auellens a myrti ramis comã, *i. frondes myrteas decer-*
Sine eiulatu, ſine gemitu: neq; venturum *pens,*
Malum mutabat florentem colorem cutis.
Deinde vero irruens in thalamum, & in lectum,
Ibi tunc lachrymari cœpit, & dixit hæc:
O lecte, in quo virgineam ſolui ego
Puellæ zonam cum hoc viro, pro quo *iam* morior,
Vale: non enim te odi. perdidiſti tamen me
Solam. Verita enim te prodere, & maritum,
Morior: alia vero aliqua mulier te poſſidebit,
Non quidem caſtior, ſed fortaſſe felicior.
Oſculabatur autem *eum* aduoluta. totus vero lectus

Ex

Ex oculis manante rigabatur proluuie.
Poſtq̃ aũt multarũ lachrymarũ habuit ſatietatẽ.*i. la-*
Procedit extra thalamũ, diſcedẽs a lecto: [*chr. ſatiatus,*
Et ſępe egreſſa ex thalamo, *eodem ſæpe* rediit,
Et abiecit ſe in lectum iterum atque iterum.
Liberi vero a matris veſte pendentes
Plorabant: illa vero ſuſcipiens in vlnas,
Salutabat alias alium tanquam iam moritura.
Omnes autem famuli in ædibus plorabant,
Dominam miſerantes: illa vero dextram
Porrigebat ſingulis, & nullus erat tam vilis,
Quem nõ alloqueretur, & cõpellaretur ab eo viciſſim.
Hæc mala ſunt in ædibus Admeti. [rit,
Et mortuus quidẽ periiſſet. nũc vero eũ *mortẽ* effuge-
Tamen tantũ dolorẽ habet, cuius nũquã obliuiſcetur.

Cho. Certe *vexatus* his malis gemet Admetus,
Siquidem eum oportet priuari bona coniuge.

Anc. Iam plorat, in manibus habens charam coniugem,
Et precatur eam, ne ſe deſerat: impoſſibilia
Quærens. conſumitur enim, & contabeſcit morbo,
Iam enim ſolutæ ſunt miſeræ vires manuum:
Tamen, quamuis paululum adhuc ſpirans,
Vult ſuffurari ſplendidum lumen ſolis.
Quod nunquam rurſus: at nunc poſtremum
Radios, globumque ſolis ſit viſura.
Sed abibo, & tuam nunciabo præſentiam.
„ Non enim omnes *famuli* bene volunt dominis,
„ Vt beneuoli accedant in malis.
Tu vero es vetus amicus dominis meis.

MONOSTROPHICA.

Cho. O Iupiter. quis tandem exeundi modus ex malis
Erit, & finis fortunæ,
Quæ *noſtris* adeſt dominis?
Egreditur aliquis: an radam comam?
An atrum cultum veſtium
Induemus iam?

Anc. Manifeſta quidem, manifeſta certe *res eſt*, ô amici: ſed
Deos precabimur. Deorum [tamen
„ Enim *eſt* potentia maxima.
O rex Apollo,

Inue-

Ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
Ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
Στείχει προνωπὴς, ἐκπεσοῦσα δεμνίων.
Καὶ πολλὰ θαλάμων ἐξιοῦσ' ἐπεστράφη,
Κἄῤῥιψεν αὐτὴν αὖθις ἐς κοίτην πάλιν.
Παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι,
Ἔκλαιον. ἡ δὲ λαμβάνουσ' ἐν ἀγκάλαις,
Ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
Πάντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας,
Δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
Προὔτεινεν ἑκάστῳ. κοὔτις ἦν οὕτω κακὸς,
Ὃν οὐ προσεῖπε, καὶ προσεῤῥήθη πάλιν.
Τοιαῦτ' ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
Καὶ κατθανὼν γ' ἂν ὤλετ' ἐκφυγὼν δ' ἔχει
Τοσοῦτον ἄλγος, οὔ ποτ' ἐκλελήσεται.
Χο. Ἦπου στενάζει τοῖσιν Ἄδμητος κακοῖς,
Ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή.
Θε. Κλαίει γ' ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
Καὶ μὴ προδοῦναι λίσσεται, τ' ἀμήχανα
Ζητῶν. φθίνει γὰρ, καὶ μαραίνεται νόσῳ.
Παρειμένη δὲ χειρὸς ἄθλιον βάρος,
Ὅμως δὲ, καίπερ σμικρὸν ἐμπνέουσ' ἔτι,
Κλέψαι προσαυγὰς βούλεται τὰς ἡλίου,]
Ὡς οὔ ποτ' αὖθις, ἀλλ' ἐνῦν πανύστατον
Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψεται.
Ἀλλ' εἶμι, καὶ σὴν ἀγγελῶ παρουσίαν.
„ Οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
„ Ὥστ' ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι.
Σὺ δ' εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἰὼ Ζεῦ. τίς ἂν πῶς πόρος κακῶν
Γένοιτο, καὶ λύσις τύχας,
Ἃ πάρεστι κοιράνοις;
Ἔξεισί τις, ἢ τέμω τρίχα,
Καὶ μέλανα στολμὸν πέπλων
Ἀμφιβαλώμεθ' ἤδη;
Θε. Δῆλα μὲν φίλοι, δῆλά γ'. ἀλλ' ὅμως
Θεοῖσιν εὐχώμεσθα. θεῶν
„ Γὰρ ἁ δύναμις μεγίστη.
Ὦ 'ναξ Παιάν,

Ἐξευ-

Ἔξευρε μηχανάν τιν' Ἀδμήτῳ κακῶν.
Πόριζε δὴ, πόριζε.
Καὶ πάρος γὰρ τῷδ' ἐφηῦρες,
Καὶ νῦν λυτήριος ἐκ θανάτου γενοῦ,
Φόνιόν τ' ἀπόπαυσον ἀΐδαν.

χο. Παῖ, παῖ. φεῦ, φεῦ. Ἰὼ, ἰώ. παῖ φέρητος,
Οἷ' ἔπραξας δάμαρτος σᾶς στερηθείς.
Αἶ, αἶ. ἄξια καὶ σφαγᾶς τάδε,
Καὶ πλέον ἢ βρόχῳ δέρην
Οὐρανίῳ πελάσσαι.
Τὰν γὰρ οὐ φίλαν,
Ἀλλὰ φιλτάταν γυναῖκα,
Κατθανοῦσαν ἐν ἤματι τῷδε γ' ὄψει.
Ἢ δ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
Στέναξον, ὦ βόησον, ὦ Φεραία χθὼν,
Τὰν ἀρίσταν γυναῖκα μαραινομέναν
Νόσῳ κατὰ γᾶν, χθόνιον παρ' ἅδαν.
Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον, ἢ λυπεῖν,
Τοῖς τε πάροιθεν τεκμαιρόμενος,
Καὶ τάσδε τύχας λεύσσων βασιλέως.
Ὃς ἀρίστης ἀμπλακὼν ἀλόχου
Τῆσδ', ἀβίωτον τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

ἀλ. Ἅλιε, καὶ φάος ἡμέρας,
Οὐράνιαί τε δῖναι νεφέλας δρομαίου.

ἀδ. Ὁρᾷ σὲ, κἀμὲ, δύο κακῶς πεπραγότας.
Οὐδὲν θεοὺς δράσαντας, ἀνθ' ὅτου θανῇ.

Στροφὴ β'.

ἀλ. Γαῖά τε, καὶ μελάθρων στέγαι,
Νυμφίδιαί τε κοῖται
Πατρίας Ἰωλκοῦ.

ἀδ. Ἔπαιρε σαυτὴν ὦ τάλαινα, μὴ προδῷς,
Λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

Στροφὴ γ'.

Ὁρῶ δίκωπον, ὁρῶ σκάφος.
Νεκύων δὲ πορθμεὺς ἔχων χέρ' ἐπὶ κοντῷ,
Χάρων μ' ἤδη καλεῖ. τί μέλλεις;
Ἐπείγου. σὺ κατείργεις, τάδ' ἕτοιμα.
Σπερχόμενος ταχύνει.

ἀδ.

Inuenias aliquã Admeto malorũ vitandorũ rationẽ.
Largire iam, largire *eam*:
Nam & ante inueniſti opem aduerſus mala huius:
Nunc quoque fias liberator ex morte,
Mortiferumque profliga Plutonem.
Cho. Fili, fili. heu, heu. io, io. fili Pheretis,
Qđ o rem geris, *quam affligeris*, vxore tua priuatus.
Heu, heu. digna & hæc *ſunt* cæde, *qua te cædas*.
Et plus *eſt* quam laqueo collum
Sublimi admouere.
Non tantum enim charam,
Sed *etiam* chariſſimam coniugem
Iſto die mortuam videbis.
Sed hæc ex ædibus iam, & maritus egreditur.
Geme, ô vociferare, ô Phetæa tellus,
Quia optima mulier contabeſcit
Morbo ſub terra, infernum apud Plutonem.
„ Nunquã affirmabo nuptias plus habere voluptatis, q̃ doloris,
Coniecturã faciens & ex iis, q̃ antea *vidi*,
Et hanc regis *Admeti* fortunam videns:
Qui amiſſa optima coniuge
Hac, viuet poſthac miſeram vitam.

ANOMOEOSTROPHA.

Strophe I.

Al. O ſol & lumen diei,
Et cæleſtes turbines nubium volitantium.
Ad. Videt te & me ambos calamitoſos,
Nihil in deos peccantes, pro quo moriaris.

Strophe II.

Al. O terra, & atriorum tecta,
Nuptialeſque thalami,
Patriæ Iolci.
Ad. Erige te ipſam ô miſera, ne *me* prodas,
Et precare deos *rerum* dominos, vt tui miſereantur.

Strophe III.

Al. Video biremem, video ſcapham,
Mortuorum autẽ portitor habens manũ ad contum,
Charon me iam vocat. quid cunctaris?
Feſtina, tu remoraris, cætera parata ſunt.
Feſtinans *Charon me nunc* accelerat.

Ad. Heu mihi, acerbam hanc mihi nauigationem
Dixiſti: ô miſera, quam acerbe affligimur.

Strophe IIII.

Al. Abducit me, abducit me quis, non vides,
In aulam mortuorum, ex cæruleis ſuperciliis
Toruum tuens alatus Pluto?
Quid agis? dimitte, qualem viam ego miſerrima ingredior.
Ad. Calamitoſam amicis, poſtea vero mihi maxime,
Et liberis, quibus hic luctus communis *eſt.*

Strophe V.

Ad. Dimittite, dimittite me iam.
Inclinate me, non valeo
Pedibus, prope mors *adeſt.*
Tenebricoſa verò nox ad oculos ſerpit.
O liberi, liberi, non amplius iam,
Non amplius iam veſtra mater ſupereſt,
Læti, ô filii, hoc lumen intueamini.
Ad. Heu mihi, audio hunc triſtem ſermonem,
Et qualibet morte mihi maiorem, *i. grauiorem.*
Per deos rogo ne velis me deſerere.
Sed animum recipe:
Te enim mortua ego non amplius ero.
Penes enim te eſt vt viuam, vel non viuam:
Tuam enim amicitiam colimus.

Alceſtis.

Admete (vides .n. quomodo ſe res meæ habent.)
Dicere cupio tibi priuſquam moriar, quæ volo.
Ego te honore afficiens, & pro mea
Vita conſtituens te vt lucem hanc aſpicias, *i. vt viuas,*
Morior *nunc* pro te: cum liceret mihi non mori,
Sed habere virum Theſſalum, quemcunq; vellem,
Et habitare domum beatam regno.
Non volui *tamen* viuere a te auulſa
Cum liberis orbis patre, nec peperci mihi,
Auroræ habens dona, quibus oblectarer.
Atqui pater tuus, & mater *te* prodiderunt,
Cum tamen deceret ipſos honeſte mori *pro filii* vita,
Honeſte etiam ſeruare filium, & glorioſe mori.
Solus enim ipſis eras, nec vlla ſpes erat,

Ἀδ. Οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
Ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν.

Στροφὴ δ'.

Ἀλ. Ἄγει μ'. ἄγει μέ τις, οὐχ ὁρᾷς,
Νεκύων ἐς αὐλὰν, ὑπ' ὀφρύσι κυαναυ-
γέσι βλέπων πτερωτὸς ᾅδας;
Τί ῥέξεις; ἄφες. οἵαν ὁδὸν ἁ δει-
λαιοτάτα προβαίνω.

Ἀδ. Οἰκτρὰν φίλοισιν. ἐκ δὲ τῶνδε, μάλιστ' ἐμοὶ,
Καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

Στροφὴ ε'.

Ἀλ. Μέθετε. μέθετέ μ' ἤδη.
Κλίνατέ μ', οὐ σθένω
Ποσὶ, πλησίον ᾅδας.
Σκοτία δ' ἐπ' ὄσσοισι νὺξ ἐφέρπει.
Τέκνα, τέκν', οὐκ ἔτι δὴ,
Οὐκ ἔτι δὴ μάτηρ σφῷν ἐστιν,
Χαίροντες ὦ τέκνα, τόδε φάος ὁρᾶτον.

Ἀδ. Ὤμοι. τόδ' ἔπος λυπρὸν ἀκούω,
Καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
Μὴ πρὸς τῶν θεῶν τλῇς με προδοῦναι,
Ἀλλ' ἀνάσθητι.
Σοῦ γὰρ φθιμένης, οὐκ ἔτ' ἂν εἴην.
Ἐν σοὶ δ' ἐσμὲν καὶ ζῆν, καὶ μή.
Σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΙΑΜΒΟΙ.

Ἀλ. Ἄδμηθ', ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει,
Λέξαι θέλω σοι πρὶν θανεῖν, ἃ βούλομαι.
Ἐγώ σε πρεσβεύουσα, κἀντὶ τῆς ἐμῆς
Ψυχῆς καταστήσασα φῶς τόδ' εἰσορᾷν,
Θνήσκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ σέθεν,
Ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν ὃν ἤθελον,
Καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
Οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
Σὺν παισὶν ὀρφανοῖσιν. οὐδ' ἐφεισάμην,
Ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.
Καίτοι σ' ὁ φύσας, χ' ἡ τεκοῦσα προύδοσαν,
Καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
Καλῶς δὲ σῶσαι παῖδα, κεὐκλεῶς θανεῖν.
Μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν,

Σοῦ κατθανόντος, ἀλλὰ φυτεῦσαι τέκνα.
Κἀγώ τ' ἂν ἔζων, καὶ σὺ τὸν λοιπὸν χρόνον,
Κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες,
Καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
Θεῶν τις ἐξέπραξεν, ὥσθ' οὕτως ἔχειν.
Εἶεν. σὺ δ' ἡμῖν τῶνδ' ἀπομνησαι χάριν,
Αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε.
,, Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.
Δίκαια δ', ὡς φήσεις σύ. τούσδε γὰρ φιλεῖς
Οὐχ ἧσσον, ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς.
Τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
Καὶ μὴ 'πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
Ἥτις κακίων οὖσ' ἐμοῦ γυνὴ, φθόνῳ
Τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
Μὴ δῆτα δράσῃς ταῦτά γ' αἰτοῦμαί σ' ἐγώ.
,, Ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
,, Τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
Καὶ παῖς μὲν ἄρσην, πατέρ' ἔχει πύργον μέγαν.
Ὃν καὶ προσεῖπε, καὶ προσερρήθη πάλιν.
Σὺ δ' ὦ τέκνον μοι, πῶς κορευθήσῃ καλῶς;
Ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρὶ,
Μή σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα,
Ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους;
Οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ,
Οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
,, Παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
Δεῖ γὰρ θανεῖν με. καὶ τόδ' οὐκ εἰς αὔριον.
Οὐδ' ἐς τρίτην μοι μηνὸς ἔρχεται κακὸν,
Ἀλλ' αὐτίκ' ἐν τοῖς οὐκ ἔτ' οὖσι λέξομαι.
Χαίροντες, εὐφραίνοισθε. καὶ σοὶ μὲν πόσι,
Γυναῖκ' ἀρίστην ἔστι κομπάσαι λαβεῖν,
Ὑμῖν δὲ παῖδες μητρὸς ἐκπεφυκέναι.
χο. Θάρσει πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι.
Δράσει τάδ', ἤνπερ μὴ φρενῶν ἁμαρτάνῃ.
ἀδ. Ἔσται τάδ', ἔσται, μὴ τρέσῃς. ἐπεί σ' ἐγὼ
Καὶ ζῶσαν εἶχον, καὶ θανοῦσ' ἐμὴ γυνὴ
Μόνη κεκλήσῃ, κοὔτις ἀντὶ σοῦ ποτε

Te mortuo ipſos genituros aliam ſobolem.
Et ego vixiſſem,& tu reliquum tempus,
Nec tu orbatus tua coniuge gemeres,
Neque liberos orbos educares. Verùm hæc quidem
Deorum aliquis effecit vt ita haberent.
Sed ſit ita. Tu vero nobis hanc *tanti beneficii* memor redde gratiam.
Nunquam enim a te dignam poſtulabo.
,, (Nam nihil eſt vita precioſius.)
Iuſtam tamen, vt ipſe dices (hos enim amas
Non minus quam ego, liberos, ſiquidem ſapis)
Hos patere dominos meæ domus *eſſe*.
Et non ſuperinducas nouercam his liberis.
Quæ cum me deterior ſit mulier, ex inuidia
Meis & tuis liberis manus iniiciet.
Ne facias igitur hæc, abs te peto.
,, Nouerca enim *vxori* ſuccedens, liberis *eſt* inimica
,, Prioribus, nihiloque mitior quam vipera.
Et filius quidem maſculus, patrem habet magnum propugnaculum,
Quẽ iam affatus eſt, & *a quo* compellatus eſt viciſſim.
Tu vero ô filia mea, quomodo virginitatis annos trã-ſiges honeſte?
Qualem nacta coniugem tui patris,
Ne tibi aliquam turpem imponens famam,
In ipſo pubertatis flore corrumpat tuas nuptias?
Non enim mater te vnquam nuptui dabit,
Nec in partu tuo *te* confirmabit animũ addens, ô filia,
,, Præſens, vbi nihil *eſt* matre beneuolentius.
Oportet enim me mori, & hoc non in craſtinum,
Neque in tertium menſis *diem* mihi differtur, malum:
Sed ſtatim dicar eſſe inter mortuos.
Valete hilares. & tibi quidem marite
Licet gloriari, te habuiſſe optimam coniugem:
Vobis vero liberi vos eſſe matre natos optima.

Cho. Bono ſis animo. pro hoc enim dicere non vereor:
Faciet hęc, ſi modo de ſano mẽtis ſtatu nõ deturbetur.

Ad. Fient hæc, fient, ne metuas. poſtquam *enim* ego te
Viuentem habui, & mortua mea coniunx
Sola vocaberis, & nulla pro te

Sponſa Theſſala me compellabit virum ſuum.
Nulla eſt tam nobili patre nata.
Nulla quamuis alioqui formā ſit decentiſſimā mulier.
Satis enim liberorū habeo, horumque fruitionē precor
Deos mihi cótingere: te enim nó amplius fruimur.
Feram autem luctum non tantum huius anni,
Sed donec vita mea durauerit ô coniunx,
Odio quidē habēs matrē, q̄ me peperit, odio etiā proſe-
Patrē. nomine enim erant amici, nō re. [quēs meum
Tu vero dans ea, qua habuiſti chariſſima pro mea
Vita, ſeruaſti me: Annon igitur mihi gemere adeſt,
Amittenti te talem coniugem?
Omittam vero conuiuia, & conuiuarum ſodalicia,
Et coronas, & cātilenas, quę antea occupauerūt meam
Nō n. vnquā amplius attingā barbitū, [domū:
Neque animum impellam canere ad Libycam
Tibiam: tu enim eripuiſti mihi oēm oblectationē vitæ.
Solerti vero manu artificum corpus tuum
Effictum, in lecto collocabitur:
Apud quod iacebo, idq; complectens manibus,
Vocans tuum nomen, charam in vlnis
Videbor habere coniugem, quamuis non habeam.
Frigidam quidem opinor oblectationē, ſed tamē onus
Animæ exhauriam, ac leuabo. in ſomnis vero
Occurrens oblectabis me. Gratū enim eſt amicum
Etiam noctu videre, quocunque venerit tempore.
Si vero mihi Orphei adeſſet lingua, & carmen,
Vt filiam Cereris, aut eius maritum
Demulcens carmine, ab inferis reducere te coniugem,
Deſcenderem. nec me Plutonis canis,
Neque deductor animarū Charon nauta, qui ad remū
Retinerent, priusquā te in vitam reducerem. [ſedet,
Verum illic me expecta dum moriar,
Præparaque domicilium, vt mecum habitatura.
Mandabo enim vt in iiſdem cedrinis arcis mea
Tecū hęc ponant latera, et vt ea extendant prope
Latera tua. vtinam enim ne mortuus quidē vnquam
A te ſeiunctus ſim. quæ ſola mihi fuiſti fida.
Cho. Et ego ſane hunc luctum, vt amicus cum amico,
Triſtem huius vnà feram. ipſa enim eſt digna.

Τόνδ' ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται.
Οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς,
Οὔτ' εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
Ἅλις δὲ παίδων, τῶνδ' ὄνησιν εὔχομαι
Θεοῖς γενέσθαι. σοῦ γὰρ οὐκ ὠνήμεθα.
Οἴσω δὲ πένθος οὐκ ἐτήσιον τόδε,
Ἀλλ' ἔστ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ γύναι,
Στυγῶν μὲν ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν
Πατέρα. λόγῳ γὰρ ἦσαν, οὐκ ἔργῳ φίλοι.
Σὺ δ' ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
Ψυχῆς, ἔσωσας. ἆρά μοι στένειν πάρα,
Τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;
Παύσω δὲ κώμους, συμποτῶν θ' ὁμιλίας,
Στεφάνους τε, μοῦσάν θ', ἣ κατεῖχ' ἐμοὺς δόμους.
Οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι,
Οὔτ' ἂν φρέν' ἐξαίροιμι πρὸς λίβυν λακεῖν
Αὐλόν. σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
Σοφῇ δὲ χειρὶ τεκτόνων, δέμας τὸ σὸν
Εἰκασθὲν, ἐν λέκτροισιν ἐκταθήσεται,
Ὧι προσπεσοῦμαι, καὶ περιπτύσσων χέρας,
Ὄνομα καλῶν σὸν, τὴν φίλην ἐν ἀγκάλαις
Δόξω γυναῖκα, καίπερ οὐκ ἔχων, ἔχειν.
Ψυχρὰν μὲν οἶμαι τέρψιν. ἀλλ' ὅμως βάρος
Ψυχῆς ἀπαντλοίην ἄν. ἐν δ' ὀνείρασι
» Φοιτῶσά μ' εὐφραίνοις ἄν. Ἡδὺ γὰρ φίλον
» Κἂν νυκτὶ λεύσσειν, ὅν τιν' ἂν παρῇ χρόνον.
Εἰ δ' Ὀρφέως μοι γλῶττα καὶ μέλος παρῆν,
Ὥς τὴν κόρην Δήμητρος, ἢ κείνης πόσιν
Ὕμνοισι κηλήσαντά σ' ἐξ ᾅδου λαβεῖν,
Κατῆλθον ἄν. καί μ' οὔθ' ὁ Πλούτωνος κύων,
Οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
Ἔσχον, πρὶν εἰς φῶς σὸν καταστῆσαι βίον.
Ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ' ὅταν θάνω,
Καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
Ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
Σοὶ, τούσδε θεῖναι πλευράς, ἐκτεῖναι πέλας
Πλευροῖσι τοῖς σοῖς. μὴ δὲ γὰρ θανών ποτε
Σοῦ χωρὶς εἴην, τῆς μόνης πιστῆς ἐμοί.
ΧΟ. Καὶ μὴν ἐγώ σοι πένθος, ὡς φίλος φίλῳ,
Λυπρὸν συνοίσω τῆσδε. καὶ γὰρ ἀξία.

ἄλ. Ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
Πατρὸς λέγοντος, μὴ γαμεῖν ἄλλην ποτὲ
Γυναῖκ' ἐφ' ὑμῖν, μηδ' ἀτιμάσειν ἐμέ.
ἄδ. Καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.
ἄλ. Ἐπὶ τοῖσδε, παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.
ἄδ. Δέχομαι φίλον γε δῶρον ἐκ φίλης χερός.
ἄλ. Σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
ἄδ. Πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
ἄλ. Ὦ τέκν', ὅτε ζῆν μ' ἐχρῆν, ἀπέρχομαι κάτω.
ἄδ. Οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;
ἄλ. Χρόνος μαλάξει σ'. οὐδέν ἐσθ' ὁ κατθανών.
ἄδ. Ἄγου με σὺν σοὶ πρὸς θεῶν, ἄγου κάτω.
ἄλ. Ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
ἄδ. Ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς.
ἄλ. Καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
ἄδ. Ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις γύναι.
ἄλ. Ὡς οὐκ ἔτ' οὖσαν, οὐδὲν ἂν λέγοις ἐμέ.
ἄδ. Ὄρθου πρόσωπον, μὴ λίπης παῖδας σέθεν.
ἄλ. Οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαίρετε τέκνα.
ἄδ. Βλέψον πρὸς αὐτούς, βλέψον. Αλ. οὐδέν εἰμ' ἔτι.
ἄδ. Τί δρᾷς; προλείπεις; Αλ. χαῖρ'. Αδ. ἀπωλόμην τάλας.
χο. Βέβηκεν, οὐκ ἔτ' ἐστὶν Ἀδμήτου γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

εὐ. 1 Ἰώ μοι τύχας, μαῖα δὴ κάτω
2 Βέβηκεν. οὐκ ἔτ' ἐστίν, ὦ
3 Πάτερ, ὑφ' ἁλίῳ,
4 Προλιποῦσα δ' ἀμὸν βίον,
5 Ὠρφάνισε τλάμων.
6 Ἴδε γὰρ ἴδε βλέφαρον, καὶ
7 Παρατόνους χέρας.
8 Ὑπάκουσον, ἄκουσον ὦ
9 Μᾶτερ, ἀντιάζω,
10 Ἐγώ σ' ἐγὼ μᾶτερ νῦν γε καλοῦμαι,
11 Ὁ σὸς ποτὶ σοῖσι προσπίτνων στόμασι νεοσσός.
ἄδ. Τὴν οὐ κλύουσαν, οὐδ' ὁρῶσαν. ὥστ' ἐγὼ,
Καὶ σφὼ, βαρείᾳ συμφορᾷ πεπλήγμεθα.

Ἀντιστροφή.

εὐ. 1 Νέος ἐγὼ πάτερ λείπομαι φίλας
2 Μονόστολός τε ματρός. ὦ

Digitized by Google

Al. O liberi vos iam audiuiſtis hæc
Patrem dicentem, ſe nullam aliam ducturũ vnquam
Vxorem in veſtrum damnum, neq; me necglecturum.
Ad. Et nunc affirmo *eadem*, & faciam hæc.
Al. Hac conditione accipe liberos ex manibus meis.
Ad. Accipio gratum certe munus ex amica manu.
Al. Tu nunc ſis iſtis mater pro me liberis.
Ad. Ingens certe neceſſitas orbatis te *matrem eſſe me coget.*
Al. O liberi cũ viuere me decebat, ad inferos eo, *i. morior.*
Ad. Hei mihi quid igitur faciam te orbatus?
Al. Tempus minuet tibi luctum: mortuus nihil eſt.
Ad. Duc me tecum per deos oro, duc ad inferos.
Al. Satis eſt me mori pro te.
Ad. O fatum, quali coniuge me priuas?
Al. Atqui tenebricoſi mei grauantur oculi.
Ad. Perii igitur, ſi me iam reliqueris mulier.
Al. Vt eam, quæ nihil amplius ſum, nihil me dixeris *eſſe.*
Ad. Erige faciem, ne relinquas tuos liberos.
Al. Non quidem volens *deſero*: ſed valeant liberi.
Ad. Intuere eos, intuere. *Al.* Nihil amplius ſum.
Ad. Quid agis? deſeris *nos?* *Al.* Vale. *Ad.* Perii miſer,
Cho. Exceſſit, non amplius eſt Admeti couiunx,

ANTISTROPHICA.

Strophe.

Eu. 1 Hei mihi propter calamitatem. mater iam ad inferos
2 Abiit. non amplius eſt, ô
3 Pater, ſub ſole:
4 Deſerens autem meam vitam,
5 Fecit me orphanum miſera.
6 Vide enim, vide palpebras, &
7 Reſolutas manus.
8 Audi, audi ô
9 Mater, *te* obſecro:
10 Ego te, ego ô mater nunc ſaltem voco,
11 Tuus pullus, *i. filius*, ad os tuum cadens.
Ad. *Vocas* neque audientem, neq; videntem. itaque ego,
Et vos graui calamitate percuſſi ſumus.

Antiſtrophe.

Eu. 1 Ego iuuenis adhuc relinquor a chara, ô pater,
2 Soluſque matre. ô

Triſtia igitur paſſus
Ego mala,
* * * * * * * *

Tuque mecum ſoror puella
Eadem ſuſtines. O pater
Fruſtra, fruſtra, vxorem duxi-
ſti, neque *ad* ſenectæ
Finem perueniſti cum iſta. prius enim eſt *mortua.*
Te autem moriente, ô mater, domus periit.

Chorus.

Cho. Admete, neceſſe eſt hanc calamitatem ferre.
,, Tu enim neque primus, neque poſtremus mortalium
,, Vxore bona priuatus es. ſcias autem
,, Quod omnibus nobis mors debetur, *i. moriendum eſt.*

Ad. Scio ſane, nec ſubito hoc malum
Aduolauit: cum vero ſcirem hęc cruciabar iampridem.
Sed (hoc enim cadauer efferam)
Adeſte, & vnâ per vices canite
Lugubre carmen inferorum implacabili Deo.
Omnibus vero Theſſalis, quibus ego præſum,
Iubeo communem eſſe luctum huius mulieris,
Cæſarie raſa, & nigra veſte:
Quadrigasque iungite & ſingularibus
Equis ferro ſecate ceruicis iubam.
Tibiarum vero ne per vrbem, neq; lyræ ſtrepitus
Sit, duodecim integris menſibus.
Non enim vllum aliud charius cadauer ſepeliam,
Quam hoc, neq; quod ſit plus de me meritũ: digna aũt
Eſt q̃ honore a me afficiatur, ſiquidẽ ꝓ me eſt mortua
[ſola.

ANTISTROPHICA.

Strophe I.

Ch. O Peliæ filia,
Læta mihi in Plutonis ædibus
Tenebricoſam domum colas.
Sciat autem Pluto nigricomus
Deus, & qui ad remum,
Et ad gubernaculum ſenex
Mortuorum ductor ſedet,
Se iam longe optimam mulierem, longe opt. inquam
Tranſuexiſſe trans paludem Acherontiam

Cym-

3 Σχέτλια δὲ παθὼν
4 Ἐγὼ ἔργα,
5 * * * * * * * *
6 Σύ τ' ἐμοὶ σύγκασι κόρε
7 Συνέτλας. ὦ πάτερ,
8 Ἀνόνατ' ἀνόνατ' ἐνύμ-
9 φευσας, οὐδὲ γήρως
10 Ἔβας τέλος σὺν τᾷδ'. ἔφθιτο γὰρ πά-
11 ρος. οἰχομένας δὲ σοῦ μᾶτερ, ὄλωλεν οἶκος.

ΙΑΜΒΟΙ.

χο. Ἄδμητ', ἀνάγκη τάσδε συμφορὰς φέρειν.
„ Οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν,
„ Γυναικὸς ἐσθλῆς ἤμπλακες. γίγνωσκε δὲ,
„ Ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.
ἀδ. Ἐπίσταμαί γε, κοὐκ ἄφνω κακὸν τόδε
Προσέπτατ'. εἰδὼς δ' αὐτ' ἐτειρόμην πάλαι.
Ἀλλ', ἐκφορὰν γὰρ τοῦδε θήσομαι νεκροῦ,
Πάρεστε, καὶ μένοντες, ἀντηχήσατε
Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
Πᾶσιν δὲ Θεσσαλοῖσιν, ὧν ἐγὼ κρατῶ,
Πένθους γυναικὸς τῆσδε κοινοῦσθαι λέγω,
Κουρᾷ ξυρηκεῖ, καὶ μελαμπέπλῳ στολῇ.
Τέθριππά τε ζεύγνυσθε, καὶ μονάμπυκας
Πώλους, σιδήρῳ τέμνετ' αὐχένων φόβην.
Αὐλῶν δὲ μὴ κατ' ἄστυ, μὴ λύρας κτύπος
Ἔστω, σελήνας δώδεκ' ἐκπληρουμένας.
Οὐ γάρ τιν' ἄλλον φίλτερον θάψω νεκρὸν
Τοῦδ', οὐδ' ἀμείνον' εἰς ἐμ'. ἀξία δέ μοι
Τιμῆς, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ μόνη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Ὦ Πελίου θύγατερ,
2 Χαίρουσά μοι ἐν ἀΐδα δόμοισι
3 Τὸν ἀνάλιον οἶκον ἰκετεύοις.
4 Ἴστω δ' ἀΐδης ὁ μελαγχαίτας
5 Θεὸς, ὅς τ' ἐπὶ κώπᾳ
6 Πηδαλίῳ τε γέρων
7 Νεκροπομπὸς ἵζει,
8 Πολὺ δὴ πολὺ δὴ γυναῖκ' ἀρίσταν
9 Λίμναν Ἀχεροντίαν πορεύσας.

10 Ἐλά-

Digitized by Google

10 Ἐλάτᾳ ἀκάτῳ.

Ἀντιστροφὴ α΄.

1 Πολλά σε μουσοπόλοι
2 Μέλψουσι, καθ᾽ ἑπτάτονόν τ᾽ ὀρείαν
3 Χέλυν, ἔν τ᾽ ἀλύροις κλέοντες ὕμνοις,
4 Σπάρτᾳ κύκλος ἀνίκα Καρνείου
5 Περινίσσεται ὥρα
6 Μηνὸς, ἀειρομένας
7 Παννύχου σελάνας,
8 Λιπαραῖσί τ᾽ ἐν ὀλβίαις Ἀθάναις.
9 Τοίαν ἔλιπες θανοῦσα μολπὰν
10 Μελέων ἀοιδοῖς.

Στροφὴ β΄.

1 Εἴθ᾽ ἐπ᾽ ἐμοὶ μὲν εἴη,
2 Δυναίμαν δέ σε πέμψαι
3 Φάος ἐξ ἀΐδου τεράμνων,
4 Καὶ κωκυτοῖο ῥεέθρων,
5 Ποταμίᾳ νερτέρᾳ τε κώπᾳ.
6 Σὺ γὰρ ὦ μόνα, ὦ φίλα γυναικῶν,
7 Σύ γε τὸν αὐτᾶς ἔτλας πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
8 Ψυχᾶς ἐξ ᾄδου. κούφα σοι
9 Χθὼν ἐπάνω πέσοι, γύναι.
10 Εἰ δέ τι καινὸν ἕλοιτο πόσις λέχος,
11 Ἦ μάλ᾽ ἔμοιγ᾽ ἂν εἴη στυγηθεὶς, τέκνοις τε τοῖς σοῖς.

Ἀντιστροφὴ β΄.

1 Ματέρος οὐ θελούσας
2 Πρὸ παιδὸς χθονὶ κρύψαι
3 Δέμας, οὐδὲ πατρὸς γεραιοῦ,
4 * * * * * * * *
5 Ὃν ἔτεκον, οὐκ ἔτλαν ῥύεσθαι
6 Σχετλίω πολιὰν ἔχοντε χαίταν.
7 Σὺ δ᾽ ἐν ἥβᾳ νέᾳ νέου προθανοῦσα φωτὸς οἴχῃ.
8 Τοιαύτας εἴη μοι κυρῆσαι
9 Συνδυάδος φίλας ἀλόχου.
10 Τοῦτο γὰρ ἔν γε βίῳ σπάνιον μέρος.
11 Ἦ γὰρ ἔμοιγ᾽ ἄλυτος δι᾽ αἰῶνος ἂν ξυνείη.

ΙΑΜΒΟΙ.

ἡρ. Ξένοι, Φεραίας τῆσδε κωμῆται χθονὸς,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιχάνω;
χο. Ἔστ᾽ ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.

Ἀλλ᾽

Cymba biremi.

Antiſtrophe I.

Multum te Poetæ
Canent & in montana habente ſeptem fides
Lyra, & in hymnis ſine lyra cantatis celebrantes,
Spartæ quando orbis Carnei
Redit, tempus vernum
Menſis, exoriente
Per totam noctem *plena* luna.
Et in diuitibus, & beatis Athenis.
Talem reliquiſti moriens cantilenam
Carminum cantoribus, *i. poetis.*

Strophe II.

Vtinam penes me eſſet,
Poſſemque te emittere
In lucem ex Plutonis domo,
Et *ex* Cocyti fluentis,
Fluuiatili, & infernali remo.
Tu enim ô vnica, & chara mulier,
Tu tuum ſuſtinuiſti maritũ pro tua permutare, *atque* [*tua redimere*
Vita ex inferis. leuis
Terra cadat ſupra te, mulier.
Si quẽ vero nouũ elegerit marit⁹ lectũ, *i. ſi nouã vxorẽ* [*duxerit*,
Profecto valde mihi erit odioſus, liberisq; tuis.

Antiſtrophe II.

Cum *eius* mater non voluerit
Pro filio terra tegere
Corpus, *i. mori*, neq; pater ſenex *mori voluerit pro eo*,
* * * * * * * *
Quem genuit, nec *eum* voluerint liberare, *profecto ſunt*
Deteſtandi, habentes canam comam.
Tu vero in pubertate iuuenili ꝓ viro iuueni moriens [abis.
Tali contingat mihi potiri
Coniuge chara lecti ſocia.
Hæc enim *felicitatis* pars in *hac* vita *eſt* rara.
Certe viueret mecũ per omnẽ vitam ſine moleſtia.

Hercules.

Her. O hoſpites, huius Pheræ terræ incolæ,
Admetum in ædibus an inueniam?

Cho. Eſt domi filius Pheretis, ô Hercules.

Verum

Verum dicito quæ cauſa te *in hanc* Theſſalorũ vrbem
Mittit, vt *ad* hanc Pheræorum ciuitatem accedas?
Her. Tyrinthio Euryſtheo quemdam conficio laborem.
Cho. Et quo vadis? cui aſtrictus es errationi?
Her. Vado ad quadriiugum currum Diomedis Thracis.
Cho. Quomodo igitur *hoc* poteris? an es imperitus hoſpitis?
Her. *Sũ* imperitus. nõdum *enim* veni *in* Biſtonũ agrũ.
Cho. Non poteris fieri dominus equorum ſine pugna.
Her. Sed non erat mihi poſſibile recuſare labores *iſtos.*
Cho. Interfecturus igitur *eum* venies, an *ab eo interfectus, &*
mortuus ibi manebis?
Her. Non hoc certamen primum curram ego.
Cho. Quid vero lucri facies victo domino?
Her. Equos adducam Tirynthio regi.
Cho. Non facile *eſt* frænum iniicere genis.
Her. Niſi ſpirent ignem e naribus.
Cho. Quin homines lacerant rapidis genis.
Her. Pabulum dicis montanarũ ferarum, non equorũ.
Cho. Videbis præſepia ſanguine conſperſa.
Her. Ipſe vero, qui aluit *hos equos*, cuius patris filiũ ſe iactat?
Cho. Martis, *ſeq; iactat eſſe* regẽ peltę, *i. peltatorum* Thraciæ
auro ambundantis.
Her. Et hũc mei fati laborem refers?
Durũ enim ſemper *eſt meũ fatũ*, & in arduũ tẽdit.
Certe oportuit me cum filiis, quos Mars genuit,
Pugnam committere. primum quidẽ cum Lycaone,
Deinde vero Cygno. hoc vero tertium venio
Certamen commiſſurus cum equis, & domino.
Sed nemo eſt, qui *Herculem* Alcmenæ filium
Vnquam viſurus ſit metuentem hoſtilem manum.
Cho. Atqui ecce dominus huius terræ
Admetus, egreditur ex ædibus.
Ad. Salue fili Iouis, Perſeique a ſanguine *orte.*
Her. Et tu ſalue rex Theſſalorum, Admete.
Ad. Optarim quidem: ſcio *autem* te mihi eſſe beneuolum.
Her. Quam *ob* rem tonſura hac lugubri inſignis es?
Ad. Sepulturus ſum hodie quoddam cadauer.
Her. Deus igitur arceat malum a tuis liberis.
Ad. Viuunt in ædibus liberi, quos ego genui.
Her. Pater vero fortaſſe æuo maturus *obiit*, ſi modo obiit.

Ἀλλ' εἰπὲ, χρεία τίς σε Θεσσαλῶν πόλιν
Πέμπει, Φεραίων ἄστυ προσβῆναι τόδε;
ἡρ. Τιρυνθίῳ πράσσω τιν' Εὐρυσθεῖ πόνον.
χο. Καὶ ποῖ πορεύῃ; τῷ συνέζευξαι πλάνῳ;
ἡρ. Θρηκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.
χο. Πῶς οὖν δυνήσῃ; μῶν ἄπειρος εἶ ξένου;
ἡρ. Ἄπειρος. οὔπω Βιστόνων ἦλθον χθόνα.
χο. Οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.
ἡρ. Ἀλλ' οὐδ' ἀπειπεῖν μὴν πόνους οἷόν τέ μοι.
χο. Κτανὼν ἄρ' ἥξεις, ἢ θανὼν αὐτοῦ
μενεῖς;
ἡρ. Οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.
χο. Τί δ' ἂν κρατήσας δεσπότην, πλέον λάβοις;
ἡρ. Πώλους ἀπάξω κοιράνῳ τιρυνθίῳ.
χο. Οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.
ἡρ. Εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.
χο. Ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.
ἡρ. Θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων λέγεις.
χο. Φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.
ἡρ. Τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;
χο. Ἄρεος, ζαχρύσου Θρακίας πέλτης
ἄναξ.
ἡρ. Καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις;
Σκληρὸς γὰρ αἰεὶ, καὶ πρὸς αἶπος ἔρχεται.
Εἰ χρή με παισὶν, οὓς Ἄρης ἐγείνατο,
Μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι,
Αὖθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον
Ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.
Ἀλλ' οὔτις ἐστὶν ὃς τὸν Ἀλκμήνης γόνον
Τρέσαντα χεῖρα πολεμίων ποτ' ὄψεται.
χο. Καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς,
Ἄδμητος, ἔξω δωμάτων πορεύεται.
ἀδ. Χαῖρ' ὦ Διὸς παῖ, Περσέως τ' ἀφ' αἵματος.
ἡρ. Ἄδμητε, καὶ σὺ χαῖρε Θεσσαλῶν ἄναξ.
ἀδ. Θέλοιμ' ἄν. εὔνουν ὄντα σ' ἐξεπίσταμαι.
ἡρ. Τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;
ἀδ. Θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν.
ἡρ. Ἀπ' οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.
ἀδ. Ζῶσιν κατ' οἴκους παῖδες, οὓς ἔφυσ' ἐγώ.
ἡρ. Πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.

Digitized by Google

ἄδ. Κἀκεῖνός ἐστι, χ' ἡ τεκοῦσά μ', Ἡράκλεις.
ἡρ. Οὐ μὴν γυνή γ' ὄλωλεν Ἄλκηστις σέθεν;
ἄδ. Διπλοῦς ἐπ' αὐτῇ μῦθος ἔστι μοι λέγειν.
ἡρ. Πότερα θανούσης εἶπας, ἢ ζώσης πέρι;
ἄδ. Ἔστιν τε, κοὐκ ἔτ' ἔστιν, ἀλγυνεῖ τ' ἐμέ.
ἡρ. Οὐδέν τι μᾶλλον οἶδ'. ἄσημα γὰρ λέγεις.
ἄδ. Οὐκ οἶσθα, μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;
ἡρ. Οἶδ' ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.
ἄδ. Πῶς οὖν ἔτ' ἔστιν, εἴπερ ᾔνεσεν τάδε;
ἡρ. Ἆ. μὴ πρόκλαι' ἄκοιτιν, ἐς τόδ' ἀναβαλοῦ.
ἄδ. Τέθνηχ'. ὁ μέλλων, χ' ὡ θανὼν, οὐκ
    ἔσ' ἔτι.
ἡρ. Χωρὶς τό, τ' εἶναι, καὶ τὸ μὴ, νομίζεται.
ἄδ. Σὺ τῇδε κρίνεις Ἡράκλεις, κείνῃ δ' ἐγώ.
ἡρ. Τί δῆτα κλαίεις; τίς φίλων ὁ κατθανών;
ἄδ. Γυνή. γυναικὸς ἀρτίως μεμνήμεθα.
ἡρ. Ὀθνεῖος, ἢ σοι συγγενὴς γεγῶσά τις;
ἄδ. Ὀθνεῖος, ἄλλως δ' ἦν ἀναγκαία δόμοις.
ἡρ. Πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;
ἄδ. Πατρὸς θανόντος, ἐνθάδ' ὠρφανεύετο.
ἡρ. Φεῦ. εἴθ' ηὕρομέν σ' Ἄδμητε μὴ λυπούμενον.
ἄδ. Ὡς δὴ τί δράσων τόνδ' ὑπορράπτεις λόγον;
ἡρ. Ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.
ἄδ. Οὐκ ἔστιν ὦ 'ναξ. μὴ τοσόνδ' ἔλθοι κακόν.
ἡρ. Λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.
ἄδ. Τεθνᾶσιν οἱ θανόντες, ἀλλ' ἴθ' ἐς δόμους.
ἡρ. Αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι ξένους.
ἄδ. Χωρὶς ξενῶνές εἰσιν, οἷς σ' εἰσάξομεν.
ἡρ. Μέθες με, καί σοι μυρίαν ἕξω χάριν.
ἄδ. Οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
Ἡγοῦ σὺ τῶνδε δωμάτων ἐξωπίους
Ξενῶνας οἴξας. τοῖς τ' ἐφεστῶσι φράσον,
Σίτων παρεῖναι πλῆθος. ἐν δὲ κλῄσατε
Θύρας μεσαύλους. οὐ πρέπει θοινωμένους
Κλύειν στεναγμῶν, οὐδὲ λυπεῖσθαι ξένους.
χο. Τί δρᾷς, τοσαύτης συμφορᾶς προκειμένης,
Ἄδμητε; τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;
ἄδ. Ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
Ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
Οὐ δῆτ', ἐπεί μοι συμφορὰ μὲν οὐδὲν ἂν

Μείων

Ad. Viuit & ille, & mater mea, ô Hercules.
Her. Num vero Alceſtis tua vxor obiit?
Ad. Dupliciter de ea poſſum reſpondere.
Her. Vtrum de mortua, an de viua dicis?
Ad. Eſt & non eſt, & dolore afficit me.
Her. Nihilo plus ſcio. obſcura enim dicis.
Ad. Non ſcis fatum, quod ſubire eam oportet?
Her. Scio, eam aſſenſiſſe pro te velle mori.
Ad. Quomodo igitur adhuc eſt, ſiquidē hęc promiſit?
Her. Ah. ne ante *mortis tempus* vxorē luge, in hoc differ.
Ad. Obiit *illa*. qui *enim mox* eſt *moriturus*, & qui *iam* mortuus eſt, non amplius eſt.
Her. Aliq̃d *tamē* intereſſe exiſtimatur inter eſſe, & nō eſſe.
Ad. Tu ſic ſentis Hercules, ego vero aliter.
Her. Cur ergo ploras? quis amicorum mortuus eſt?
Ad. Mulier. mulieris modo meminimus.
Her. Vtrum alienigena, an quæ tibi cognata fuerit?
Ad. Alienigena. ſed tamen erat neceſſaria *meis* ædibus.
Her. Quomodo igitur in tuis ædibus vitam amiſit?
Ad. Hîc educata eſt pupilla, patre mortuo.
Her. Heu. Vtinam inueniſſemus te Admete nō dolentem.
Ad. Vt vero quid facturus hunc ſubſuis ſermonem?
Her. Hoſpitis ad aliam domum ibo.
Ad. Non licet ô rex: ne tantum *mihi* veniat malum.
Her. Si hoſpes ad lugentes veniat, moleſtus *eſt illis*.
Ad. Mortui ſunt mortui, ſed tu veni in ædes.
Her. Turpe eſt apud lugentes epulari hoſpites.
Ad. Seorſim hoſpitū cœnacula ſunt, in q̃ te introducemus.
Her. Dimitte me, & tibi maximam habebo gratiam.
Ad. Non licet tibi ire in alterius viri domum.
Præcede tu harum ædium externis, *i. poſticis*,
Hoſpitiis apertis, & *horum* præfectis dic,
Ciborum vt adſit copia. intus vero claudite
Fores intermedias aularum. non decet *enim* epulantes
Audire *noſtros* luctus, neque hoſpites dolore affici.
Cho. Quid agis? propoſita tanta calamitate,
Audes Admete excipere hoſpites? quid inſanis?
Al. An ſi ex ædibus ipſum, & vrbe expuliſſem
Hoſpitem *ad me* profectum, magis me laudares?
Non certe, nihilo enim mea calamitas

Minor fieret,& ego eſſem inhoſpitalior:
Et ad *domeſtica* mala,aliud hoc accederet malum
Quod mea domus vocaretur inhoſpitalis.
Ego enim optimum hunc habeo hoſpitem,
Quum *in* Argorum ſiticuloſum eo ſolum.

Cho. Quomodo igitur celaſti præſentem calamitatem,
Cum vir amicus venerit, ſicut tu dicis?

Ad. Nunquam voluiſſet intrare *meam* domum,
Si quod meorum reſciuiſſet malorum.
Atq; huic quidem (opinor) hęc faciens, ſapere nõ vi-
Neq; laudabit me. mea enim non ſciunt [deor.
Atria repellere,neque contemnere hoſpites.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 O multorum hoſpita, & liberalis,
2 Viri ſemper domus.
3 Te quoque Pythius
4 Bonus lyræ magiſter Apollo
5 Dignatus eſt habitare,
6 Et ſuſtinuit opilio tuis
7 In ædibus fieri,
8 Per obliquas valles,
9 Canens tuis pecudibus
10 Paſtorales hymenæos.

Antiſtrophe I.

1 Et ſimul paſcebantur oblectatione carminum
2 Maculoſæ lynces.
3 Iuit autem linquens Othryum
4 Saltum, leonum
5 Fulua cohors.
6 Saltauit autem circa tuam citharam,
7 O Phœbe,vario villo præditus
8 Hinnulus,vltra alticomas
9 Abietes tranſiens leui pede,
10 Gaudens læto carmine.

Strophe II.

1 Tu enim copioſiſſimam
2 Domum habitas, circa pulchrifluam
3 Bœbiam paludem, agrorumque iugera,
4 Et camporum *in* ſolo fines, *i. patentes camporum fines,*

5 Circa

Μείων ἐγίνετ', ἀξενώτερος δ' ἐγώ.
Καὶ πρὸς κακοῖσιν, ἄλλο τοῦτ' ἂν ἦν κακόν,
Δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
Αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
Ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.
Χο. Πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
Φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;
Ἀδ. Οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
Εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
Καὶ τῷ μὲν οἶμαι δρῶν τάδ', οὐ φρονεῖν δοκῶ,
Οὐδ' αἰνέσει με. τἀμὰ δ' οὐκ ἐπίσταται
Μέλαθρ' ἀπωθεῖν, οὐδ' ἀτιμάζειν ξένους.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ πολύξεινος, καὶ ἐλεύθερος
2 Ἀνδρὸς ἀεί ποτ' οἶκος.
3 Σέ τοι καὶ ὁ Πύθιος
4 Εὐλύρας Ἀπόλλων
5 Ἠξίωσε ναίειν.
6 Ἔτλη δὲ σοῖσι μηλονόμας
7 Ἐν δόμοις γενέσθαι,
8 Δοχμιᾶν διὰ κλιτύων
9 Βοσκήμασι σοῖσι συρίζων
10 Ποιμνήτας ὑμεναίους.

Ἀντιστροφὴ α'.

1 Σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελι-
2 ων, βαλιαί τε λύγκες,
3 Ἔβα δὲ λιποῦσ' Ὄθρυ-
4 ος νάπαν λεόντων
5 Ἁ δαφοινὸς ἴλα.
6 Ἐχόρευσε δ' ἀμφὶ σὰν κιθάραν
7 Φοῖβε ποικιλόθριξ
8 Νεβρὸς, ὑψικόμων πέραν
9 Βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
10 Χαίρουσ' εὔφρονι μολπᾷ.

Στροφὴ β'.

1 Τοιγὰρ πολυμηλοτάταν
2 Ἑστίαν οἰκεῖς, παρὰ καλλίναον
3 Βοιβίαν λίμναν. ἀρότοις δὲ γύας,
4 Καὶ πεδίων δαπέδοις ὅρον,

Ἀμφὶ μὲν ἀελίου κνεφαίαν
Ἱππόστασιν, αἰθέρα
Τὰν Μολοσσῶν τίθεται,
Πόντιόν τ' αἰγαῖον ἐπ' ἀκτὰν
Ἀλίμενον Πηλίου κρατύνει.

Ἀντιστροφὴ β'.

Καὶ νῦν δόμον ἀμπετάσας,
Δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ,
Τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν
» Δώμασιν ἀρτιθανῆ. Τὸ γὰρ
» Εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.
» Ἐν τοῖς ἀγαθοῖσι δὲ
» Πάντ' ἔνεστι σοφίας.
» Πρὸς δ' ἐμᾷ ψυχᾷ θάρσος ἧσται,
» Θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

ΙΑΜΒΟΙ.

ἀδ. Ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
Νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι
Φέρουσιν ἄρδην ἐς τάφον τε, καὶ πυράν.
Ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
Προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.

χο. Καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
Στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
Κόσμον φέροντας, νερτέρων ἀγάλματα.

φε. Ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον.
Ἐσθλῆς γὰρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος
Γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν
Φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.
Δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
Ἴτω. τὸ ταύτης σῶμα τιμᾶσθαι χρεὼν,
Ἥτις γε τῆς σῆς προὔθανεν ψυχῆς, τέκνον,
Καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασέ σου
Στερέντα, γήρᾳ πενθίμῳ καταφθίνειν,
Πάσαις δ' ἔθηκεν εὐκλεέστερον βίον
Γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.
Ὦ τόνδ' ἐμὸν σώσασ', ἀναστήσασα δὲ
Ἡμᾶς πίτνοντας, χαῖρε, κἀν Ἅιδου δόμοις
» Εὖ σοι γένοιτο. Φημὶ τοιούτους γάμους
» Λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.

ἀδ. Οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον,

Οὔτ'

Digitized by Google

5 Circa ſolis occiduam
6 Stationem, quæ vltra
7 Moloſſorum *terram* ponitur,
8 Et maris Ægęi ad littus
9 Importuoſum Pelii tenet imperium.

Antiſtrophe II.

1 Et nunc aperiens domum,
2 Accipiet hoſpitem,humidis palpebris,
3 Plorans charæ coniugis cadauer in
» 4 Ædibus recens mortuum. Nam
» 5 Generoſa natura effertur ad pudorem.
» 6 In bonis enim
» 7 Omnia inſunt ſapientiæ *dona*.
» 8 In mea vero anima fiducia ſedet,
» 9 Pium virum pie acturum eſſe.

Admetus.

Virorum Pheræorum ô beneuola præſentia:
Mei quidem miniſtri cadauer iam omni cultu ornatū
Ferunt ſublime ad ſepulturam, & rogum:
Vos vero mortúam,vt fert conſuetudo,
Salutate egredientem po[illegible]am viam.

Cho. Atqui video tuum patrem [illegible]ili pede
Venientem,& comites in ma[illegible]bus tuæ coniugi
Ferentes ornatum,mortuoru[illegible] grata munera.

Phe. Venio malis tuis tęcum la[illegible]s,fili.
Bonam enim,& pudicam[illegible]mo contradicet)
Coniugem amiſiſti,verum hæc quidem
Ferre neceſſe eſt,quanquam ſint latu grauia.
Accipe vero hunc ornatum,& ſub terram
Eat:huius corpus honore affici decet,
Quæ mortua eſt pro tua vita,fili.
Et fecit ne orbarer liberis, neque permiſit
Me priuatum contabeſcere lugubri ſenecta.
Omnibus vero fecit laudatiſſimam vitam
Mulieribus,auſa hoc generoſum facinus.
O quę ſeruaſti hunc meum *filium*,& rurſus erexiſti
Nos cadentes,vale,& in Plutonis ædibus
» Bene ſit tibi. dico tales nuptias
» Vtiles eſſe mortalibus, aut vxorem ducere nō expedit.

Ad. Non veniſti vocatus a me ad hoc funus,

Neque tuam præſentiam mihi gratam eſſe dico.
Et tuum ornatum hæc nunquam induet.
Non enim tuarum rerum indigens ſepelietur.
Tunc te dolere oportuit,quando ego peribam.
Tu vero ſtans eminus,& relinquens alium mori
Iuniorem,cum tu ſis ſenex,iã deflebis hũc mortuũ?
Non fuiſti igitur vere mei corporis pater,
Neque illa, quæ dicitur me peperiſſe,& vocatur
Mater,mę peperit:ſed a ſeruili ſanguine
Suppoſitus ſum clanculum vberibus tuæ coniugis.
Oſtendiſti manifeſte reipſa,quis ſis,
Neque exiſtimo me eſſe filium tuum.
Profecto igitur omnes excellis timiditate,
Quod tam grandis natu cũ ſis, cumq; ad vitę metã *ex-*
Nõ voluiſti,neq; auſus es mori [*tremam* veneris,
Pro tuo filio:ſed hanc ſiuiſtis
Mulierem alienigenam,quam ego & matrem,
Et patrem meum iuſte ſolam exiſtimarim *eſſe*.
Atqui decertaſſes hoc egregium certamen,
Si mortuus eſſes pro tuo filio. breue enim tibi
Omnino reliquum erat tempus vitæ conceſſum.
Et ego vixiſſem,& iſta reliquam ætatem,
Nec orbus *vxore* gemerem mea mala.
Atqui omnia quæ viro beato contingere poſſunt,
Accepiſti. iuuenis enim floruiſti in regno,
Et ego eram tibi filius hæres huius regni:
Itaque moriens non ſine liberis aliis hanc domum
Relicturus eras orbam diripiendam:
Haud tamen dices me,quod contemnerem tuam
Senectutem,a te morti proditum eſſe, qui reuerens
Tui maxime fuerim,& pro his mihi gratiam
Talem & tu,& mater mihi retuliſtis.
Non igitur *alios* liberos poſthac ocius procreabis,
Qui te ſenem alant, & mortuum te
Ornent, & *tuum* procurent funus?
Non enim ego te hac mea manu ſepeliam.
Mortuus enim ſum quantũ in te *eſt*: ſi vero nact⁹ aliũ
Seruatorem,lucem aſpicio,*i. viuo*:huius dico
Et filium me eſſe,& charum ſenectutis alumnum.
Fruſtra igitur ſenes optant mori,

Digitized by Google

Οὔτ' ἐν φίλοισι τὴν παρουσίαν λέγω.
Κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται.
Οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
Τότε ξυναλγεῖν χρῆν σ', ὅτ' ὠλλύμην ἐγώ.
Σὺ δ' ἐκποδὼν στὰς, καὶ παρεὶς ἄλλῳ θανεῖν
Νέῳ, γέρων ὤν, τόνδ' ἀποιμώξεις νεκρόν;
Οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,
Οὐδ' ἡ τεκεῖν φάσκουσα, καὶ κεκλημένη
Μήτηρ μ' ἔτικτε. δουλίου δ' ἀφ' αἵματος
Μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
Ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν, ὃς εἶ.
Καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
Ἦ τ' ἄρα πάντων διαπρέπεις ἀψυχίᾳ.
Ὃθ' ἡλίκος τ' ὢν, κἀπὶ τέρμ' ἥκων βίου.
Οὐκ ἠθέλησας οὐδ' ἐτόλμησας θανεῖν
Τοῦ σοῦ πρὸ παιδός. ἀλλὰ τήνδ' εἰάσατε
Γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα,
Πατέρα τέ γ' ἐνδίκως ἂν ἡγοίμην μόνην.
Καί τοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
Τοῦ σοῦ πρὸ παιδὸς κατθανών. βραχὺς δέ σοι
Πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος.
Κἀγώ τ' ἂν ἔζων, χ' ἥδε, τὸν λοιπὸν χρόνον.
Κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.
Καὶ μὴν ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα,
Πέπονθας. ἥβησας μὲν ἐν τυραννίδι,
Παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων.
Ὥστ' οὐκ ἄτεκνος κατθανὼν, ἄλλοις δόμον
Λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
Οὐ μὴν ἐρεῖς γέ μ', ὡς ἀτιμάζοντα σὸν
Γῆρας, θανεῖν προὔδωκας. ὅστις αἰδόφρων
Πρὸς σ' ἦν μάλιστα. κἀντὶ τῶνδέ μοι χάριν
Τοιάνδε καὶ σὺ χ' ἡ τεκοῦσ' ἠλλαξάτην.
Τοιγὰρ φυτεύων παῖδας οὐκ ἔτ' ἂν φθάνοις,
Οἳ γηροβοσκήσουσι, καὶ θανόντα σε
Περιστελοῦσι, καὶ προθήσονται νεκρόν;
Οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί.
Τέθνηκα γὰρ δὴ τοὐπὶ σ'. εἰ δ' ἄλλου τυχὼν
Σωτῆρος, αὐγὰς εἰσορῶ, κείνου λέγω
Καὶ παῖδά μ' εἶναι, καὶ φίλον γηροτρόφον.
„ Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,

„ Γῆρας ψέγουσι, καὶ μακρὸν χρόνου βίου.
„ Ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
„ Θνήσκειν, τὸ γῆρας δ' οὐκ ἔτ' ἔστ' αὐτοῖς βαρύ.
Χο. Παύσασθ', ἅλις γὰρ ἡ παροῦσα συμφορά.
Ὦ παῖ, πατρὸς δὲ μὴ παροξύνῃς φρένας.
Φε. Ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν, ἢ Φρύγα
Κακοῖς ἐλαύνειν ἀργυρώνητον
σέθεν;
Οὐκ οἶσθα Θεσσαλόν με, κἀπὸ Θεσσαλοῦ
Πατρὸς γεγῶτα γνησίως ἐλεύθερον;
Ἄγαν μ' ὑβρίζεις, καὶ νεανίας λόγους
Ῥίπτων ἐς ἡμᾶς, οὐ βαλὼν οὕτως ἄπει.
Ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην,
Κἄθρεψ' ὀφείλω, οὐχ ὑπερθνῄσκειν σέθεν.
Οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,
Παίδων προθνῄσκειν πατέρας, οὐδ'
Ἑλληνικόν.
„ Σαυτῷ γὰρ εἴτε δυστυχὴς, εἴτ' εὐτυχὴς,
Ἔφυς. ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.
Πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
Λείψω. πατρὸς γὰρ ταὔτ' ἐδεξάμην πάρα.
Τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;
Μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς, οὐδ' ἐγὼ πρὸ σοῦ.
Χαίρεις ὁρῶν φῶς; πατέρα δ' οὐ χαίρειν δοκεῖς;
„ Ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
„ Χρόνον. τὸ δὲ ζῆν σμικρὸν, ἀλλ' ὅμως γλυκύ.
Σύ γ' οὖν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν.
Καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,
Ταύτην κατακτάς. εἶτ' ἐμὴν ἀψυχίαν
Ψέγεις, γυναικὸς ὦ κάκισθ' ἡσσημένος,
Ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου.
Σοφῶς δ' ἐφηῦρες. ὥστε μὴ θανεῖν ποτε,
Εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
Γυναῖχ' ὑπὲρ σοῦ, κᾆτ' ὀνειδίζεις φίλοις,
Τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός.
Σίγα. νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
„ Ψυχὴν, φιλεῖν ἅπαντας. εἰ δ' ἡμᾶς κακῶς
„ Ἐρεῖς, ἀκούσῃ πολλὰ, κοὐ ψευδῆ κακά.
Χο. Πλείω λέλεκται νῦν τε, καὶ τὰ πρὶν, κακά.
Παῦσαι δὲ πρέσβυ, παῖδα σὸν κακορροθῶν.

ἀδ.

,, Vituperantes ſenectam, & longum vitæ tempus.
,, Si enim prope veniat mors, nemo vult
,, Mori. ſenectus vero non amplius eſt ipſis grauis.
Cho. Deſinite. ſatis enim eſt præſens calamitas.
O fili, patris vero ne exaſperes mentem.
Phe. O fili, quæ iactas? vtrum Lydum, an Phrygem
Aliquem tuum ſeruum pecunia comparatum, malis
verbis exagitare *putas?*
Num ſcis me *eſſe* Theſſalum, & ex Theſſalo
Patre natum, vere liberum?
Nimis me contumelioſe tractas, & iuueniles ſermones
Iaciens in nos, *ſed* non ita abibis *me maledictis* proſecu-
Ego enim te *mea* domus dominū genui, [tus.
Et educaui, vt debui, non vt pro te morerer:
Non enim hanc patriam legem accepi,
,, Vt parentes morerentur pro liberis, neque moribus
græcis *hoc eſt* receptum.
Tibi enim ipſi, ſiue ſis infortunatꝰ, ſiue fortunatꝰ,
Natꝰ es: q̄ vero a nobis oportebat te habere, *hæc* habes.
Imperas enim multis, & multorū iugerum arua tibi
Relinquam. nam & hæc accepi a patre *meo*,
Qua igitur iniuria te affeci? qua re te priuo?
,, Ne moriaris pro hoc viro, *i. pro me*, neq; ego pro te.
,, Gaudes vidēs lumē? & putas patrem nō delectari *vita?*
Certe reputo longum apud inferos
Tempus. breuis enim *eſt* vita, ſed tamen dulcis.
Impudenter autem tu digladiatus es ne morereris.
Et viuis. *nunc* prætergreſſus fatalem diem,
Hac occiſa. Deinde *vero* meam timiditatem
Accuſas, ô timidiſſime, a muliere victe,
Quæ pro te pulchro adoleſcentulo mortua eſt.
Aſtute autem hoc excogitaſti, vt nunquam moriaris,
Quod perſuaſeris mori præſentem
Mulierē ꝓ te. deinde vero *timiditatē* exprobas amicis,
Qui hæc noluerunt facere, cum tu ipſe ſis timidus.
Tace: & exiſtima, ſi tu tuam amas
,, Vitam, & omnes *ſuam* amare: ſi vero nobis male
,, Dixeris. audies multa, & non falſa mala.
Cho. Plura dicta ſunt & nunc, & ante, mala.
Deſine vero ſenex filium tuum maledictis inſectari.

Ad

Ad. Dic q̃ *minaris*, quia ego *iã* dixi, q̃ *volebã*. Si vero des
Verũ, non oportebat te in me delinquere. [audies
Phe. Magis vero peccaſſem ſi fuiſſem mortuus pro te.
Ad. Idem ne vero eſt iuuenem mori, & ſenem?
Phe. Debemus vna anima viuere, non duabus.
Ad. Atqui Ioue longius viueres tempus.
Phe. Maledicis parentibus, nulla iniuria affectus?
Ad. Sentio enim te amare longam vitam.
Phe. At nonne tu hoc cadauer pro te effers?
Ad. Hæc ſunt ſigna ô ignauiſſime *tuæ* timiditatis.
Phe. Nequaquam a nobis *cæſa* periit. non dices hoc.
Ad. Heu. vtinam hoc viro indigeas aliquando.
Phe. Duc *vxores* multas, vt plures pro te moriantur.
Ad. Tibi hoc *eſt* probroſum. tu enim non voluiſti mori.
Phe. Dulcis *eſt* lux iſta Dei, dulcis *eſt*.
Ad. Malũ *eſt* hoc tuum ingenium, nec in viris *eſſe decet*.
Phe. Nonne rideres vetulum efferens cadauer?
Ad. Morieris tamen inglorius, quum morieris.
Phe. Male audire mortuus non curo.
Ad. Heu, heu. ſenectus quam plena *eſt* impudentiæ.
Phe. Hęc vero *Alc.* nõ *fuit quidẽ* impudẽs: ſed eã nactꝰ es de-
Ad. Abi tu, & ſine me ſepelire hoc meũ cadauer. [mẽtem.
Phe. Abeo. tu ipſe vero, q̨ es ipſius interfector, *ipsã* ſepelies.
,, Et inſuper pœnam dabis tuis affinibus:
Vel certe Acaſtus nõ amplius erit inter viros *habẽdus*,
Niſi pœnas de te ſumpſerit pro ſanguine ſororis.
Ad. Pereas nunc ipſe, & tua coniunx,
Orbi, viuo filio, ſicut digni *eſtis*,
Seneſcite. nunquam enim mecũ venietis ſub idẽ tectũ.
Abite. Si enim deceret me per pręcones interdicere *tibi*
Tua paterna domo, interdicerem.
Nos vero (præſens enim malum *eſt* ferendum)
Eamus, vt in rogo ponamus cadauer.

Chorus.

O miſera, ô propter audaciam generoſa,
Et longe præſtantiſſima,
Vale. beneuolus vero te ſubterraneus Mercurius,
Et Pluto, excipiat. ſi vero & illic
Plus *bonorum* contingit bonis, horum particeps
Plutonis coniugi aſſideas.

Ser-

Digitized by Google

Λέγ', ὡς ἐμοῦ λέξαντος. εἰ δ' ἀλγεῖς κλύων
Τἀληθές, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.
ε. Σοῦ δ' ἂν προθνήσκων, μᾶλλον ἐξημάρτανον.
δ. Ταυτὸν γὰρ ἡβῶντ' ἄνδρα, καὶ πρέσβυν θανεῖν;
ε. Ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν ὀφείλομεν.
ἀδ. Καὶ μὴν Διός γε μείζον' ἂν ζώοις χρόνον.
φέ. Ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;
ἄδ. Μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.
φέ. Ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;
ἄδ. Σημεῖά γ' ὦ κάκιστε ταῦτ' ἀψυχίας.
φέ. Οὔτι πρὸς ἡμῶν γ' ὤλετ'. οὐκ ἐρεῖς τόδε.
ἄδ. Φεῦ. εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' εἰς χρείαν ποτέ.
φέ. Μνήστευε πολλάς, ὡς θάνωσι πλείονες.
ἄδ. Σοὶ τοῦτ' ὄνειδος. οὐ γὰρ ἤθελες θανεῖν.
φέ. Φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
ἄδ. Κακὸν τὸ λῆμα, κοὐκ ἐν ἀνδράσιν, τὸ σόν.
φέ. Οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν;
ἄδ. Θάνῃ γε μέντοι δυσκλεής, ὅταν θάνῃς.
φέ. Κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.
ἄδ. Φεῦ, φεῦ. τὸ γῆρας ὡς ἀναιδείας πλέον.
φέ. Ἥδ' οὐκ ἀναιδής. τήνδ' ἐφεῦρες ἄφρονα.
ἄδ. Ἄπελθε, κἀμὲ τόνδ' ἔα θάψαι νεκρόν.
φέ. Ἄπειμι. θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς.
„ Δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι.
Ἦτ' ἄρ' Ἄκαστος οὐκ ἔτ' ἔστ' ἐν ἀνδράσιν,
Εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.
ἀδ. Ἔρρου νῦν αὐτός, χ' ἡ ξυνοικήσασά σοι,
Ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
Γηράσκετ'. οὐ γὰρ τῷδ' ἔτ' εἰς ταυτὸ στέγος
Νεῖσθ'. εἰ δ' ἀπειπεῖν χρή με κηρύκων ὕπο
Τὴν σὴν πατρῴαν ἑστίαν, ἀπεῖπον ἄν.
Ἡμεῖς δέ, τοὐν ποσὶν γὰρ οἰστέον κακόν,
Στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ὦ σχετλία, τόλμης, γενναία,
Καὶ μέγ' ἀρίστη,
Χαῖρε. πρόφρων σε χθόνιός θ' Ἑρμῆς,
Ἅιδης τε δέχοιτ'. εἰ δέ τι κἀκεῖ
Πλέον ἔστ' ἀγαθοῖς, τούτων μετέχουσ'
Ἅιδου νύμφᾳ προσεδρεύοις.

ΙΑΜ.

ΙΑΜΒΟΙ.

Θε. Πολλοὺς μὲν ἤδη, κἀπὸ παντοίας χθονὸς
Ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
Οἷς δεῖπνα προὔθηκ'. ἀλλὰ τοῦδ' οὔπω ξένου
Κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
Ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν,
Εἰσῆλθε, κἀτόλμησ' ἀμείψασθαι πύλας.
Ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
Τὰ προστυχόντα ξένια, συμφορὰν μαθών.
Ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν
φέρειν.
Ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν,
Πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
Ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ
Οἴνου. στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
Ἄμουσ' ὑλακτῶν. δισσὰ δ' ἦν μέλη κλύειν.
Ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
Οὐδὲν προτιμῶν. οἰκέται δ' ἐκλαίομεν
Δέσποιναν. ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
Τέγγοντες. Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
Καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
Ξένον, πανοῦργον κλῶπα, καὶ λῃστήν τινα.
Ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην,
Οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
Δέσποιναν, ἣ μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
Μήτηρ. κακῶν γὰρ μυρίων ἐρρύετο,
Ὀργὰς μαλάσσουσ' ἀνδρός. ἆρα τὸν ξένον
Στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;
Ηρ. Οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
„ Οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
„ Εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
Σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,
Στυγνῷ προσώπῳ, καὶ συνωφρυωμένῳ
Δέχῃ, θυραίου πήματος σπουδὴν ἔχων.
Δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
Τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;
Οἶμαι μὲν οὔ. πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
„ Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
„ Κοὐκ ἔστι θνητῶν, ὅστις ἐξεπίσταται
„ Τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

„ Τὸ

Seruus.

Multos quidem iam, & ex variis locis
Hoſpites in Admeti ædes profectos ſcio:
Quibus adpoſui cibos: verum nondum hoc hoſpite
Deteriorem in hanc domum recepi.
Qui primum quidem lugentem herum videns,
Intrauit *ædes*, & auſus eſt tranſire fores.
Deinde vero non ſapienter accepit
Caſu oblata xenia, cognita calamitate *domus:*
Sed ſiquid non afferremus, compellebat *nos* ad ferendum, *quod petebat.*
Arripiens autem hederaceum poculum in manus,
Bibit merum vinum nigræ matris, *i. terræ,*
Donec calefecit ipſum circumdans flamma
Vini: & coronat caput myrti ramis:
Abſurda latrans: erat autẽ audire geminũ melos.
Hic enim cantabat, mala, quę in Admeti *domo erant,*
Nihil curans: nos vero ſerui plorabamus
Heram: oculum tamen non oſtendebamus hoſpiti
Madefacientes: ſic enim mandauerat Admetus.
Et nunc ego quidem in ædibus conuiuio excipio
Hoſpitem, verſutum furem, & prædonem quendam.
Hæc vero *domina* ex ædibus abiit, nec *eã* ſum ꝓſecut⁹,
Neque extendi manum, lugens meam
Dominam, quæ mihi, & omnibus ſeruis erat
Mater: liberauit enim *nos* ex innumeris malis,
Molliens viri iram. nonne igitur hunc hoſpitem
Iuſte odi, qui incommodo tempore aduenit.

Her. Heus tu? quid ita tueris toruum, & ſubtriſte?
,, Non oportet triſtem miniſtrum hoſpitibus
,, Adeſſe, verum excipere *eos decet* animo comi.
Tu vero amicum virum heri *tui* præſentem cernens,
Triſti vultu, & contractis ſuperciliis
Excipis, externi mali curam gerens.
Huc accede, *tradam præcepta* vt fias ſapientior.
Scis quam naturam res mortalium habeant?
Puto aũt te adhuc neſcire: vnde enim didiciſſes? itaque
,, Omnes homines debent mori. [ex me audi,
,, Et nemo mortalium eſt, qui ſciat
,, An ſit victurus craſtinam diem futuram.

,, Cur-

Digitized by Google

,, Curſus enim fortunæ incertus *eſt* quo euadat,
,, Neque diſci poteſt, neque arte *vlla* deprehenditur.
,, Hæc igitur cum audiueris, & didiceris ex me,
,, Exhilara teipſum, bibe, quotidianam
,, Vitam, tuam ducas *eſſe*, reliqua vero fortunæ.
,, Cole etiam plurimum ſuauiſſimam dearum
,, Venerem mortalibus, comis enim *eſt* hæc dea.
,, Reliqua vero hæc omitte, & obtempera verbis
,, Meis, ſi modo videor tibi recte præcipere:
Id quod certe puto. Itaq; magnā mœſtitiam omittens
Bibe nobiſcum, ſuperans præſentem calamitatem.
Coronis ornatus: & certo ſcio quod pro
Illa nunc triſti, & contracta mente
Ad alium portum deducet te ſtrepit⁹ poculi incidens.
,, Cum ſimus autē mortales, decet nos mortalia ſapere:
,, Triſtibus enim, & auſteris
,, Omnibus eſt (ſi me vtantur iudice)
,, Vita non reuera vita, ſed calamitas.

Ser. Scimus hæc: nunc autem rem gerimus,
Quæ comeſſatione, & riſu non *eſt* digna.
Her. Mulier mortua, *eſt* alienigena. ne *igitur* nimium
Lugeas, domini enim huius domus viuunt.
Ser. Quid viuunt? nondum ſcis mala, quæ *ſunt* in ædibus.
Her. Niſi tuus dominus feſellit me.
Ser. Nimium ille, nimium eſt amans hoſpitum.
Her. Nequaquam. propter peregrinum enim cadauer bene rem gerit.
Ser. Imo vero profecto *cadauer hoc* valde, & nimis domeſticum erat.
Her. An igitur calamitatē aliq̄ domeſticā ille nō dixit mihi?
Ser. Tu lęt⁹ abi. nobis. n. curę ſunt mala dominorū.
Her. Hic ſermo non externorum malorum eſt initium.
Ser. Haud enim triſtarer videns te conuiuantem.
Her. At profecto grauem iniuriā accepi ab hoſpitibus meis.
Ser. Nō. n. *in has* ędes opportune veniſti, vt *te nūc* exciperemus.
Nos enim ſumus in luctu, & raſuram vides,
Et nigras veſtes? *Her.* Quis ergo eſt mortuus?
Num aliquis liberorū, an ſenex pater mortuus eſt?
Ser. Imo vero coniunx Admeti periit, ô hoſpes.
Her. Quid ais? & nihilominus tamē me hoſpitio excepiſtis?

Ser.

Digitized by Google

„ Τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται,
„ Κἄστ᾽ οὐ διδακτὸν, οὐδ᾽ ἁλίσκεται τέχνῃ.
„ Ταῦτ᾽ οὖν ἀκούσας, καὶ μαθὼν ἐμοῦ πάρα,
„ Εὔφραινε σαυτὸν, πῖνε. τὸν καθ᾽ ἡμέραν
„ Βίον, λογίζου σόν. τὰ δ᾽ ἄλλα, τῆς τύχης.
„ Τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
„ Κύπριν βροτοῖσιν εὐμενὴς γὰρ ἡ θεός.
„ Τὰ δ᾽ ἄλλ᾽ ἔασον ταῦτα, καὶ πιθοῦ λόγοις
„ Ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν.
Οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς,
Πίῃς μεθ᾽ ἡμῶν, τάσδ᾽ ὑπερβαλὼν τύχας,
Στεφάνοις πυκασθείς. καὶ σάφ᾽ οἶδ᾽ ὁθούνεκα
Τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
Μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
„ Ὄντας δὲ θνητοὺς, θνητὰ καὶ φρονεῖν χρεὼν,
„ Ὡς τοῖς γε σεμνοῖς καὶ συνωφρυωμένοις
„ Ἅπασιν ἐστὶν, ὥς γ᾽ ἐμοὶ χρῆσθαι κριτῇ,
„ Ὁ βίος ἀληθῶς οὐ βίος, ἀλλὰ συμφορά.
θε. Ἐπιστάμεσθα ταῦτα. νῦν δὲ πράσσομεν,
Οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.
ἡρ. Γυνὴ θυραῖος ἡ θανοῦσα, μὴ
λίαν
Πένθει, δόμων γὰρ ζῶσι τῶνδε
δεσπόται.
θε. Τί ζῶσιν; οὐ κάτοισθα τὰν δόμοις κακά.
ἡρ. Εἰ μή τι σός με δεσπότης ἐψεύσατο.
θε. Ἄγαν γ᾽ ἐκεῖνος ἐστ᾽ ἄγαν φιλόξενος.
ἡρ. Οὔκουν ὀθνείου γὰρ οὕνεκ᾽ εὖ πάσχειν νεκροῦ.
θε. Ἦ κάρτα μέντοι καὶ λίαν γ᾽ οἰκεῖος ἦν.
ἡρ. Μῶν ξυμφοράν τιν᾽ οὖσαν οὐκ ἔφραζέ μοι;
θε. Χαίρων ἴθ᾽. ἡμῖν δὲ δεσποτῶν μέλει κακά.
ἡρ. Ὅδ᾽ οὐ θυραίων πημάτων ἄρχει λόγος.
θε. Οὐ γάρ σε κωμάζοντ᾽ ἂν ἠχθόμην ὁρῶν.
ἡρ. Ἀλλ᾽ ἦ πέπονθα δείν᾽ ὑπὸ ξένων ἐμῶν;
θε. Οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμους.
Πένθος γὰρ ἡμῖν ἐστι, καὶ κουρὰν βλέπεις,
Μελαμπέπλους στολμούς τε. Η. τίς δ᾽ ὁ κατθανών;
Μῶν ἢ τέκνων τις φροῦδος, ἢ γέρων πατήρ;
θε. Γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.
ἡρ. Τί φής; ἔπειτα δῆτά μ᾽ ἐξενίζετε;

θε.

Digitized by Google

θε. Ἠιδεῖτο γάρ σε τοῦδ' ἀπώσασθαι δόμων.
ἡρ. Ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου.
θε. Ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.
ἡρ. Ἀλλ' ᾐσθόμην μὲν, ὄμμ' ἰδὼν δακρυρροοῦν,
Κουράν τε, καὶ πρόσωπον. ἀλλ' ἔπειθέ με
Λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
Βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας,
Ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις
Πράσσοντος οὕτω. κἀπεκώμαζον, κάρα
Στεφάνοις πυκασθείς. ἀλλὰ σοῦ τὸ μὴ φράσαι,
Κακοῦ τοσούτου δώμασι προσκειμένου.
Ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω μολών;
θε. Ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισαν φέρει,
Τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.
ἡρ. Ὦ πολλὰ τλᾶσα καρδία, ψυχή τ' ἐμὴ,
Νῦν δεῖξον, οἷον παῖδά σ' ἡ Τιρυνθία
Ἠλεκτρύωνος γείνατ' Ἀλκμήνη Διΐ.
Δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
Γυναῖκα, κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ δ' ὑπουργῆσαι χάριν.
Ἐλθὼν δ' ἄνακτα τὸν μελάμπεπλον νεκρῶν,
Θάνατον φυλάξω. καί νιν εὑρήσειν δοκῶ,
Πίνοντα τύμβου πλησίον προσφαγμάτων.
Κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς,
Μάρψω, κύκλον δὲ περιβάλω χεροῖν ἐμαῖν,
Οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται
Μογοῦντα πλευρὰ, πρὶν γυναῖκ' ἐμοὶ μεθῇ.
Ἢν δ' οὖν ἁμάρτω τῆσδ' ἄγρας, καὶ μὴ μόλῃ
Πρὸς αἱματηρὸν πέλανον, εἶμι τῶν κάτω,
Κόρης, ἄνακτός τ' εἰς ἀνηλίους δόμους,
Αἰτήσομαί τε. καὶ πέποιθ' ἄξειν ἄνω
Ἄλκηστιν. ὥστε χερσὶν ἐνθεῖναι ξένου,
Ὅς μ' εἰς δόμους ἐδέξατ', οὐδ' ἀπήλασε.
Καίπερ βαρείᾳ συμφορᾷ πεπληγμένος.
Ἔκρυπτε δ' ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ.
Τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;
Τίς Ἑλλάδ' οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ, κακὸν
Εὐεργετῆσαι φῶτα, γενναῖος γεγώς.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀδ. Ἰὼ, ἰώ. στυγεραὶ πρόσοδοι, στυγεραὶ δ' ὄψεις

Χήρων

ſer. Verebatur enim te repellere ab hac domo.
Ier. O miſer, qualem amiſiſti coniugem?
er. Periimus omnes, non illa tantum.
Her. At ſenſi quidem, videns oculos lachrymantes,
Et raſuram, & faciem: ſed perſuaſit mihi
Dicens ſe peregrinum funus ad ſepulturam proſequi.
Inuito aũt animo his ſuperatis foribus, *i. ædes ingreſſus*
Bibi in domo viri hoſpitalis,
In hac fortuna verſantis, & commeſſatus ſum, caput
Coronis redimitus. Sed tua culpa eſt, quod non dixiſti,
Propoſito tanto malo *veſtræ* domui.
Vbi eam ſepeliit? vbi inueniam eam vadens?
Ser. Recta via, quæ ducit Lariſſam,
Videbis tumulum politum extra ſuburbium.
Her. O cor, quod multa ſuſtinuit, & ô mea anima,
Nunc oſtende, qualem te filium Tirynthia
Alcmena Electryonis filia Ioui genuerit.
Oportet enim me *nunc* ſeruare recens mortuam
Mulierem, & reſtituere in hanc domum,
Alceſtin, Admetoque gratiam referre.
Profectus igitur mortuorũ reginã atris indutã peplis
Mortem obſeruabo, & ſpero me inuenturum ipſam,
Bibẽtẽ apud tumulũ de victimarũ mactatarũ ſãguine,
Et ſi inſidiis illi ſtructis ex *mea* ſede properans
Eam corripiam, & vndiq; complexus premã meis ma-
Nullus eſt, qui ipſam mihi eripiat [nibus.
Certantem laterib⁹, priusquã mulierẽ mihi dimiſerit.
Si vero hac p̃da fruſtrat⁹ fuero, & *mors* nõ venerit
Ad cruentam molam, deſcendam ad inferos,
In obſcuram domum Proſerpinæ, & Plutonis,
Et poſtulabo, & confido me reducturum eſſe ſurſum
Alceſtim, vt tradam eam in manus mei hoſpitis:
Qui me excepit hoſpitio, nec abegit,
Quamuis eſſet graui calamitate percuſſus,
Sed occultauit *ſuum luctũ* excelſo animo, venerans me,
Quis ex omnibus Theſſalis magis eſt iſto hoſpitalis?
Quis etiã ex Græciæ incolis? q̃obrẽ nõ dicet ſe ingrato
Benefeciſſe viro, cum ipſe ſit animo excelſo.

Admetus.

Io, io. triſtis acceſſus, triſtisque aſpectus

Viduarum ædium. hei mihi, heu mihi. æ, æ.
Quo vadam? vbi conſiſtam? quid dico? quid vero non?
Quomodo queam perire?
Profecto valde infelicem mater me peperit.
Beatos duco mortuos, illos amo.
Illam domum habitare expeto:
Non enim lætor *hanc ſolis* lucem intuens,
Nec in terra pedem eundo figens,
Talem obſidem mihi ereptum
Plutoni mors tradidit.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Procede, procede. Abi *in* latebras ædium. æ, æ.
2 Paſſus es digna lamentis. heu, heu.
3 Es in dolore, bene ſcio. heu, heu.
4 Nihil *tamen* iuuas mortuam. hei mihi, mihi.
5 Non amplius intueri charæ coniugis
6 Vultum coram, triſte *eſt*.

Admetus.

Meminiſti i*llius rei*, quæ ſauciauit meum animum.
,, Quod enim hĩ maius malũ accidere poteſt, q̃ amittere
,, Charã coniugem? vtinã nunquã *hac* vxore ducta,
Habitaſſem cum hac *iſtas* ædes.
,, Felices duco cælibes, & ſine liberis mortales
Pro vna vero anima hac dolere,
Mediocre *eſt* onus.
Liberorum vero morbos, & nuptiales
Lectos morte vaſtatos,
Intolerabile *eſt* aſpicere, cum licuiſſet ſine liberis,
Et ſine coniuge ſemper viuere.

Antiſtrophe I.

Ch. 1 Fatum, fatum ineluctabile venit. heu, heu.
2 Nullum vero finem facis dolorum. heu, heu.
3 Triſtia quidem *ſunt hæc* latu. ſed tamen (heu, heu)
4 Perfer. non *enim* tu primus amiſiſti (hei mihi, mihi)
,, 5 Coniugem: alios enim alia calamitas
,, 6 Premit apparens, mortales.

Admetus.

O longi luctus, & ô dolores propter amicos,
Qui ſunt ſub terra, cur prohibuiſti ô *Chore*,

Ne

Χήρων μελάθρων. ἰώ μοι. αἶ αἶ.
Ποῖ βῶ; πῇ στῶ; τί λέγω; τί δὲ μή;
Πῶς ἂν ὀλοίμαν;
Ἢ βαρυδαίμονα μήτηρ μ' ἔτεκεν,
Ζηλῶ φθιμένους, κείνων ἔραμαι.
Κεῖν' ἐπιθυμῶ δώματα ναίειν.
Οὔτε γὰρ αὐγὰς χαίρω προσορῶν,
Οὔτ' ἐπὶ γαίας πόδα πεζεύων.
Τοῖον ὅμηρόν μ' ἀποσυλήσας
Ἅιδῃ θάνατος παρέδωκεν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Πρόβα, πρόβα. βᾶθι κεῦθος οἴκων. αἶ, αἶ.
2 Πέπονθας ἄξι' αἰαγμάτων ἒ, ἒ.
3 Διόδυνας ἔβας σάφ' οἶδα. φεῦ, φεῦ.
4 Τὸν νέρθεν οὐδὲν ὠφελεῖς. ἰώ μοι μοι.
5 Τὸ μή ποτ' εἰσιδεῖν φιλίας ἀλόχου
6 Πρόσωπον ἄντα λυπρόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀδ. Ἔμνησας ὅ μου φρένας ἥλκωσεν.
„ Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον, ἁμαρτεῖν
„ Πιστῆς ἀλόχου; μή ποτε γήμας,
Ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους.
„ Ζηλῶ δ' ἀγάμους, ἀτέκνους τε βροτῶν.
Ψυχὴ γὰρ μία τῆσδ' ὑπεραλγεῖν,
Μέτριον ἄχθος.
Παίδων δὲ νόσους, καὶ νυμφιδίους
Εὐνὰς θανάτοις κεραϊζομένας,
Οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνοις,
Ἀγάμοις τ' εἶναι διαπαντός.

Ἀντιστροφὴ α'.

χο. 1 Τύχα τύχα δυσπάλαιστος ἥκει. αἶ, αἶ.
2 Πέρας δ' οὐδὲν τίθεις ἀλγέων. ἒ, ἒ.
3 Βαρέα μὲν φέρειν. ὅμως δὲ φεῦ, φεῦ.
4 Τλᾶθ'. οὐ σὺ πρῶτος ὤλεσας, ἰώ μοι μοι.
„ 5 Γυναῖκα. Συμφορὰ δ' ἑτέρους ἑτέρα
„ 6 Πιέζει φανεῖσα θνατῶν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἀδ. Ὦ μακρὰ πένθη, λῦπαί τε φίλων
Τῶν ὑπὸ γαίαν, τί μ' ἐκώλυσας

Ῥίψαι τύμβου τάφρον ἐς κοίλην,
Καὶ μετ' ἐκείνης τῆς μέγ' ἀρίστης
Κεῖσθαι φθίμενον;
Δύο δ' ἀντὶ μιᾶς ᾅδης ψυχὰς
Τὰς πιστοτάτας γε συνέσχεν ὁμοῦ,
Χθονίαν λίμναν διαβάντε.

Στροφὴ β'.

χο. Ἐμοί τις ἦν ἐν γένει,
Ὧ κόρος ἀξιόθρηνος
Ὤιχετ' ἐν δόμοισι
Μονόπαις. ἀλλ' ἔμπας
Ἔφερε κακὸν
Ἅλις, ἄτεκνος ὤν,
Πολιὰς ἐπὶ χαίτας,
Ἤδη προπετὴς ὤν,
Βιότου τε πόρσω.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἄδ. Ὦ σχῆμα δόμων πῶς εἰσέλθω;
Πῶς δ' οἰκήσω μεταπίπτοντος
Δαίμονος; οἴμοι, πολὺ γὰρ τὸ μέσον.
Τότε μὲν πεύκαις σὺν πηλιάσιν,
Σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,
Φιλίας ἀλόχου χέρα βαστάζων,
Πολυάχητος δ' εἵπετο κῶμος,
Τήν τε θανοῦσαν, κἄμ' ὀλβίζων.
Ὡς εὐπατρίδαι, κἀπ' ἀμφοτέρων
Ὄντες ἀρίστων, σύζυγες εἶμεν.
Νῦν δ' ὑμεναίων γόος ἀντίπαλος.
Λευκῶν τε πέπλων μέλανες στολμοὶ,
Πέμπουσί μ' ἔσω,
Λέκτρων κοίτας ἐς ἐρήμους.

Ἀντιστροφὴ β'.

χο. Παρ' εὐτυχῆ σοι πότμον
Ἦλθεν ἀπειροκάκῳ τό-
δ' ἄλγος. ἀλλ' ἔσωσας
Βίοτον, καὶ ψυχάν.
Ἔθανε δάμαρ,
Ἔλιπε φιλίαν.
Τί νέον τόδε; πολλοὺς
Ἤδη παρέλυσε

Θά-

Ne me proiicerem in cauam ſepulchri foſſam,
Et cum illa longe præſtantiſſima *fœmina*
Iacerem mortuus?
Duas enim animas pro vna Pluto
Coniunxiſſet ſimul fideliſſimas,
Transgreſſas paludem infernam.

Strophe II.

Ch. 1 Mihi quidam erat cognatus,
2 Cui filius lamentatione dignus
3 Periit in ædibus
4 Vnicus. ſed tamen
5 Ferebat *hoc* malum
6 Moderate, quamuis eſſet ſine liberis,
7 Canas ad comas
8 Iam præceps exiſtens,
9 Et ætate prouecta.

Admetus.

O facies ædium. quomodo ingrediar?
Quomodo vero habitabo mutata
Fortuna? hei mihi. magnum enim *eſt* diſcrimen.
Tunc enim cum tedis ex monte Pelio ſectis,
Et cum cantu intro ibam,
Charæ coniugis manum tenens:
Perſtrepensq; carmine ſequebatur ſodalium cœtus,
Illam, quæ iam eſt mortua, & me beatos eſſe p̄dicans,
Quod nobiles, & vtrinque
Ex nobiliſſimo genere coniuges eſſemus:
Nunc autem lamentatio hymenæo contraria,
Et *pro* candidis veſtibus atræ veſtes
Me deducunt intro
In deſertum thalami cubile.

Antiſtrophe II.

Ch. 1 Ad proſperam tibi ſortem
2 Venit nondum experto mala
3 Hic dolor. ſed ſeruaſti
4 Vitam *tuam* & animam.
5 Obiit vxor,
6 Reliquit amorem.
7 Quid noui hoc *eſt*? multos *enim alios*
8 Iam ſpoliauit

9 Mors vxore.

Admetus.

O amici, coniugis fortunam beatiorem
Mea eſſe duco: quãuis *aũt hoc* nõ videatur, tamẽ *ſic eſt*.
Hanc enim nullus dolor attinget poſthac,
Et cum magna gloria liberata eſt a multis doloribus.
Ego vero, quem nõ oportebat viuere, p̃tergreſſus fatũ,
Nunc primum diſcens, triſtem degam vitam.
Quomodo enim ſuſtinebo ingreſſum huius domus?
Quem compellaturus? & a quo compellatus,
Iucundum habebo ingreſſum? quo me vertam?
Solitudo enim quæ intus *eſt* perdet me,
Vxore vacuos quum aſpiciam lectos,
Sellaſque in quibus ſedebat, & in ædibus
Squalidum ſolum. *quum* liberi vero genubus
Accidentes, plorabunt matrem: alii vero dominam
Gement, qualem amiſerint ex domo.
Res quidem domeſticæ *ſunt* tales. foris vero me
Nuptialia conuiuia Theſſalorum agitabunt, & cœtus
Frequentes mulierum. non enim ſuſtinebo
Aſpicere coniugis meæ coætaneas.
Quiſquis vero mihi inimicus eſt, dicet hæc:
Vide iſtũ turpiter viuentẽ, qui non ſuſtinuit mori,
Sed ſuam coniugem pro ſe abiiciens præ ignauia,
Effugit mortem: deinde tamẽ ſe virũ eſſe putat, & *ha-*
Et odit parentes, cum ipſe nõ velit [*beri cupit*,
Mori. talem famam præter reliqua mala
Habebo. quid igitur mihi vita diuturnior optãda *eſt*,
Male audienti, & malę rem gerenti? [amici,

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Ego & per Muſas,
,, 2 Et ſublimis, *i. per res ſublimes*, cucurri, &
,, 3 Plurimis volutatis libris,
,, 4 Nihil neceſſitate potentius
,, 5 Iuueni. nec vllum pharmacum *aduerſus hanc repertum*
,, 6 Thraciis in tabulis, quas, *i. in Thr. libris, quos*
,, 7 Orphei conſcripſit
,, 8 Vox. Neque quæcunque Phœbus
,, 9 Æſculapii poſteris tradidit

,, 10 Phar-

Digitized by Google

Θάνατος δάμαρτος.

ΙΑΜΒΟΙ.

Φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
Τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως.
Τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
Πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
Ἐγὼ δ', ὃν οὐ χρὴ ζῆν, παρεὶς τὸ μόρσιμον,
Λυπρὸν διάξω βίοτον, ἄρτι μανθάνων.
Πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
Τίν' ἂν προσειπών; τοῦ δὲ προσρηθεὶς ὕπο,
Τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
Ἡ μὲν γὰρ ἔνδον ἐξολεῖ μ' ἐρημία,
Γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενάς,
Θρόνους τ' ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
Αὐχμηρὸν οὖδας. τέκνα δ' ἀμφὶ γούνασι
Πίπτοντα, κλαίῃ μητέρ'. οἱ δὲ δεσπότιν
Στένωσιν, οἵαν ἐκ δόμων ἀπώλεσαν.
Τὰ μὲν κατ' οἴκους, τοιάδ'. ἔξωθεν δέ με
Γάμοι γ' ἐλῶσι Θεσσαλῶν, ξύλλογοι
Γυναικοπληθεῖς. οὐ γὰρ ἐξανέξομαι
Λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
Ἐρεῖ δέ μ' ὅστις ἐχθρὸς ὢν κυρεῖ, τάδε.
Ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ', ὃς οὐκ ἔτλη θανεῖν,
Ἀλλ' ἣν ἔγημεν ἀντιδοὺς ἀψυχίᾳ,
Πέφευγεν ᾅδην. κᾆτ' ἀνὴρ εἶναι δοκεῖ,
Στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
Θανεῖν. τοιάνδε πρὸς κακοῖσι κληδόνα
» Ἕξω. τί μοι ζῆν δῆτα κύδιον φίλοι,
» Κακῶς κλύοντι, καὶ κακῶς πεπραγότι;

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Ἐγὼ καὶ διὰ μούσας
» Καὶ μετάρσιος ἦξα, καὶ
» Πλεῖστον ἁψάμενος λόγων,
» Κρεῖσσον οὐδὲν ἀνάγκας
» Εὗρον. οὐδέ τι φάρμακον
» Θρήσσαις ἐν σανίσι, τὰς
» Ὀρφεία κατέγραψε
» Γῆρυς. οὐδ' ὅσα Φοῖβος
» Ἀσκληπιάδαις παρέδωκε

Digitized by Google

,, 10 Φάρμακα, πολυπόνοις
11 Ἀντιτεμὼν βροτοῖσι.

Ἀντιστροφὴ α'.

1 Μόνας δ' οὔτ' ἐπὶ βωμοὺς
2 Ἐλθεῖν, οὔτε βρέτας θεᾶς
3 Ἐστὶν, οὐ σφαγίων κλύει.
4 Μή μοι πότνια μείζων
5 Ἔλθοις, ἢ τοπρὶν ἐν βίῳ.
6 Καὶ γὰρ Ζεὺς ὅ,τι νεύσῃ,
7 Σὺν σοὶ τοῦτο τελευτᾷ.
8 Καὶ τὸν ἐν Χαλύβοισι
9 Δαμάζεις σὺ βίᾳ σίδηρον.
,, 10 Οὐδέ τις ἀποτόμου
11 Λήματός ἐστιν αἰδώς.

Στροφὴ β'.

1 Καί σ' ἐν ἀφύκτοισι χερῶν
2 Εἷλε θεὰ δεσμοῖς.
3 Τόλμα δ', οὐ γὰρ ἀνά-
4 ξεις ποτ' ἔνερθεν
5 Κλαίων τοὺς φθιμένους ἄνω.
6 Καὶ θεῶν σκότιοι φθίνουσι
7 Παῖδες ἐν θανάτῳ.
8 Φίλα μὲν ὅτ' ἦν γε μεθ' ἡμῶν,
9 Φίλα δέ τι καὶ θανοῦσα.
10 Γενναιοτάτην δὲ πασᾶν
11 Ἐζεύξω κλισίαις ἄκοιτιν.

Ἀντιστροφὴ β'.

1 Μηδὲ νεκρῶν ὡς φθιμένων,
2 Χῶμα νομιζέσθω
3 Τύμβος σᾶς ἀλόχου.
4 Θεοῖσι δ' ὁμοίως
5 Τιμάσθω σέβας ἐμπόρων.
6 Καί τις δοχμίαν κέλευθον
7 Ἐκβαίνων, τόδ' ἐρεῖ,
8 Αὕτα ποτὲ προὔθαν' ἀνδρὸς,
9 Νῦν δ' ἐστὶ μάκαιρα δαίμων,
10 Χαῖρ' ὦ πότνι', εὖ δὲ δοίης.
11 Τοῖαί νιν προσεροῦσι φῆμαι.

ΙΑΜΒΟΙ.

Καὶ μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος,

Ἀδ-

Digitized by Google

„ 10 Pharmaca, ærumnoſis
„ 11 Aduerſus *ærumnas* præbens mortalibus.

Antiſtrophe I.

1 Solius vero *Neceſſitatis* nec ad aras
2 Venire, nec *ad* ſimulachrum *huius* Deæ
3 Licet *accedere*. non *enim* exaudit victimas, *nec iu flecti-*
4 Ne mihi veneranda, maior [*tur.*
5 Venias, quam prius, in vita.
6 Etenim quidquid Iupiter annuerit, *atq; decreuerit*,
7 Tecum hoc perficit.
8 Et quod apud Chalybes
9 Ferrum *naſcitur*, domas ſine vi.
„ 10 Nec vllus præfractæ
„ 11 Menti ineſt pudor.

Strophe II.

1 Et te, *Admete*, ineuitabilibus manuum
2 Cepit *hæc* Dea vinculis.
3 Perdura vero. non enim redu-
4 ces vnquam ab Inferis
5 Flendo, defunctos, ad ſuperos.
6 Et Deorum nothi pereunt
7 Liberi morte.
8 Erat tum nobis chara quando nobiſcum erat,
9 Etiam adhuc mortua nobis chara eſt.
10 Generoſiſſimam vero omnium
11 Adiunxiſti *tibi* ſociam tori *in* ædibus.

Antiſtrophe II.

1 Ne vero mortuorum vt vita defunctorum
2 Agger exiſtimetur
3 Sepulchrum tuæ coniugis.
4 Diis at ſimiliter, *i. vt dii coli ſolent*,
5 Colatur, numen viatorum, *quod viatores adorent*.
6 Et aliquis obliquam viam
7 Vadens, hoc dicet:
9 Hæc quondam obiit pro viro,
11 Nunc vero eſt beata Dea.
10 Salue ô veneranda, & bona des *nobis*.
11 Tales ipſam ſalutabunt voces.

Atqui, vt videtur, hic Alcmenæ filius,

Ad-

Admete, ad tuam domum venit.

Her. Ad virum amicum libere dicendum eſt,
Admete, & non retinendæ reprehenſiones in pectore
Tacitè. ego enim in tuis malis volebam
Huc accedens explorari amicus.
Tu vero non dixiſti propoſitum cadauer
Tuæ coniugis, ſed me excepiſti hoſpitio,
Tanquam curam habens alieni mali.
Et coronaui caput, & libaui diis [ſtis.
Libationes, in tuis ędib. aduerſa fortuna preſſis. *i. fune-*
Quãobrẽ *de te* iã cõqueror, cõqueror hęc *abs te* paſſus.
Non tamen te volo contriſtare in malis.
Cuius vero rei cauſa venio huc, reuerſus denuo
Dicam. Hãc mulierem ſerues mihi *a me* acceptã,
Donec adducens Thracios equos huc
Rediero, interfecto tyranno Biſtonum.
Si vero *male rem* geſſerim (φ auertãt Dii. vtinã n. re-
Do hanc ancillam tuæ familiæ. [deam)
Venit autẽ in meas manus *cum* multis laboribus.
Inuenio enim aliquos publicum certamen
Ponentes athletis, dignum labore:
Vnde abduco hanc, præmium victoriæ
Accipiens. Illis enim, qui *in* leuioribus *certaminibus*
vincebant, licebat
Equos abducere. Illis vero qui *in* grauioribus
Vincebant, *ſcilicet in* pugilatu, & lucta, armenta, *i. bo-*
ues accipiebant. [adepto,
Mulier vero præterea ſequebatur. *mihi* vero caſu *hanc*
Turpe fuiſſet glorioſum hoc lucrum negligere.
Verum vt dixi, tibi oportet curę eſſe hanc mulierem.
Nõ enim furto partã: ſed cũ *honeſto* labore acceptã,
Venio *adducens*. tandẽ vero & tu *pro hoc dono* me lau-
dabis fortaſſe. [fames ponens,

Ad. Neq; te contemnens, neq; inter *homines* turpes, *occu-*
Celaui meæ coniugis miſeræ calamitates:
Sed fuiſſet mihi dolor hic additus dolori,
Si iuiſſes ad alius hoſpitis ædes.
Satis enim mihi fuit hoc meum deplorare malum.
Mulierem vero, ſi quo modo licet, oro te rex.
Alium aliquem, qui non ſit paſſus qualia ego,

Ser-

Ἄδμητε, πρὸς σὴν ἱστίαν πορεύεται.
ἡρ. Φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν,
Σιγῶντ'. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν
Ἐγγὺς παρεστὼς, ἐξετάζεσθαι φίλος.
Σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
Γυναικός. ἀλλά μ' ἐξένιζες ἐν δόμοις,
Ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.
Κἄστεψα κρᾶτα, καὶ θεοῖς ἐσπεισάμην
Σπονδὰς, ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.
Καὶ μέμφομαι δὴ, μέμφομαι παθὼν τάδε.
Οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
Ὧν δ' οὕνεχ' ἥκω, δεῦρ' ὑποστρέψας πάλιν,
Λέξω. γυναῖκα τήνδε μοι σῶσον λαβὼν,
Ἕως ἂν ἵππους δεῦρο Θρηΐκας ἄγων
Ἔλθω, τύραννον Βιστόνων κατακτανών.
Πράξας δ' ὃ μὴ τύχοιμι, νοστήσαιμι γὰρ,
Δίδωμι τήνδε σοῖσι πρόσπολον δόμοις.
Πολλῷ δὲ μόχθῳ ἦλθε χεῖρας εἰς ἐμάς.
Ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
Τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου.
Ὅθεν κομίζω τήνδε, νικητήρια
Λαβών. τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν, ἦν
Ἵππους ἄγεσθαι. τοῖσι δ' αὖ τὰ μείζονα
Νικῶσι, πυγμὴν, καὶ πάλην, βουφόρβια.
Γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'. ἐντυχόντι δὲ,
Αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
Ἀλλ' ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή.
Οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν,
Ἥκω. χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.
ἄδ. Οὔτοι σ' ἀτιμάζων, οὐδ' ἐν αἰσχροῖσι τιθεὶς,
Ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίου τύχας,
Ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
Εἴπερ πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου.
Ἅλις δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
Γυναῖκα δ' εἴ πως ἔστιν, αἰτοῦμαί σ' ἄναξ,
Ἄλλον τιν', ὅστις μὴ πέπονθεν οἷ' ἐγὼ,

Σώ-

Σώζειν ἀνώχθει Θεσσαλῶν. πολλοὶ δέ σοι
Ξένοι Φεραίων. μή μ' ἀναμνήσῃς
    κακῶν.
Οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμασιν,
Ἄδακρυς εἶναι, μὴ νοσοῦντί μοι νόσον
Προσθῇς. ἅλις γὰρ συμφορᾷ βαρύνομαι.
Ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
Νέα γὰρ ὡς, ἐσθῆτι καὶ κόσμῳ πρέπει.
Πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
Καὶ πῶς ἀκραιφνὴς ἐν νέοις στρωφωμένη
„ Ἔσται; τὸν ἡβῶνθ' Ἡράκλεις οὐ ῥᾴδιον
„ Εἴργειν. ἐγὼ δέ σου προμηθίαν ἔχω.
Ἢ τῆς θανούσης εἰς θάλαμον βύσας τρέφω.
Καὶ πῶς ἐπεισφρῶ τήνδε τῷ κείνης λέχει;
Διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν
Μή τίς μ' ἐλέγξῃ, τὴν ἐμὴν εὐεργέτιν
Προδόντ', ἐν ἄλλης δεμνίοις πίτνειν νέας,
Καὶ τῆς θανούσης, ἀξία δέ μοι σέβειν.
Πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ' ὦ γύναι,
Ἥτις ποτ' εἶ σύ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
Μορφῆς μέτρ' ἴσθι, καὶ προσῄξαι δέμας.
Οἴμοι κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
Γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
Δοκῶ γὰρ αὐτὴν εἰσορῶν, γυναῖκ' ἐμὴν
Ἐμήν. θολοῖ δὲ καρδίαν. ἐκ δ' ὀμ-
    μάτων
Πηγαὶ κατερρώγασιν. ὦ τλήμων ἐγώ,
Ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ.
[illegible] Ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην.
Χρὴ δ' ὅστις εἶ σύ, καρτερεῖν θεοῦ δόσιν.
ἡρ. Εἰ γὰρ τοσαύτην δύναμιν εἶχον ἐκ Διός,
Εἰς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
Γυναῖκα, καὶ σοὶ τήνδε πορσῦναι χάριν.
ἀδ. Σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
„ Οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.
ἡρ. Μή νυν ὑπέρβαιν', ἀλλ' ἐναισίμως
    φέρε.
ἀδ. Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
ἡρ. Τί δ' ἂν προκόπτοις, εἰ θέλοις ἀεὶ στένειν;
ἀδ. Ἔγνωκα καὐτός, ἀλλ' ἔρως τίς μ' ἐξάγει.

ἡρ.

Digitized by Google

Seruare iube, Theſſalorum. multi vero tibi *ſunt*
Hoſpites inter Pheræos: ne redigas mihi in memoriam *mea* mala.
Non poſſem, videns hanc in domo,
Sine lachrymis eſſe: ne dolenti mihi dolorem
Addas. ſatis enim *mea* calamitate grauor.
In qua parte ædium educabitur iuuencula?
(Nam vt iuuencula, veſte & ornatu nitet)
Vtrum igitur in virorum habitabit tectis?
Et quomodo pura verſans inter iuuenes,
,, Erit? non eſt facile iuuenes, ô Hercules,
,, Coercere: ego vero tui prouidam curam gero.
An alam *eam*, abdens in thalamum mortuæ?
Et quomodo inferam hanc in lectum illius?
Duplicem metuo repræhenſionem, & ex ciuibus
Ne quis me reprehendat, quod *uxorē* de me bene me-
Prodens, in alterius iuuenculæ lectis iaceā. [ritam
Et huius mortuæ (digna n. eſt quę a me colatur)
Oportet me habere rationem. Tu autem ô mulier
Quæcunq; tandem tu ſis, ſimilem habere te Alceſtidi
Formæ modum ſcito, & es ſimilis corpore.
Heu mihi aufer per deos a meis oculis
Iſtam mulierem, ne me occidas perditum.
Videor enim ipſam intuens, coniugem intueri
Meam: turbat autem *hic aſpectus meum* cor, & ex oculis *lachrymarum*
Fontes erumpunt. ô me miſerum,
Quam acerbum luctum hunc iam guſto.

Cho. Ego quidē non poſſem laudare *præſentē* fortunā.
Oportet autem *te*, quiſquis ſis tu, ſuſtinere q deus dat.

Her. Vtinam vero tantam vim haberem a Ioue,
Vt in lucem reducerem ex inferorum ædibus
Tuam coniugem, & tibi hoc præſtarem officium.

Ad. Satis ſcio tuam voluntatē. ſed vbi hoc fieri poteſt?
,, Impoſſibile eſt mortuos redire in vitam.

Her. Ne nunc tranſgrediaris modum, ſed *tuum malum* feras moderate.

Ad. Facilius eſt conſolari, quam miſeriam ſuſtinere.

Her. Quid vero proficies, ſi ſemper gemere velis?

Ad. Scio & ipſe. ſed amor quidam *ad hoc* me rapit.

Her.

Digitized by Google

Her. Amare enim mortuum, elicit lachrymas.
Ad. Perdidit me,& multo magis quam dicere poſſum.
Her. Amiſiſti bonam coniugem:quis contradicet?
Ad. Ita vt hic vir non amplius delectetur *hac* vita.
Her. Tempus *dolorē* molliet:nunc vero malū tuū adhuc recens eſt.
Ad. Tempus dixeris,ſi tempus eſt mori.
Her. Mulier abducet te a luctu, & deſideriū nouarū nuptiarum.
Ad. Tace.quid dixiſti? nunquam *hoc* putaſſem.
Her. Quid?non duces igitur vxorem,ſed manebis viduus?
Ad. Nulla *mulier* eſt,quę cū hoc,*i. mecū* ſit cubitura.
Her. Num ſperas aliquid te prodeſſe mortuæ?
Ad. Illam decet honore affici vbicunque eſt.
Her. Laudo quidem *hoc*, laudo: ſed ſtultitiæ obnoxius es.
Ad. Vt nunq̃ virū hūc ſpōſum vocatur, *lauda,vel vitupera.*
Her. Laudo,quia coniugi fidus es amicus.
Ad. Morerer, ſi illā proderē, quāuis nō ſit amplius *in viuis.*
Her. Recipias nunc in domum iſtam generoſam.
Ad. Ne *iubeas me hoc facere* oro te per Iouem patrē tuum.
Her. Atqui peccabis,non faciens hoc.
Ad. Faciens autem,mordebor dolore *in* corde.
Her. Obtempera. fortaſſe enim opportuna erit gratia.
Ad. Heu, vtinam ex certamine hanc nunquam accepiſſes.
Her. Cum tamen ego vinco,tu vna mecum vincis.
Ad. Recte dixiſti,ſed mulier hæc abeat.
Her. Abibit ſi oportet,ſed primum vide an ſit vtile.
Ad. Oportet,ſi modo tu mihi nolis iraſci.
Her. Sciens quiddam & ego , tantum adhibeo ſtudium.
Ad. Vince nunc. non tamen grata mihi facis.
Her. Sed erit tempus,cum laudabis nos.obtempera ſolum.
Ad. Deducite,ſiquidem oportet hanc recipere in ædes.
Her. Non committam hanc mulierem miniſtris.
Ad. Tu igitur ipſe ipſam introducito,ſi placet,in domum.
Her. Imo vero ego in tuas manus tradam.
Ad. Non attingam *eam*,licet vero intrare domum.
Her. Commendo eam tantum tuæ dextræ.
Ad. Cogis me rex,non volentem hæc facere.
Her. Auſis extendere manum,& attingere hoſpitam.
Ad. Atqui extendo *eam* vt Gorgoni caput reſectæ.
Her. Habes? *A.* Etiam habeo. *H.* Serua nunc eam:& Iouis
Filium olim dices eſſe egregium hoſpitem.

In-

ἡρ. Τὸ γὰρ φιλῆσαι τὸν θανόντ', ἄγει δάκρυ.
ἄδ. Ἀπώλεσέν με, κἄτι μᾶλλον ἢ λέγω.
ἡρ. Γυναικὸς ἐσθλῆς ἤμπλακες. τίς ἀντερεῖ;
ἄδ. Ὥστ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ.
ἡρ. Χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβᾷ σοι κακόν.
ἄδ. Χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν.
ἡρ. Γυνή σε παύσει, καὶ νέου γάμου πόθος.
ἄδ. Σίγησον. οἷον εἶπας. οὐκ ἂν ᾠόμην.
ἡρ. Τί δ'; οὐ γαμεῖς γὰρ, ἀλλὰ χηρεύσεις μόνος;
ἄδ. Οὐκ ἔστιν ἥτις τῷδε συγκλιθήσεται.
ἡρ. Μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;
ἄδ. Κείνην ὅπου περ ἐστὶ, τιμᾶσθαι χρεών.
ἡρ. Αἰνῶ μὲν, αἰνῶ. μωρίαν δ' ὀφλισκάνεις.
ἄδ. Ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.
ἡρ. Ἐπῄνεσ', ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.
ἄδ. Θάνοιμ', ἐκείνην καίπερ οὐκ οὖσαν προδούς.
ἡρ. Δέχου νυν εἴσω τήνδε γενναίαν δόμων.
ἄδ. Μὴ πρὸς σε τοῦ σπείραντος αἰτοῦμαι Διός.
ἡρ. Καὶ μὴν ἁμαρτήσῃ γε μὴ δράσας τάδε.
ἄδ. Καὶ δρῶν γε, λύπῃ καρδίαν δηχθήσομαι.
ἡρ. Πιθοῦ. τάχ' ἂν γὰρ εἰς δέον πέσοι χάρις.
ἄδ. Φεῦ, εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ λάβοις ποτέ.
ἡρ. Νικῶντι μέντοι, καὶ σὺ συννικᾷς ἐμοί.
ἄδ. Καλῶς ἔλεξας. ἡ γυνὴ δ' ἀπελθέτω.
ἡρ. Ἄπεισιν, εἰ χρή. πρῶτα δ' εἰ χρεὼν, ὅρα.
ἄδ. Χρὴ, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
ἡρ. Εἰδώς τι κἀγὼ, τήνδ' ἔχω προθυμίαν.
ἄδ. Νίκα νυν. οὐ μὴν ἁνδάνοντά μοι ποιεῖς.
ἡρ. Ἀλλ' ἔσθ' ὅθ' ἡμᾶς αἰνέσεις. πιθοῦ μόνον.
ἄδ. Κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
ἡρ. Οὐκ ἂν μεθείην τὴν γυναῖκα προσπόλοις.
ἄδ. Σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις.
ἡρ. Εἰς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
ἄδ. Οὐκ ἂν θίγοιμι. δῶμα δ' εἰσελθεῖν πάρα.
ἡρ. Τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
ἄδ. Ἄναξ, βιάζῃ μ' οὐ θέλοντα δρᾶν τάδε.
ἡρ. Τόλμα προτείνειν χεῖρα, καὶ θιγεῖν ξένης.
ἄδ. Καὶ μὴν προτείνω, Γοργόν' ὡς καρατομῶν.
ἡρ. Ἔχεις; Α. ἔχω ναί. Η. σῶζέ νυν. καὶ τὸν Διὸς
Φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον,

Βλέ-

Digitized by Google

Βλέψον ἐς αὐτὴν, εἴ τι σοὶ δοκεῖ πρέπειν
Γυναικί. λύπης δ' εὐτυχῶν μεθίστασο.
ἄδ. Ὦ θεοί, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε,
Γυναῖκα λεύσσων τήνδ' ἐμὴν ἐτητύμως.
Ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;
ἡρ. Οὐκ ἔστιν. ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.
ἄδ. Ὅρα γε, μή τι φάσμα νερτέρων τόδ' ᾖ.
ἡρ. Οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.
ἄδ. Ἀλλ' ἣν ἔθαπτον εἰσορῶ δάμαρτ' ἐμήν;
ἡρ. Σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχην.
ἄδ. Θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ'
ἐμήν;
ἡρ. Πρόσειπ'. ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.
ἄδ. Ὦ φιλτάτης γυναικὸς ὄμμα, καὶ δέμας,
Ἔχω σ' ἀέλπτως, οὔ ποτ' ὄψεσθαι δοκῶν.
ἡρ. Ἔχεις. φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
ἄδ. Ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
Εὐδαιμονοίης. καί σ' ὁ φυτεύσας πατὴρ
Σώζοι. σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος.
Πῶς τήνδ' ἔπεμψας νέρθεν εἰς φάος τόδε;
ἡρ. Μάχην συνάψας δαιμόνων τῷ κοιράνῳ.
ἄδ. Ποῦ τόνδε θανάτῳ φῂς ἀγῶνα συμβαλεῖν;
ἡρ. Τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
ἄδ. Τί γάρ ποθ' ἥδ' ἄναυδος ἕστηκεν γυνή;
ἡρ. Οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
Κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
Ἀφαγνίσηται, καὶ τρίτον μόλῃ φάος.
Ἀλλ' εἴσαγ' εἴσω τήνδε. καὶ δίκαιος ὤν,
Τὸ λοιπὸν Ἄδμητ' εὐσέβει περὶ ξένους.
Καὶ χαῖρ'. ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
ἄδ. Μεῖνον παρ' ἡμῖν, καὶ ξυνέστιος γενοῦ.
ἡρ. Αὖθις τόδ' ἔσται. νῦν δ' ἐπείγεσθαί με δεῖ.
ἄδ. Ἀλλ' εὐτυχοίης. νόστιμον δ' ἔλθοις δόμον.
Ἀστοῖς δὲ, πᾶσί τ' ἐννέπω τετραρ-
χίαις,
Χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι,
Βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
Νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
Τοῦ πρόσθεν. οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

ΑΝΑ-

Intuere eam, nunquid videatur eſſe ſimilis
Tua coniugi:& tu beatus iam recede a dolore.
Ad. O dii, quid dicam? miraculũ hoc inſperatum *eſſe credo*,
Coniugem cernens hanc meam reuera.
An aliq̃ Dei vanũ *fallaxq;* gaudiũ me facit attonitũ?
Her. Non eſt: ſed intueris hanc tuam couiugem.
Ad. Vide tamen ne hoc ſit aliquod inferorum ſpectrum.
Her. Non præſtigiatorem hunc hoſpitem feciſti.
Ad. An video coniugem, quam ſepeliebam?
Her. Certo ſcias. nõ miror aũt te fortunę tuę nõ credere.
Ad. Contrecto. *ſed an etiam hanc* alloquar vt meam vxo-
rem viuam?
Her. Alloquere. habes enim quod voluiſti.
Ad. O chariſſimæ coniugis facies, & corpus,
Habeo te præter ſpem, exiſtimans fore vt nunquam te [viderem.
Her. Habes. inuidia vero nulla deorũ adſit.
Ad. O maximi Iouis generoſe fili,
Beatus ſis, & pater, qui te genuit, *te*
Seruet: tu enim mea reſtituiſti ſolus.
Quomodo hanc reduxiſti ex inferis in iſtam lucem?
Her. Commiſſa pugna cum rege dæmonum.
Ad. Vbi hanc cum morte te commiſiſſe dicis?
Her. Apud ipſum tumulũ ex inſidiis *eam* corripiẽs manib.
Ad. Cur vero mulier hæc muta ſtat?
Her. Nondum fas tibi huius compellationes
Audire, priuſquam diis inferis
Fuerit purificata, & venerit tertius dies,
Introducas igitur eam, & cum ſis iuſtus,
In cæterum ſis pius erga hoſpites:
Et vale. ego vero propoſitum certamen
Stheneli filio regi conficiam *hinc* diſcedens,
Ad. Maneas nobiſcum, & ſis meus hoſpes.
Her. Iterum hoc *aliquando* fiet. nũc.n. oportet me ꝓperare.
Ad. Ergo ſis felix, hancque redux reuiſas domum.
Ciuibus vero, omnibusque impero tetrarchiis, *& præ-
fecturarum principibus*,
Vt choros ob felicẽ rerũ euẽtũ inſtituãt, *ac agitent*.
Araſq; ꝓfundãt odoribus, & opimarũ victimarũ ſup-
Nũc.n. in meliorẽ vitã traducti ſumus, [plicationib.
Quã q̃ fuit antea. haud .n. negabo *nunc* me beatũ eſſe.

Digitized by Google

Chorus.

Multæ ſunt formæ rerum diuinitus euenientium,
Et multa præter ſpem dii perficiunt,
Et quæ videbantur euentura, non ſunt perfecta ex-
pectabantur,
Inopinatorum vero exitum inuenit Deus.
Talis euaſit hæc res, *talem euentum eſt ſortita.*

Finis Alceſtidis.

ARGV-

ΑΝΑΠΑΙΣΤΟΙ.

Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ', οὐκ ἐτελέσθη.
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Εὐριπίδου Ἄλκηστις.

ΥΠΟΘΕΣΙΣ ΑΝΔΡΟΜΑΧΗΣ.

Νεοπτόλεμος ἐν Τροίᾳ γέρας λαβὼν, Ἀνδρομάχην τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τ Μολοττὸν. ὕστερον δ' ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δ' αἰτήσας τοῦ Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον, μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δ' ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς, ἐβουλεύετο κατ' αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον, καὶ τὸ παιδίον ἀνεῦρον, καὶ ἐκείνην ἀπατήσαντες ἀνήγαγον· καὶ σφάζειν μέλλοντες ἀμφοτέρους, ἐκωλύθησαν, τοῦ Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην. Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης, ταύτην μὲν ἀνήγαγεν εἰς Σπάρτην, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν. ὃν καὶ φονευθέντα, παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν, Θέτις φανεῖσα, τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδὸς, αὐτὸν δ' εἶναι ἀθανασίαν προσδέχεσθαι. τυχὼν δὲ ταύτης, εἰς μακάρων νήσους ᾤκησεν. Ἡ μὲν σκηνὴ τοῦ δράματος, ἐν Φθίᾳ κεῖται. ὁ δὲ χορὸς, συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα, τῶν δευτέρων. ὁ πρόλογος σαφῶς, καὶ εὐλόγως εἰρημένος. ἔτι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης, ἐν τῷ δευτέρῳ μέρει ῥῆσις Ἑρμιόνης, τὸ βασιλικὸν ἐμφαίνουσα καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος, καλῶς ἔχων. εὖ δὲ καὶ ὁ Πηλεὺς, ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Ἀνδρομάχη.	Ἑρμιόνη.	Ὀρέστης.
Θεράπαινα.	Μενέλαος.	Ἄγγελος.
Χορὸς ἐκ Φθιωτίδων.	Μολοττός.	Θέτις.
	Πηλεύς.	

Προλογίζει δὲ ἡ Ἀνδρομάχη.

ΕΥΡΙ-

ARGVMENTVM ANDROMACHAE.

Neoptolemus ad Troiam munus accipiens Andromachen Hectoris vxorẽ, filium ex ea genuit Moloſſum: poſtea autem ſuperduxit Hermionen Menelai filiam. Sed cum primum poſtulaſſet pœnam interfectionis Achillis ab Apolline in Delphis, rediit ad oraculum, agens pœnitentiam, vt deum placaret. Sed regina habens ſe zelotype erga Andromachen, molita eſt ei mortem, accerſens Menelaum. Illa autem infantem ablegauit, ac ipſa fugit ad templum Thetidis. Porro qui erant circa Menelaum, & puerum inuenerunt, & illam deceptam templo eduxerunt: cumq; eſſent interfecturi vtrunq;, prohibiti ſunt ab interueniente Peleo. Menelaus ergo rediit Spartam: Hermione autem egit pœnitentiam, verita præſentiam Neoptolemi. Adueniens autem Oreſtes, hãc quidem reduxit Spartam, Neoptolemo autem inſidias poſuit: isq; interfectus abſportatur. Peleo autem volenti lugere mortuum, Thetis apparens, hunc quidem iuſſit in Delphis ſepeliri, Andromachen autem mitti ad Moloſſos cum puero. Ipſum autem Pelea dixit immortalitatem habiturum: qua is potitus, habitauit in inſulis fortunatis. Scena fabulæ eſt in Phthia, chorus autem conſtat ex Phthiis mulieribus. Præfatur Andromache. Hæc fabula eſt ſecundi ordinis. prologus eſt perſpicuus, & veriſimiliter dictus: & elegiaca carmina in querela Andromaches ſunt ſecundi gradus. Oratio Hermiones eſt regalis, & pulchra etiam oratio ad Andromachen. Bene & Peleus loquitur, liberans Andromachen.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Andromache.	*Hermione.*	*Oreſtes.*
Famula.	*Menelaus.*	*Nuncius.*
Chorus ex Phthiis.	*Moloſſus.*	*Thetis.*
	Peleus.	

Prologum autem agit Andromache.

EVRIPIDIS
ANDROMACHE.

Andromache.

ASiaticæ terræ decus, Thebana ciuitas,
Vnde quondam dotis cum opulentis deliciis
Veni ad regiam domum Priami,
Data coniunx fœcunda Hectori,
Andromache ſuſpicienda quidem priore tempore.
Nunc vero nulla alia calamitoſior mulier
Me eſt, neque erit vnquam.
Quæ maritum quidem Hectorem ab Achille
Interfectum vidi, & filium, quem peperi marito,
Aſtyanacta proiectum ab arduis turribus,
Poſtquam Græci ceperunt ſolum Troiæ.
Ipſa autem ſerua, liberrimæ
Familiæ antea habita, in Græciam veni,
Inſulari Neoptolemo munus belli
Data, electum ex præda Troiana,
Huius vero Phthiæ, & vrbis Pharſaliæ
Vicinos campos habito, vbi marina
Thetis habitauit cum Peleo ſeorſim ab hominibus,
Fugiens frequentiā hominū: Theſſalic⁹ vero populus
Vocat Thetidium, propter nuptias deę. [hūc locum
Vbi domum hanc habuit filius Achillis,
Peleum vero ſinit regere terram Pharſaliam,
Viuo ſene ſceptrum non volens accipere.
Et ego in his ædibus pario puerum marem
Congreſſa cum filio Achillis, & meo domino:
Et prius quidem quamuis iacerem in malis, tamen
Spes me ſemper fouebat, viuo filio
Me inuenturā aliquod præſidium, & auxiliū in malis.
Poſtquam vero Lacænam Hermionem ducit,
Meus dominus, auerſatus meum ſeruilem lectum,
Malis ab ipſa miſeris exagitor.
Dicit enim, quod eam occultis pharmacis

Digitized by Google

ΕΥΡΙΠΙΔΟΥ

ΑΝΔΡΟΜΑΧΗ.

ΙΑΜΒΟΙ.

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,
Ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
Δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
Ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ.
Νῦν δ' εἴ τις ἄλλη δυστυχεστάτη γυνὴ
Ἐμοῦ πέφυκεν, ἢ γενήσεταί ποτε.
Ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
Θανόντ' ἐσεῖδον, παῖδά θ', ὃν τίκτω πόσει,
Ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
Ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον.
Αὐτὴ δὲ δούλη, τῶν ἐλευθερωτάτων
Οἴκων νομισθεῖσ', Ἑλλάδ' εἰσαφικόμην,
Τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
Δοθεῖσα, λείας τρωϊκῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε, καὶ πόλεως Φαρσαλίας
Σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις
Φεύγουσ' ὅμιλον. Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ, θεᾶς χάριν νυμφευμάτων.
Ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας.
Ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
Κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
Πλαθεῖσ' Ἀχιλλέως παιδὶ, δεσπότῃ τ' ἐμῷ.
Καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
Ἐλπίς μ' ἀεὶ προσῆγε, σωθέντος τέκνου
Ἀλκήν τιν' εὑρεῖν, κἀπικούρησιν κακῶν.
Ἐπεὶ δὲ τὴν λάκαιναν Ἑρμιόνην γαμεῖ,
Τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
Κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
Λέγει γὰρ, ὥς νιν φαρμάκοις κεκρυμμένοις

Τίθημ᾽ ἄπαιδα, καὶ πόσει μισουμένην,
Αὐτὴ δὲ ναίειν οἶκον ἀντ᾽ αὐτῆς θέλω
Τόνδ᾽, ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ,
Ἃ ᾽γὼ τὸ πρῶτον οὐχ᾽ ἑκοῦσ᾽ ἐδεξάμην,
Νῦν δ᾽ ἐκλέλοιπα. Ζεὺς τάδ᾽ εἰδείη μέγας,
Ὡς οὐχ ἑκοῦσα τῷδ᾽ ἐκοινώθην λέχει.
Ἀλλ᾽ οὔ σφε πείθω. βούλεται δέ με κτανεῖν.
Πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
Καὶ νῦν κατ᾽ οἴκους ἔστ᾽ ἀπὸ Σπάρτης μολὼν
Ἐπ᾽ αὐτὸ τοῦτο. δειματουμένη δ᾽ ἐγὼ,
Δόμων πάροικον, Θέτιδος εἰς ἀνάκτορον
Θάσσω τόδ᾽ ἐλθοῦσ᾽, ἄν με κωλύσῃ θανεῖν.
Πηλεύς τε γάρ νιν, ἔκγονοί τε Πηλέως,
Σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
Ὃς δ᾽ ἐστὶ παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ
Ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
Ὁ γὰρ φυτεύσας αὐτὸν, οὔτ᾽ ἐμοὶ πάρα
Προσωφελῆσαι, παιδί τ᾽ οὐδέν ἐστ᾽ ἀπὼν
Δελφῶν κατ᾽ αἶαν, ἔνθα Λοξίᾳ δίκην
Δίδωσι μανίας, ἣν τότ᾽, ἐς Πυθὼ μολὼν,
Ἤιτησε Φοῖβον πατρὸς, οὗ τίνει δίκην,
Εἴ πως τὰ πρόσθεν σφάλματ᾽ ἐξαιτούμενος
Θεὸν παράσχοιτ᾽ ἐς τὸ λοιπὸν εὐμενῆ.
Θε. Δέσποιν᾽, ἐγώ τοι τοὔνομ᾽ οὐ φεύγω τόδε
Καλεῖν σ᾽, ἐπείπερ καὶ κατ᾽ οἶκον ἠξίουν
Τὸν σὸν, τὸ Τροίας ἡνίκ᾽ ᾠκοῦμεν πέδον.
Εὔνους δὲ καὶ σοὶ, ζῶντί τ᾽ ἦν τῷ σῷ πόσει.
Καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
Φόβῳ μὲν μή τις δεσποτῶν αἰσθήσεται,
Οἴκτῳ δὲ τῷ σῷ. δεινὰ γάρ τοι βούλεται
Μενέλαος εἰς σὲ, παῖς θ᾽, ἅ σοι φυλακτέα.
Αν. Ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ
Τῇ πρόσθ᾽ ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ.
Τί δρῶσι; ποίας μηχανὰς πλέκουσι νῦν,
Κτεῖναι θέλοντες τὴν παναθλίαν ἐμέ;
Θε. Τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σὺ,
Κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου.
Αν. Οἴμοι. πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον;

Πό-

Faciam ſterilem,& inuiſam viro,
Et ego pro ea velim tenere domum
Hanc, eiectis lectis ipſius per vim.
Quos ego primum non volens accepi,
Nunc vero reliqui. Magnus Iupiter hoc ſciat,
Quod non volens huic ſum facta ſocia tori,
Sed non perſuadeo ei. vult enim me occidere:
Et pater Menelaus in hac re iuuat filiam.
Et nunc in ædibus eſt, ex Sparta veniens
Propter hoc ipſum. Ego vero territa
Ædibus *his* vicinum, Thetidis in ſacellum
Hoc profecta ſedeo, ſi me prohibeat mori.
Peleus enim *hoc* ipſum, poſterique Pelei
Colunt, monumentum nuptiarum Thetidis:
Meum autem vnicum filium ablego clam
In alias ædes, timens ne *caſus* moriatur.
Nam pater eius non adeſt, me
Vt iuuet, & puero nihil prodeſt, abſens
In terra Delphica, vbi Apollini pœnam
Soluit furoris, ꝑ quẽ aliquando ad Pythonẽ profect⁹,
Poſtulauit Phœbum *cædis* paternæ, cuius *rei, furoriſq;* *nunc* pendit pœnas,
Si quo modo priora peccata deprecans, *eorumque veniam petens,*
Efficiat ſibi deum propitium in poſterum.

Fam. Domina, ego non vereor hoc nomine
Vocare te, ſiquidem *hoc ipſo te* dignabar & in domo
Tua, quando habitabamus ſolum Troiæ,
Eram autem beneuola tibi, & tuo marito viuenti:
Et nunc venio afferens tibi nouos ſermones,
Metu quidem, ne quis dominorum ſentiat,
Sed miſeratione tui: nam atrocia molitur
Aduerſus te Menelaus, & filia, quæ tibi *ſunt* cauenda.

Anc. O chariſſima conſerua, (es enim conſerua
Huic, quæ prius regina fuit. nunc vero eſt infelix)
Quid faciunt? quas inſidias ſtruunt nunc,
Volentes occidere me longe miſerrimam?

Fam. O tu miſera, filium tuum volunt
Occidere, quem extra domum clam ablegaſti.

Anc. Heu mihi, reſcitum eſt meum filium ablegatum?

Vnde

Digitized by Google

Vnde nam? ô miſera, vt perii.
Fam. Non ſcio,hæc vero ego ex illis ſenſi.
Menelaus autem extra domum abiit ad tuum filium.
And. Perii igitur ô fili, interficient te.
Gemini correptum vultures: & qui vocatur
Pater,adhuc moram trahit Delphis.
Fam. Exiſtimo certe te non futuram fuiſſe adeo infelicem
Illo præſente.nunc vero es ſine amicis.
And. Neque venit fama de Peleo quod ſit venturus.
Fam. Ille eſt ſenior,quam vt poſſit te iuuare præſens.
And. Atqui acceerſiui eum non ſemel tantum.
Fam. Num tibi placet vt procurem aliquem nuncium?
And. Vnde?vis igitur tu mihi ire nuncia?
Fam. Quid vero dicam,ſi diu abſim extra domum?
And. Inuenies multas technas. es enim mulier.
Fam. Periculum *eſt*.nam Hermione eſt non ſegnis cuſtos.
And. Vides? deſpondes animum in malis tuorū amicorum?
Fam. Nequaquam,ne hoc obiicias mihi:
Sed vado,quia non eſt ſuſpicienda vita
Mulieris ſeruæ,etiamſi quid patiar mali.
And. Vade nunc,nos vero q̄b. incūbim⁹,*ac immoramur ſēp*,
Fletus, & luctus, & lachrymas
„ Sub ætherem producemus. nam innata eſt
„ Mulieribus delectatio præſentium malorum,
„ Vt habeant ea ſemper in ore & lingua.
Adeſt autem mihi non vnum,ſed multa quæ gemam,
Patriam vrbem, & interfectum Hectorem,
Et meam duram fortunam, cui ſum alligata,
In ſeruilē diem,*i.in ſeruitutem*,indigne prolapſa.
„ Nullum autē mortalium oportet beatū appellare,
„ Priuſquam mortui videris extremam
„ Diem,quomodo *ea* finita deſcenderit ad inferos.

Ad altum Ilium Paris non nuptias, ſed aliquā noxam
Adduxit tori ſociam Helenam in thalamum,
Propter quam ô Troia,ferro & igni captam
Cepit te velox Mars Græciæ habens mille naues,
Et meum miſeræ maritū Hectorē,quem circa murum
Aurigans *i. bigis* traxit filius marinæ Thetidis.
Ego autem ex thalamis ducta ſum ad littus maris,

Cir-

Digitized by Google

Πόθεν ποτ'. ὦ δύστηνος, ὡς ἀπωλόμην.
θε. Οὐκ οἶδ'. ἐκείνων δ' ᾐσθόμην ἐγὼ πάρος.
Φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.
αν. Ἀπωλόμην ἄρ' ὦ τέκνον. κτενοῦσί σε
Δισσοὶ λαβόντες γῦπες. ὁ δὲ κεκλημένος
Πατὴρ, ἔτ' ἐν Δελφοῖσι τυγχάνει μένων.
θε. Δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν πράσσειν κακῶς,
Κείνου παρόντος. νῦν δ' ἔρημος εἶ φίλων.
αν. Οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;
θε. Γέρων ἐκεῖνος, ὥστε σ' ὠφελεῖν παρών.
αν. Καὶ μὴν ἔπεμψ' αὐτὸν οὐχ ἅπαξ μόνον.
θε. Μῶν οὖν δοκεῖ σοι φροντίσαι τίν' ἀγγέλων;
αν. Πόθεν; θέλεις οὖν ἄγγελος μολεῖν σύ μοι;
θε. Τί δῆτα φήσω, χρόνιος οὖσ' ἐκ δωμάτων;
αν. Πολλὰς ἂν εὕροις μηχανάς. γυνὴ γὰρ εἶ.
θε. Κίνδυνος. Ἑρμιόνη γὰρ οὐ σμικρὰ φύλαξ.
αν. Ὁρᾷς, ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς;
θε. Οὐ δῆτα, μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί.
Ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτος βίος
Δούλης γυναικὸς, ἤν τι καὶ πάθω κακόν.
αν. Χώρει νῦν. ἡμεῖς δ' οἷσπερ ἐγκείμεσθ' ἀεὶ
Θρήνοισι, καὶ γόοισι, καὶ δακρύμασι,
„ Πρὸς αἰθέρ' ἐκτενούμεθ'. Ἐμπέφυκε γὰρ
„ Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν,
„ Ἀνὰ στόμ' αἰεὶ καὶ διὰ γλώσσης ἔχειν.
Πάρεστι δ' οὐχ ἕν, ἀλλὰ πολλά μοι στένειν,
Πόλιν πατρῴαν, τὸν θανόντα θ' Ἕκτορα,
Στερρόν τε τὸν ἐμὸν δαίμον', ᾧ συνεζύγην,
Δούλειον ἦμαρ εἰσπεσοῦσ' ἀναξίως.
„ Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
„ Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς,
„ Ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ἐλεγεῖ.

Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν' ἄταν
Ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλέναν
Ἇς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωτον
Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης.
Καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
Εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος.
Αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσης,

Δου-

Δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ.
Πολλὰ δὲ δάκρυά μοι κατέβα χροὸς, ἀνίκ' ἔλειπον
Ἄστυ, καὶ θαλάμους, καὶ πόσιν ἐν κονίαις.
Ὤιμοι ἐγὼ μελέα, τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι,
Ἑρμιόνας δούλαν, ἇς ὕπο τειρομένα,
Πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα,
Τάκομαι ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ γύναι, ἃ Θέτιδος δάπεδον, καὶ ἀνάκτορα θάσσεις
2 Δαρὸν, οὐδὲ λείπεις,
3 Φθιὰς, ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
4 Εἴ τι σοι δυναίμαν
5 Ἄκος τῶν δυσλύτων πόνων εὑρεῖν;
6 Οἵ σε καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ συνέκλῃσαν,
7 Τλᾶμον, ἀμφὶ λέκτρων
8 Διδύμων ἐπίκοινον
9 Ἐοῦσαν ἀμφὶ παῖδ' Ἀχιλλέως·

Ἀντιστροφὴ α'.

» 1 Γνῶθι τύχαν, λόγισαι τὸ παρὸν κακὸν εἰς ὅπερ ἥκεις.
2 Δεσπόταις ἁμιλλᾷ
3 Ἰλιὰς οὖσα κόρα Λακεδαίμονος ἐγγενέταισι,
4 Λεῖπε δεξίμηλον
5 Δόμον τᾶς ποντίας θεοῦ. τί σοι
6 Καιρὸς ἀτυζομένᾳ, δέμας αἰκέλιον καταλείβειν
7 Δεσποτῶν ἀνάγκαις;
8 Τὸ κρατοῦν δέ σε πείσει.
9 Τί μόχθον οὐδὲν οὖσα μοχθεῖς;

Στροφὴ β'.

1 Ἀλλ' ἴθι λεῖπε θεᾶς νηρηίδος ἀγλαὸν ἕδραν,
2 Γνῶθι δ' οὖσ' ἐπὶ ξένας
3 Δμωὶς ἐπ' ἀλλοτρίας πόλεως,
4 Ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
5 Σῶν, ὦ δυστυχεστάτα,
6 Ὦ παντάλαινα νύμφα.

Ἀντιστροφὴ β'.

1 Οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιὰς, οἴκους.
2 Δεσποτῶν δ' ἐμῶν φόβῳ,
3 Ἡσυχίαν ἄγομεν (τὸ δὲ σὸν
4 Οἴκτῳ φέρουσα τυγχάνω)

5 Μὴ

Digitized by Google

Circumdans caput triſti ſeruitute.
Multę aũt lachrymæ defluxerũt mihi de corpore, quã-
Vrbẽ, & thalamos, & maritũ in puluere. [do reliqui
Heu ego miſera q̃d me oportebat ãplius intueri lumẽ?
Hermiones ſeruam, a qua afflicta,
Ad hanc ſtatuam deæ ſupplex circundans manus
Colliqueſco, ſicut gutta ſcaturiens ex ſaxo.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 O mulier, quæ ſolum Thetidis, & templum inſides
2 Diu, nec deſeris:
3 Ego Phthia, tamen veni ad te Aſiaticam genere,
4 Si quod tibi poſſem
5 Remedium difficilium malorum inuenire,
6 Quæ te & Hermionem in odioſam rixam incluſerunt,
7 O miſera, de lectis [participem
8 Geminis, *te inquam lectorum* communem ſociam, *vel*
9 Exiſtentem apud filium Achillis,

Antiſtrophe I.

„ 1 Cognoſce fortunam, expende prę́ſens malum, in quod
2 Cum dominis certas [venis.
3 Exiſtens Iliaca puella, natis ex Lacedæmone.
4 Relinque recipientem oues, *& ſacrificiis pinguem*
5 Domum marinæ deæ: quæ eſt tibi
6 Vtilitas triſti, conſumere deformatũ *indecore* corpus
7 Propter violenta imperia dominorum?
8 Potentia vero dominorum *rem* tibi perſuadebit.
9 Quid contendis, cum nihil poſſis?

Strophe II.

1 Quin ito, relinque ſplendidã ſedem Nereidos deę,
2 Agnoſce vero quod ſis in peregrina *terra*,
3 *Et* ancilla in aliena vrbe,
4 Vbi neminem vides amicorum
5 Tuorum, ô infeliciſſima,
6 O modis omnibus miſera ſponſa.

Antiſtrophe II.

1 Veniſti enim Iliaca mulier miſeranda *ad* noſtras ædes:
2 Sed metu meorum dominorum
3 Sumus quieti (tuam vero fortunam
4 Fero *in* miſeratione: *i. miſeror*)

5 Ne

Digitized by Google

, Ne filia filiæ Iouis
,, Videat me tibi beneuolam eſſe.

Hermione.

Ornatum aurearum deliciarum circa caput,
Et veſtitum corporis horum variorum peplorum,
Non ab Achillis, neque Pelei
Domo primitias *munerum* habens huc veni.
Sed ex Lacæna Spartana terra
Menelaus pater mihi hæc donat,
Cum magna dote, vt liceat libere loqui.
Vobis igitur his reſpondeo verbis.
Tu autem cum ſis ſerua, & captiua mulier,
Vis nobis eiectis ædes tenere
Iſtas? ſum aūt inuiſa viro pp tua pharmaca, *& veneſ-*
Venter enim ſine fœtu propter te mihi perit. [*cia.*
,, Callidum enim *eſt* epiroticum, *Aſia continentem inco-*
,, *lens*, in huiuſmodi *artibus*,
,, Ingenium mulierum, a quibus ego te cōpeſcam.
Et nihil te iuuabit iſta domus Nereidis:
Non ara, non templum, ſed morieris,
Si vero quis Deorum, aut hominum te ſeruare velit,
Oportèt te pro priore beata ſuperbia
Expaueſcere, & humilem accidere ad meum genu.
Et verrere meam domum, ex aureis
Vaſis diſpergentem Acheloi rorem,
Et cognoſcere vbi terrarū ſis: hęc .n. non ſunt Hector,
Non Priamus, non aurum, ſed Græca ciuitas.
Eo vero venis inſaniæ, miſera tu,
Quæ cum filio patris, qui interfecit tuum maritum,
,, Audes dormire, & liberos ex interfectore
,, Parere. Tale *eſt* omne barbaricum genus.
,, Pater enim filiæ, & filius matri miſcetur,
,, Sororque fratri, & per cædem chariſſimi
,, Vadunt, & horum nihil prohibet lex.
,, Quæ ne apud nos introducas. nō enim *eſt* honeſtum,
,, Vnum virū habere habenas *i. imperiū,* duarū mulierū:
,, Sed intuens in vnam lecti ſociam Venerem,
,, Eſt contentus, quicunq; non vult male habitare.

Cho. Inuidioſa quædam res eſt fœminarum ſexus,
,, Et nuptiarum ſociis infeſta maxime ſemper.

And.

Digitized by Google

5 Μὴ παῖς τᾶς Διὸς κόρας
6 Σοί μ' εὖ φρονοῦσαν ἴδῃ.

ΙΑΜΒΟΙ.

ιε. Κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς,
Στολμόν τε χρωτὸς τῶνδε ποικίλων πέπλων,
Οὐ τῶν Ἀχιλλέως, οὐδὲ Πηλέως ἄπο
Δόμων ἀπαρχὰς δεῦρ' ἔχουσ' ἀφικόμην,
Ἀλλ' ἐκ Λακαίνης σπαρτιάτιδος χθονός.
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ.
Πολλοῖς σὺν ἕδνοις, ὥστ' ἐλευθεροστομεῖν.
Ὑμᾶς μὲν οὖν τοῖσδ' ἀμείβομαι λόγοις.
Σὺ δ' οὖσα δούλη, καὶ δορίκτητος γυνή,
Δόμους κατασχεῖν ἐκβαλοῦσ' ἡμᾶς θέλεις
Τούσδε; στυγοῦμαι δ' ἀνδρί, φαρμάκοισι σοῖς.
Νηδὺς δ' ἀκύμων διά σέ μοι διόλλυται.
„ Δεινὴ γὰρ ἠπειρῶτις εἰς τὰ
„ τοιάδε
„ Ψυχὴ γυναικῶν, ὧν ἐπισχήσω σ' ἐγώ.
Κοὐδέν σ' ὀνήσει δῶμα νηρῇδος τόδε,
Οὐ βωμός, οὐδὲ ναός, ἀλλὰ κατθανῇ.
Ἢν δ' οὖν θεῶν τίς σ', ἢ βροτῶν σῶσαι θέλῃ.
Δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων,
Πτῆξαι ταπεινήν, προσπεσεῖν τ' ἐμὸν γόνυ.
Σαίρειν τε δῶμα τοὐμὸν, ἐκ χρυσηλάτων
Τευχέων περιπείρουσαν Ἀχελῴου δρόσον,
Γνῶναί θ' ἵν' εἶ γῆς. οὐ γὰρ ἔσθ' Ἕκτωρ τάδε,
Οὐ Πρίαμος, οὐδὲ χρυσός, ἀλλ' Ἑλλὰς πόλις.
Εἰς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σύ,
Ἣ παιδὶ πατρός, ὃς σὸν ὤλεσεν πόσιν,
Τολμᾷς ξυνεύδειν, καὶ τέκν' αὐθέντου πάρα
„ Τίκτειν. Τοιοῦτον πᾶν τὸ βάρβαρον γένος.
„ Πατήρ τε θυγατρί, παῖς τε μητρὶ μίγνυται,
„ Κόρη τ' ἀδελφῷ. διὰ φόνου δ' οἱ φίλτατοι
„ Χωροῦσι. καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.
„ Ἃ μὴ παρ' ἡμᾶς εἴσφερ' οὐδὲ γὰρ καλόν,
„ Δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν.
„ Ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν Κύπριν,
„ Στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.
κ. Ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ,
„ Καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί,

ἀν.

Digitized by Google

ἀν. Φεῦ, φεῦ, Κακόν γε θνητοῖς. τὸ νέον, ἔντε τῷ νέῳ
„ Τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
Ἐγὼ δὲ ταρβῶ, μὴ τὸ δουλεύειν μέ σοι,
Λόγων ἀπώσῃ πόλλ' ἔχουσαν ἔνδικα.
Ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην.
„ Οἱ γὰρ πνέοντες μεγάλα, τοὺς κρείσσους λόγους
„ Πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.
Ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
Εἴπ' ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ
Πεισθεῖσ', ἀπωθῶ γνησίων νυμφευμάτων;
Ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις
Τύχῃ θ' ὑπερθεῖ, καί μ' ἐλευθέραν ὁρᾷς.
Ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι,
Πόλεώς τε μεγέθει, καὶ φίλοις ἐπηρμένη,
Οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω.
Πότερον ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
Δούλους, ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;
Ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς.
Φιλοῦσι γάρ μ' Ἕλληνες, Ἕκτορός τ' ἄπο,
Αὐτή τ' ἀμαυρὰ, κοὐ τύραννος ἦν Φρυγῶν.
Οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
Ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
„ Φίλτρον δὲ καὶ τόδ'. οὐ τὸ κάλλος, ὦ γύναι,
„ Ἀλλ' αἱ 'ρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
Σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
Μέγ' ἐστὶ, τὴν δὲ Σκῦρον οὐδαμοῦ τίθης,
Πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
Μείζων Ἀχιλλέως. ταῦτά τοι σ' ἔχθει πόσις.
„ Χρὴ γὰρ γυναῖκα, κἂν κακῷ πόσει δοθῇ,
„ Στέργειν, ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
Εἰ δ' ἀμφὶ Θρῄκην χιόνι τὴν κατάρρυτον,
Τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
Δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
Ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους
Πάσαις γυναιξὶ προστεθεῖσ' ἂν ηὑρέθης.
Αἰσχρόν γε, καί τοι χεῖρον' ἀρσένων νόσον

Ταύτην

Digitized by Google

And. Heu, heu, Mala res eſt hominibus iuuentus, & in iuuentute
" Quiſquis mortalium iniuſtitiam habet.
Ego vero metuo, ne ꝙ ego tibi ſeruiā, *ne mea ſeruit⁹ me*
Repellat a dicẽdo, cũ habeam multa iuſta *argumenta*:
Si vero cõtra vicero, ne ꝑp hoc accipiã *aliq* detrimẽtũ.
" Qui enim ſpirant magna, *qui ſunt ſuperbi,* præſtantiores rationes
" Ægre ferunt ab inferioribus *prolatas.*
Tamen non conuincar prodens meipſam.
Dic ô iuuencula, qua te firma ratione
Confidens, a legitimis nuptiis repello?
Quaſi Lacæna ciuitas, *i. Sparta,* Phrygum *vrbe, Troia,* *ſit* minor,
Fortunaq; *Spartã Troia* ſuperet, meq; liberam videas?
An iuuentute, & vigenti corpore,
Et magnitudine vrbis, & amicis elata,
Volo tenere tuam domum pro te?
Vtrum vt ego pro te pariam liberos
Seruos, mihi miſerã appendicẽ? *miſerã moleſtiã attra-* [*ctam?*
An aliquis meos liberos patietur
Phthiæ reges eſſe, ſi tu non parias?
Amant nimirum me Græci, idq; propter Hectorem:
Et *quia* ego ſum obſcura, & non fui regina Phrygum:
Maritus odit te, non propter mea pharmaca:
Sed quia non es idonea ad cõuerſandum *cum ipſo.*
" Nam & hoc eſt philtrum: non forma, ô mulier,
" Sed virtutes delectant maritos:
Tu vero ſi quid pungeris, Lacæna vrbs
Eſt aliquid magni, Scyrũ vero nullo in loco ponis, *i. ni-* [*hili facis.*
Et oſtẽtas diuitias inter inopes: Menelaus vero tibi
Maior eſt Achille: propter hęc profecto odit te maritus.
" Oportet enim mulierem, etiamſi malo viro data ſit,
" Boni conſulere, & non decertare *cum eo* de faſtu.
Si vero in Thracia circumfuſa niue
Haberes maritum regem, vbi per vices lectum
Dat multis *mulieribus* vnus vir cõmunicans,
An occideres iſtas? At *ſic* inſatiabilẽ cupiditatẽ concu- [bitus
Omnibus mulieribus apponens deprehendereris,
Turpe certe *hoc eſſet.* quãquam grauiore viris, *i. grauius quam viri,* morbo

Hoc *venereo* laboramus,ſed *tamē eum* celamꝰ honeſte.
O chariſſime Hector,ſed ego tua cauſa
Amabam tecum *eaſdem*, ſi quid te fallebat Venus.
Etiam iam ſæpe vbera tuis ſpuriis
Præbui,vt tibi nihil darem acerbi:
Et hæc faciens,virtute *mihi* conciliabam
Maritum: tu vero neq; guttulam ætherei roris
Tuo viro aſſidere ſinis metuens.
Ne matrem *tuam* amore virorum, ô mulier,
„ Studeas ſuperare. Nam malarum matrum
„ Mores oportet fugere liberos,quibus ineſt mens.

Cho. Domina,quantum tibi adeſt facultas,
Tantum pare *mihi*, vt cum hac *Andromacha* verbis
compoſitionem facias.

Her. Quid arroganter loqueris,& venis in certamē verborū,
Quaſi tu quidem *ſis* ſapiens,ego vero non *ſim* ſapiens?

And. Haud certe *ſapiens es* ob ea ſaltē verba quib. nūc es vſa.

Her. O mulier,tuus animus ne adſit mihi.

And. Es iuuencula,& dicis de turpibus.

Her. Tu vero non dicis,ſed facis contra me quantū potes.

And. Non tacite perferes dolorem zelotypiæ?

Her. An non iſta ſunt vbique ſumma mulieribus?

And. Recte quidem vtentibus:ſin minus,non *ſunt* honeſta.

Her. Non regimus vrbem Barbarorum legibus.

And. Et illic turpia,& hic habent dedecus.

Her. Callida tu,callida *quidem es:* ſed tamē oportet te mori.

And. Vides ſtatuam Thetidis in te reſpicientem?

Her. Quæ certe odit tuam patriā propter mortem Achillis.

And. Helena mater tua eum perdidit,non ego.

Her. An vero vlterius etiam attinges mea mala?

And. Ecce taceo, & comprimo os.

Her. Illud dic,cuius cauſa *huc* veni.

And. Dico ego te non tantum ſapere,quantum oportet.

Her. Relinques hoc purum templum marinæ deæ?

And. Niſi moriar. ſin autem,nunquam relinquam.

Her. Hoc quidē fixū eſt,nec expectabo maritū donec redeat.

And. Sed ne ego quidem me prius tibi dedam.

Her. Ignem tibi admouebo,nec tui rationem habebo.

And. Accende igitur tu. dii enim hæc videbunt.

Her. Et corpori grauium plagarum *inflictarum* dolores.

Ταύτην νοσοῦμεν. ἀλλὰ προὔστημεν καλῶς.
Ὦ φίλταθ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν
Σοὶ καὶ ξυνήρων, εἴ τι σε σφάλλοι Κύπρις.
Καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
Ἐπέσχον. ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
Καὶ ταῦτα δρῶσα, τῇ ἀρετῇ προσηγόμην
Πόσιν. σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου
Τῷ σῷ προσίζειν ἀνδρὶ δειμαίνουσ' ἐᾷς.
Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
» Ζήτει παρελθεῖν. Τῶν κακῶν γὰρ μητέρων
» Φεύγειν τρόπους χρὴ τέκν', οἷς ἔνεστι νοῦς.
Δέσποιν', ὅσον σοι ῥᾳδίως παρίσταται,
Τοσόνδε πείθου τῇδε συμβῶναι
λόγοις.
Τί σεμνομυθεῖς, κεἰς ἀγῶν' ἔρχῃ λόγων,
Ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;
Οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.
Ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.
Νέα πέφυκας, καὶ λέγεις αἰσχρῶν πέρι.
Σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ' εἰς ὅσον δύνῃ.
Οὐκ αὖ σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;
Τί δ' οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχῆ;
Καλῶς γε χρωμέναισιν. εἰ δὲ μή, οὐ καλά.
Οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.
Κἀκεῖ τά γ' αἰσχρὰ, κἀνθάδ' αἰσχύνην ἔχει.
Σοφὴ σοφὴ σύ. κατθανεῖν δ' ὅμως σε δεῖ.
Ὁρᾷς ἄγαλμα Θέτιδος εἰς σ' ἀποβλέπον;
Μισοῦν γε πατρίδα σὴν Ἀχιλλέως φόνῳ.
Ἑλένη νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ γε σή.
Ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;
Ἰδοὺ σιωπῶ, κἀπιλάζυμαι στόμα.
Ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.
Λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν, ὅσον σε δεῖ.
Λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;
Εἰ μὴ θανοῦμαί γ'. εἰ δὲ μή, οὐ λείψω ποτέ.
Ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.
Ἀλλ' οὐδ' ἐγὼ μὲν πρόσθεν ἐκδώσω μέ σοι.
Πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι.
Σὺ δ' οὖν κάταιθε. θεοὶ γὰρ εἴσονται τάδε.
Καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.

ἀν. Σφάζ' αἵμαξον θεᾶς βωμὸν, ἣ μέτεισί σε.

ἑρ. Ὦ βάρβαρον σὺ θρέμμα, καὶ σκληρὸν θράσος.
Ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
Ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα.
Τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
Κρύψω. τὸ δ' ἔργον, αὐτὸ σημανεῖ τάχα.
Κάθησ' ἑδραία. καὶ γὰρ εἰ πέριξ σ' ἔχει
Τηκτὸς μόλιβδος, ἐξαναστήσω σ' ἐγὼ,
Πρὶν ὃν πέποιθας παῖδ' Ἀχιλλέως μολεῖν.

ἀν. Πέποιθα. Δεινὸν δ', ἑρπετῶν μὲν ἀγρίων
,, Ἄκη βροτοῖς θεῶν ἐγκαταστῆσαί τινα,
,, Ἃ δ' ἔστ' ἐχίδνης, καὶ πυρὸς περαιτέρω,
,, Οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
,, Κακῆς. τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν,
2 Ὅτ' Ἰδαίαν ἐς νάπαν ἦλθ' ὁ
3 Τᾶς Μαίας τε καὶ Διὸς γόνος,
4 Τρίπωλον ἅρμα δαιμόνων
5 Ἄγων, τὸ καλλιζυγὲς,
6 Ἔριδι στυγερᾷ
7 Κεκορυθμένον εὐμορφίας,
8 Σταθμοὺς ἐπὶ βούτα,
9 Βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν,
10 Ἐρημόν θ' ἑστιοῦχον αὐλάν.

Ἀντιστροφὴ α'.

1 Ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἦλθον,
2 Οὐρείαν πιδάκων νίψαντο
3 Αἰγλάεντα σώματ' ἐν ῥοαῖς,
4 Ἔβαν τε Πριαμίδαν, ὑπερ-
5 βολαῖς λόγων δυσφρόνων
6 Παραβαλλόμεναι.
7 Κύπρις εἷλε λόγοισι δολίοις,
8 Τερπνοῖς μὲν ἀκοῦσαι,
9 Πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
10 Ταλαίνᾳ, περγάμοις τε Τροίας.

Στρο-

Digitized by Google

V. Me iugulata pollue ſanguine *meo* Deæ aram, quæ perſequetur te.
. O barbaram te pecudem, & duram audaciam.
Perferes igitur mortem? Sed ego te ſede
Ex hac cito volentem excitabo,
Talem habeo eſcam ad te eliciendum: ſed enim verba
Occultabo. res vero ipſa cito hanc *eſcam* indicabit.
Sedeas firma. nam etſi vndiq; te *munitam* teneret
Liquefactum plumbum, *hinc tamen* excitabo ego te,
Priusquā veniat filius Achillis, quē tu vēturū cōfidis.
ad. Confido. mirum autem *eſt*, aduerſus quidem ſerpentes agreſtes, *ac venenatos*
,, Remedia mortalibus aliquem Deorum conſtituiſſe,
,, Quæ vero eſt vipera, & igne ſuperior, *ac longe deterior*,
,, Nullus remedia inuenit adhuc aduerſus mulierem
,, Malam: tale ſumus hominibus malum.

ANTISTROPHICA.

Strophe I.

b. Certe magnorum dolorum autor extitit,
Quando venit in nemus Idæum
Maiæ, & Iouis filius,
Triiugum currum *trium* Dearum
Ducens, illum pulchriiugum,
Odioſo certamine
Formæ armatum,
Ad ſtabulum bubulci,
Et ad ſolitarium paſtorem adoleſcentem,
Et ad ſtabuli deſertos lares.

Antiſtrophe I.

Iſtæ vero *tres Deæ* quando venerūt ad arboreū nemus,
Montanum, fontium abluerunt
Nitentia corpora in aquis.
Venerunt & ad Priamidem, *i. Paridem Priami f.* excellentiis aſtutorum ſermonum, *eum*
Decipientes.
Venus *enim eum* cepit doloſis verbis,
Dulcibus quidem auditu,
Sed amaram vitæ cōfuſionē *afferētibus* Phrygum vrbi
Miſeræ, & pergamis, *arcibusq;* Troiæ.

Strophe II.

1 Vtinam vero abieciſſet perniciem ſupra caput,
2 Quæ quondam peperit Parin,
3 Priusquam habitaret Idæum montem:
4 Quando eum apud laurum ſacram
5 Clamauit Caſandra occidendum eſſe,
6 Magnam noxam vrbis Priami.
7 Quem non accedebat? quem non rogabat
8 Principum vt occideret infantem?

Antiſtrophe II.

1 Non *enim* ſuper Troiam veniſſet iugum
2 Seruile, neque tu mulier
3 Haberes ſedem domus tyrannicæ:
4 Soluiſſet autem *mater hoc necato*, Græciæ miſeros
5 Labores, quos apud Troiam
6 Decem annis errantes tulerunt iuuenes haſtis,
7 Et lecti non fuiſſent relicti deſerti,
8 Nec ſenes orbati liberis.

Menelaus.

Venio afferens tuum filium, quem in aliam domum
Clam mea filia expoſuiſti.
Tu enim te iactabas hoc Deæ ſimulachrũ ſeruaturũ *te*,
Et hunc, & eos, qui occultauerunt: ſed inuenta es
Mulier minus ſapere iſto Menelao:
Et niſi relinquens deſeras hoc ſolum,
Iſte interficietur pro tuo corpore.
Hoc ergo cogita, vtrum mori velis,
An hunc perire pro tuo peccato,
Quod peccas contra me, & meam filiam.

And. O opinio, opinio, ſexcentis iam mortalibus
,, Qui nihil erant, vitam tumido faſtus ſtrepitu vehe-
,, menter extuliſti. [*partum, eos*
,, Quib. vero nominis honeſti decus eſt a veritate, *i. vere*
,, Beatos duco: ſed illos, qui falſo *titulo decus hoc* habent.
,, Nunquam dignos cenſebo. ſed tantum fortunæ pla-
,, cet *vt iſti videantur* ſapere.
Tu. n. quondã *cum* lectiſſimis Grecorũ imperatoribus
Troiam abſtuliſti a Priamo, adeo ignauus exiſtens,
Qui pro filia iuuencula ex *tuis* verbis
Tantum *ferocia* ſpiraſti, & cum miſera muliere

Seru

Στροφὴ β'.

Εἴθε δ' ὑπὲρ κεφαλὰς ἔβαλεν κακὸν,
Ἅπις τέκεν ποτὲ Πάριν,
Πρὶν Ἰδαῖαν κατοικίσαι λέπας,
Ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
Βόασε Κασσάνδρα κτανεῖν,
Μεγάλαν Πριάμου πόλεως λώβαν.
Τίν' οὐκ ἐπῆλθε; ποῖον οὐκ ἐλίσσετο
Δαμογερόντων βρέφος φονεύειν;

Ἀντιστροφὴ β'.

Οὔτ' ἂν ἐπ' Ἰλιάσι ζυγὸς ἤλυθεν
Δούλειος, οὔτε σὺ γύναι
Τυράννων ἔσχες ἂν δόμων ἕδρας.
Παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
Πόνους, οὓς ἀμφὶ Τροίαν
Δεκέτεις ἀλάληντο νέοι λόγχαις.
Λέχη τ' ἔρημ' ἂν οὐκ ἂν ἐξελείπετο,
Καὶ τεκέων ὀρφανοὶ γέροντες.

ΙΑΜΒΟΙ.

με. Ἥκω λαβὼν σὸν παῖδ', ὃν εἰς ἄλλους δόμους
Λάθρα θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
Σὺ μὲν γὰρ ηὔχεις, θεᾶς βρέτας σώσειν τόδε,
Τοῦτόν τε, καὶ κρύψαντας. ἀλλ' ἐφηυρέθης
Ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
Κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον,
Ὅδ' ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
Ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις,
Ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
Ἣν εἰς ἔμ', εἴς τε παῖδ' ἐμὴν ἁμαρτάνεις;
αν. Ὦ δόξα, δόξα, μυρίοισι δὴ βροτῶν
„ Οὐδὲν γεγῶσι βίοτον ὤγκωσας
„ μέγαν.
„ Εὔκλεια δ' οἷς μέν ἐστ' ἀληθείας ὕπο,
„ Εὐδαιμονίζω. τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
„ Οὐκ ἀξιώσω, πλὴν τύχῃ φρονεῖν
„ δοκεῖ.
Σὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ,
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν,
Ὅστις θυγατρὸς ἀντὶ παιδὸς ἐκ λόγων
Τοσόνδ' ἔπνευσας, καὶ γυναικὶ δυστυχεῖ

Δόξῃ κρατήσεις εἰς ἀγῶν'. οὐκ ἀξιῶ
Οὔτ' οὖν σε Τροίας, οὔτε σοῦ Τροίαν ἔτι.
,, Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν,
,, Λαμπροί. τὰ δ' ἔνδον, πᾶσιν ἀνθρώποις ἴσοι.
,, Πλὴν εἴ τι πλούτῳ, τοῦτο δ' ἰσχύει μέγα.
Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους.
Τέθνηκα τῇ σῇ θυγατρὶ, καί μ' ἀπώλεσε.
Μιαιφόνον μὲν οὐκ ἔτ' ἂν φύγοι μύσος.
Ἐν τοῖς δὲ πολλοῖς, καὶ σὺ τόνδ'
ἀγωνιῇ
Φόνον. τὸ συνδρῶν γάρ σ' ἀναγκάσει
χρέος.
Ἢν δ' οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
Τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ,
Τέκνου θανόντος, ῥᾳδίως ἀνέξεται;
Οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ.
Ἀλλ' εἶσιν οἷ χρή. Πηλέως τε γὰρ ἄξια,
Πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
Ὤσει δὲ σὴν παῖδ' ἐκ δόμων. σὺ δ' ἐκδιδοὺς
Ἄλλῳ, τί λέξεις; πότερον, ὡς κακὸν πόσιν
Φεύγει τὸ ταύτης σῶφρον; ἀλλὰ ψεύσεται.
Γαμεῖ δὲ τίς νιν; ἤ σφ' ἄνανδρον ἐν δόμοις
Χήραν καθέξεις πολιόν; ὦ τλήμων ἀνήρ,
Κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς;
Πόσας δ' ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
Βούλοι' ἂν εὑρεῖν, ἢ παθεῖν ἃ 'γὼ λέγω;
,, Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακά,
,, Οὐδ', εἰ γυναῖκές ἐσμεν ἀτηρὸν κακόν,
,, Ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.
Ἡμεῖς γὰρ εἰ σὴν παῖδα φαρμακεύομεν,
Καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
Ἑκόντες, οὐκ ἄκοντες, οὐδὲ βώμιοι
Πιτνοῦντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
Ἐν σοῖσι γαμβροῖς, οἷσιν οὐκ ἐλάσσονα
Βλάβην ὀφείλω, προστιθεῖσ' ἀπαιδίαν.
Ἡμεῖς μὲν οὖν τοιοίδε. τῆς δὲ σῆς φρενὸς,
Ἕν σου δέδοικα. διὰ γυναικείαν
ἔριν,
Καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.
Χο. Ἄγαν γ' ἔλεξας, ὡς γυνὴ πρὸς ἄρσενας,

Καί

Serua veniſti in certamen. Non *igitur* iudico dignum
Neque te Troia,neque Troiam te amplius.
„ Qui videtur recte ſentire,*& ſapere*, extrinſecus sũt
„ Splendidi. intus vero omnibus hominibus ſimiles,
„ Niſi ſi quid opibus *præſtent*. Hoc enim multum poteſt.
Menelae,age iam abſoluamus ſermones.
Sim interfecta a tua filia,& me perdiderit:
Non poterit amplius effugere cruẽtũ cędis piaculũ.
Apud multos vero,*i. apud populum*, & tu periclitaberis ob hanc
Cædem. opera enim *tua cædem hanc* adiuuans te *in iudicio periclitari* coget.
Sin ego effugero ne moriar,
An filium meum occidetis?at quomodo pater,
Filio mortuo, hoc æquo animo feret?
Non adeo ignauum eum Troia vocat.
Sed vadit quo oportet. Peleo enim dignas
Res,& Achille patre videbitur facere.
Expellet autẽ tuam filiam ex ædibus:& tu nuptui dans
Alteri,quid dices?vtrum quod malum virum
Fugiat huius modeſtia?ſed falſum hoc erit.
Quis vero ducet eam ? an ipſam ſine viro domi
Tenebis viduam canam ? ô miſer vir,
Non vides affluxus tantorum malorum?
Quot vero lectis filiam iniuria affectam
Velles inuenire,*potius* quam pati quæ ego dico?
„ Non oportet ob paruas, *leuesq;* *res*, magna *ſibi* parare mala.
„ Neq; ſi nos mulieres ſumus nocens malum,
„ Viros fieri ſimiles mulieribus natura.
Nos enim ſi veneficiis lædimus tuam filiam,
Et ventrem *eius* abortire facimus, vt ipſa dicit,
Volentes,non inuiti,ne ad aram quidem
Procidentes,nos pœnam ſuſtinebimus
Apud tuos generos,quibus non minorem
Pœnam debeo,addens orbitatem.
Nos igitur *ſumus* tales:ſed *propter* tuum animum,
Vnum *a* te metuo. *nam* propter muliebrem, *i. mulieris cauſa ſuſceptam* contentionem,
Et infelicem perdidiſti Phrygum vrbem.
Cho. Nimis *audacter* ſane es locuta,vt mulier ad viros.

Et

Et tua modeſtia aberrauit a mentis ſcopo.
Men. Mulier, iſta ſunt parua, & imperio
Meo non digna, vt ais, neque Græcia.
„ Sed bene ſcias, quo quis opus habet,
„ Hoc cuilibet pluris eſt, quam Troiam capere.
Et ego filiæ (iudico enim iſta *eſſe* magna)
Ne priuetur connubio, ſum adiutor.
„ Nam alia quidē *in* ſecundis *malis ponens* ferat mulier.
„ Sed excidens viro, excidit vita.
Conuenit autem illum imperare meis ſeruis,
Et meos meq; præterea illius *ſeruis imperare decet.*
„ Amicorum enim nihil *eſt* proprium, qui amici
„ Vere ſunt: ſed bona *ſunt* communia.
Expectans autem abſentes, ſi non conſtituam
Mea quam optime, ignauus ſum, & non ſapiens:
Sed ſurgens cede ex hoc templo deæ,
Quia ſi tu moriaris, puer iſte effugiet mortem.
Te vero non volente mori, hunc interficiam:
Neceſſe autem *eſt* ex duobus alterum relinquere vitā.
And. Heu mihi, acerbam ſortitionem, & electionem mihi
Vitæ proponis: Et eligens, miſera,
Et non eligens, infelix ſum,
O qui magna *facinora* cauſam ob paruam facis,
Audi, quid me interficis? quare? quam vrbem
Prodidi? quem tuorum liberorum interfeci ego?
Quam domum incendi? dormiui coacta
Cum domino, & tamen me, non illum interficies,
Autorem horum? An principium omittens,
Ad finem, qui eſt poſterior, impetu ferris?
Heu mihi propter iſta mala, ô miſera mea patria,
Quā indigna patior. quid vero mihi opus erat parere?
Et addere duplex onus ad hoc onus?
Sed quid hæc deploro, quæ vero *ſunt* ante pedes,
Non defleo neque perpendo mala?
Quæ necem Hectoris raptati curru
Vidi, & miſere inflammatum Ilium?
Et ipſa ſerua in naues Argiuorum aſcendi,
Crinibus abſtracta. poſtquam autem veni
In Phthiam, ſum couiunx interfectoris Hectoris.
Quid igitur mihi poteſt eſſe ſuaue viuere? ad quid oportet reſpicere?

Vtrum

Digitized by Google

Καί σου τὸ σῶφρον ἐξετόξευσε φρενός.
Μεν. Γυναι, τάδ' ἐστὶ σμικρὰ, καὶ μοναρχίας
Οὐκ ἄξι', ὡς φῂς, τῆς ἐμῆς, οὐδ' Ἑλλάδος.
,, Εὖ δ' ἴσθ', ὅτου τις τυγχάνει χρείαν ἔχων,
,, Τοῦτ' ἔσθ' ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
Κἀγὼ θυγατρὶ, μεγάλα γὰρ κρίνω τάδε,
Λέχους στέρεσθαι, σύμμαχος καθίσταμαι.
,, Τὰ μὲν γὰρ ἄλλα, δεύτερ' ἂν πάσχοι γυνή.
,, Ἀνδρὸς δ' ἁμαρτάνουσ', ἁμαρτάνει βίου.
Δούλων δ' ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν,
Καὶ τῆς ἐκείνου τοὺς ἐμοὺς, ἡμᾶς τε πρός.
,, Φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
,, Ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
Μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
Τἄμ' ὡς ἄριστα, φαῦλός εἰμι, κοὐ σοφός.
Ἀλλ' ἐξανίστω τῶνδ' ἀνακτόρων θεᾶς.
Ὡς ἢν θάνῃς σὺ, παῖς ὅδ' ἐκφεύγει μόρον.
Σοῦ δ' οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
Δυοῖν δ' ἀνάγκη θατέρῳ λιπεῖν βίον.
Ἀνδ. Οἴμοι, πικρὰν κλήρωσιν, αἵρεσίν τέ μοι
Βίου καθίστης. καὶ λαχοῦσά γ' ἀθλία,
Καὶ μὴ λαχοῦσα, δυστυχὴς καθίσταμαι.
Ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,
Πιθοῦ, τί καίνεις μ'. ἀντὶ τοῦ; ποίαν πόλιν
Προὔδωκα, ἵνα σῶν ἔκτανον παίδων ἐγώ;
Ποῖον δ' ἔπρησα δῶμ'; ἐκοιμήθην βίᾳ
Σὺν δεσπόταισι. κᾆτ' ἔμ', οὐ κεῖνον κτενεῖς,
Τὸν αἴτιον τῶνδ'; ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς,
Πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρῃ;
Οἴμοι κακῶν τῶνδ'. ὦ τάλαιν' ἐμὴ πατρίς.
Ὡς δεινὰ πάσχω. τί δέ με καὶ τεκεῖν ἐχρῆν;
Ἄχθος τ' ἐπ' ἄχθει τῷδε προσθέσθαι διπλοῦν;
Ἀτὰρ τί ταῦτ' ὀδύρομαι, τὰ δ' ἐν ποσὶν
Οὐκ ἐξικμάζω, καὶ λογίζομαι κακά;
Ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
Κατεῖδον, οἰκτρῶς τ' Ἴλιον πυρούμενον;
Αὐτὴ δὲ δούλη ναῦς ἐπ' Ἀργείων ἔβην,
Κόμης ἀποσπασθεῖσ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, φονεῦσι θ' Ἕκτορος νυμφεύομαι.
Τί δῆτ' ἐμοὶ ζῆν ἡδύ. πρὸς τί χρὴ βλέπειν;

Digitized by Google

Πρὸς τὰς παρούσας, ἢ παρελθούσας τύχας;
Εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς, ὀφθαλμὸς βίου.
Τοῦτον κτανεῖν μέλλουσιν, οἷς δοκεῖ τάδε,
Οὐ δῆτα τοὐμοῦ γ' οὕνεκ' ἀθλίου βίου.
Ἐν τῷδε μὲν γὰρ ἐλπὶς, εἰ σωθήσεται,
Ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
Ἰδοὺ προλείπω βωμὸν, ἥδε χειρία,
Σφάζειν, φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
Ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνῃς,
Στείχω πρὸς ἅδην. ἢν δ' ὑπεκδράμῃς μόρον,
Μέμνησο μητρὸς, οἷα τλᾶσ' ἀπωλόμην,
Καὶ πατρὶ τῷ σῷ διὰ φιλημάτων ἰὼν,
Δάκρυά τε λείβων, καὶ περιπτύσσων χέρας,
,, Λέγ' οἷ' ἔπραξα. Πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
,, Ψυχὴ, τέκν'. ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
,, Ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

χο. Ὤικτειρ' ἀκούσας. Οἰκτρὰ γὰρ τὰ δυστυχῆ
,, Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
Εἰς ξύμβασιν δὲ χρῆν σε καὶ σὴν παῖδ' ἄγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων.

με. Λάβεσθέ μοι τῆσδ' ἀμφελίξαντες χέρας,
Δμῶες. λόγους γὰρ οὐ φίλους ἀκούσεται.
Ἐγώ σ', ἵν' ἁγνὸν βωμὸν ἐκλίπῃς θεᾶς,
Προὔτεινα παιδὸς θάνατον, ᾧ σ' ὑπήγαγον,
Εἰς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
Καὶ τἀμφὶ σοῦ μὲν ὧδ' ἔχοντ' ἐπίστασο.
Τὰ δ' ἀμφὶ παιδὸς τοῦδε, παῖς ἐμὴ κρινεῖ,
Ἤν τε κτανεῖν νιν, ἤν τε μὴ κτανεῖν θέλῃ.
Ἀλλ' ἕρπ' ἐς οἴκους τούσδ', ἵν' ἐς ἐλευθέρους,
Δούλη γεγῶσα, μήποθ' ὑβρίζειν μάθῃς.

αν. Οἴμοι. δόλῳ μ' ὑπῆλθες. ἠπατήμεθα.

με. Κήρυσσ' ἅπασιν. οὐ γὰρ ἐξαρνούμεθα.

αν. Ἦ ταῦτ' ἐν ὑμῖν, τοῖς παρ' Εὐρώτᾳ, σοφά;

με. Καὶ τοῖς γ' ἐν Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾶν.

αν. Τὰ θεῖα δ' οὐ θεῖ', οὐδ' ἔχειν ἡγῇ δίκην.

Vtrum ad præſentem,an ad præteritam fortunã?
Vnus iſte filius erat mihi reliquus, oculus vitæ:
Hunc ſunt interfecturi,quibus iſta placent.
Non certe propter meam miſeram vitam *eum cadent.*
In hoc enim *eſt* ſpes, ſi ſeruetur.
Mihi vero *eſt* turpe non mori pro filio. [*teſtate,*
Ecce relinquo arã, ego *iã dominorũ* sũ in manib. *ac po-*
Vt *me* iugulent, cædant, vinciant, *meamq́; laqueo* ſu-
ſpendant ceruicem.
O fili,ego mater tua,ne tu moriaris,
Eo ad Plutonem. ſi vero vitaris mortem,
Memineris matris, qualia paſſa perierim,
Et ad patrem tuum vadens per oſcula, *i.patrẽ oſculans,*
Lachrymaſque ſtillans,& amplectens manus,
,, Dicito qualia fecerim:omnibus enim hominibus ſunt
,, Liberi vita: Quiſquis vero ipſos *liberos* vituperat, non
,, expertus *prolis voluptatem,*
,, Minus quidem dolet:ſed *tamen* cum ſit infelix,beatus
,, eſt *ſuo iudicio.* [*ſunt* calamitates
Cho. Miſerat⁹ ſum *tuam vicẽ, hæc* audiẽs, miſerabiles enim
,, Mortalibus omnib.quãuis *quis* externus,*ac alienus* ſit.
Oportet igitur te & tuã filiã in reconciliationẽ ducere,
Menelae,& iſtam,vt liberetur a malis.
Men. Comprehendite mihi iſtam, circumplicantes, *vincu-*
luſq́; conſtringentes eius manus,
Serui. ſermones enim non gratos audiet.
Ego tibi,vt puram aram deæ relinqueres,
Propoſui filii mortem,qua *ratione* te doloſe induxi,
Vt venires in meas manus ad necem.
Et tuas quidem res ſic ſe habere ſcias.
Sed de iſto puero, mea filia iudicabit,
Vtrum velit eum interficere,an non.
Sed vade in hanc domum,vt liberos
Diſcas non afficere contumelia,ſerua exiſtens. [
And. Heu mihi,dolo me decepiſti,ſumus in fraudẽ inductę,
Men. Prædica *hoc* omnibus. non enim negamus.
And. An ſunt hæc apud vos, qui ad Eurotã habitatis, recta?
Men. Et iis,qui in Troia *habitant,hoc videtur æquum,* vt *in-*
iuriam paſſi vicem rependant.
And. Deos vero non deos *eſſe*, nec vindictam habere putas.

Men.

Men. Quũ hęc erunt, tunc feremus. te vero *nũc* occidã.
And. An & pullum hunc ſub alis *latentem* auellens?
Men. Non: ſed filiæ dabo, ſi velit, occidendum.
And. Heu mihi. quomodo igitur te deplorabo ô fili?
Men. Nequaquam igitur audax ſpes ipſum manebit.
And. O omnibus hominibus inimiciſſimi mortalium,
Spartæ incolæ, doloſi conſultores,
Mendaciorum principes, fraudulenti ſutores malorũ,
Tortuoſa, & nihil ſani, ſed omnia inſidioſe
Sentientes, immerito floretis in Græcia.
Quid *ſceleris* nõ eſt in vobis? nõne plurimę cædes?
Nonne turpis q̃ſtus cupidi *eſtis?* nõne alia q̃dẽ dicẽtes
Lingua, alia vero ſentientes deprehendimini ſemper?
Pereatis. Mihi vero mors non adeo grauis *eſt*,
Vt tibi videtur: illa enim *mala* me perdiderunt,
Quando miſera vrbs Phrygum eſt conſumpta,
Et meus inclytus maritus, qui te ſæpe haſta
Fecit malum nautam pro *milite* terreſtri.
Nunc vero contra mulierem apparens terribilis miles,
Interficis me. interfice, quia non delinitum te ſaltem,
Et tuam filiam mea lingua dimittam:
Quoniam tu quidem es magnus in Sparta,
„ Nos vero in Troia. ſi. n. ego *iã* ſum in aduerſa fortuna,
„ Ne propterea gloriare. quia & tu potes in eã incidere.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Nunquam geminos
„ 2 Lectos laudabo mortalium,
„ 3 Neque liberos, qui habent diuerſas matres,
„ 4 Litem ædium,
„ 5 Et triſtes dolores.
„ 6 Maritus *in* nuptiis mihi ſit contentus vno
„ 7 Lecto viri non communicato *cum vllis aliis.*

Antiſtrophe I.

„ 1 Neque enim in vrbibus
„ 2 Duo imperia
„ 3 Facilius poſſunt ferri quam vnum.
„ 4 Eſt enim onus ſupra onus,
„ 5 Et ſeditio ciuibus.
„ 6 Inter fabros etiam duos, hymnorum artifices,

„ 7 Litem

Digitized by Google

Ὅταν πέσῃ ἤ, τότ᾽ εἴσομαι. σὲ δὲ κτενῶ.
Ἦ καὶ νεοσσὸν τόνδ᾽ ὑπὸ πτερῶν σπάσας;
Οὐ δῆτα. θυγατρὶ δ᾽ ἤν θέλῃ, δώσω κτανεῖν.
Οἴ μοι. τί δῆτα σοῦ καταστένω τέκνον;
Οὔκουν θρασεῖά γ᾽ αὐτὸν ἐλπὶς ἀναμένει.
Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
Ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
Ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πάντα πέριξ
Φρονοῦντες, ἀδίκως εὐτυχεῖτ᾽ ἀν᾽ Ἑλλάδα.
Τί δ᾽ οὐκ ἐν ὑμῖν ἐστίν; οὐ πλεῖστοι φόνοι;
Οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν
Γλώσσῃ, φρονοῦντες δ᾽ ἄλλ᾽ ἐφευρίσκεσθ᾽ ἀεί;
Ὄλοισθ᾽. ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρὺς,
Ὥς σοὶ δέδοκται. κεῖνα γάρ μ᾽ ἀπώλεσεν,
Ὅθ᾽ ἡ τάλαινα πόλις ἀναλώθη Φρυγῶν,
Πόσις θ᾽ ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ
Ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
Νῦν δ᾽ εἰς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς,
Κτείνεις μ᾽ ἀπόκτειν᾽. ὡς ἀθώπευτόν γέ σε
Γλώσσης ἀφήσω τ᾽ ἐμῆς, καὶ παῖδα σήν.
Ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
,, Ἡμεῖς δὲ Τροίᾳ γ᾽. Εἰ δ᾽ ἐγὼ πράσσω κακῶς,
,, Μηδὲν τόδ᾽ αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

1 Οὐδέ ποτ᾽ αὖ δίδυμα
,, 2 Λέκτρ᾽ ἐπαινέσω βροτῶν,
,, 3 Οὐδ᾽ ἀμφιμάτορας κόρους,
,, 4 Ἔριν μὲν οἴκων,
,, 5 Δυσμενεῖς τε λύπας.
,, 6 Τὴν μίαν μοι στεργέτω πόσις γάμοις
,, 7 Ἀκοινώνητον εὐνὰν ἀνδρός.

Ἀντιστροφὴ α΄.

,, 1 Οὐδὲ γὰρ ἐν πόλεσι
,, 2 Δίπτυχοι τυραννίδες
,, 3 Μιᾶς ἀμείνονες φέρειν,
,, 4 Ἄχθος τ᾽ ἐπ᾽ ἄχθει,
,, 5 Καὶ στάσις πολίταις.
,, 6 Τεκόντοιν θ᾽ ὕμνοισιν ἐργάταιν δυοῖν

,, 7

» 7 Ἔριν μούσαιν φιλοῦσι κραίνειν.

Στροφὴ β'.

1 Πνοιαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαί,
2 Κατὰ πηδαλίων
3 Διδύμαι πραπίδων γνῶμαι,
» 4 Σοφῶν τε πλῆθος ἀθρόον, ἀσθενέστερον
» 5 Φαυλοτέρας φρενὸς αὐτοκρατοῦς.
» 6 Ἑνὸς ἁ δύναμις ἀνά τε μέλαθρα,
» 7 Κατά τε πόλιας,
» 8 Ὁπόταν εὑρεῖν θέλωσι καιρόν.

Ἀντιστροφὴ β'.

1 Ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτου,
2 Μενέλας. διὰ γὰρ
3 Πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
4 Κτείνει δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν,
5 Παῖδά τε, δύσφρονος ἔριδος ὕπερ.
6 Ἄθεός γ', ἄνομος, ἄχαρις ὁ φόνος.
7 Ἔτι σοι πότνια,
8 Μετατροπὰ τῶνδ' ἔπεισιν ἔργων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Καὶ μὴν ἐσορῶ τόδε σύγκρατον
Ζεῦγος πρὸ δόμων
Ψήφῳ θανάτου κατακεκριμένον.
Δύστηνε γύναι, τλῆμον δὲ σὺ παῖ,
Μητρὸς λεχέων ὃς ὑπερθνήσκεις,
Οὐδὲν μετέχων,
Οὐδ' αἴτιος ὢν βασιλεῦσιν.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ α'.

ἀν. 1 Ἅδ' ἐγὼ χέρας αἱματη-
2 ρὰς βρόχοισι κεκλῃμένα
3 Πέμπομαι κατὰ γαίας.
μο. 4 Μᾶτερ, μᾶτερ. ἐγὼ δὲ σᾷ
5 Πτέρυγι συγκαταβαίνω,
6 Καὶ θῦμα δάϊον.
7 Ὦ χθονὸς Φθίας κράντορες.
8 Ὦ πάτερ, ὦ μόλε
9 Φίλοις ἐπίκουρος.

Σύστημα α'.

1 Κεῖσαι δ' ἤδη τέκνον, ὦ φίλος,

2 Μα-

„ 7 Litem Muſæ ſolent excitare.

Strophe II.

1 Et quando celeres flatus ferunt nautas;
2 De gubernaculis
3 Duplex conſilium pectorum,
„ 4 Magnaque multitudo ſapientiorum, infirmior *eſt*,
„ 5 Quā *vna* mēs minꝰ ſapiēs, q̄ ſummā rerū poteſtatē ſo-
„ 6 Vnius *tantū* potentia inq; *priuatis* ædibus, [la habet.
„ 7 Et in vrbibus *eſſe debet*,
„ 8 Quū *hoies rei bene gerēda* occaſionē nanciſci volūt.

Antiſtrophe II.

1 Lacæna *noſtri* ducis *hoc* oſtendit,
2 O Menelae: nam per
3 Ignem venit in alterum lectum,
4 Et interfecit miſeram puellam Iliacam,
5 Et puerum propter ſtultam diſcordiam.
6 Inuidia eſt impia, iniuſta, odioſa.
7 Adhuc tibi, ô veneranda,
8 Adueniet pœnitentia horum factorum.

Atqui video hoc coniunctum
Par ante domum
Sententia capitali condemnatum.
O miſera mulier, & tu infelix puer,
Qui moreris propter thalamum matris,
Nullo modo *culpa* particeps,
Neque *vllius mali* autor exiſtens regibus.

PERICOMMATA.

Strophe I.

An. 1 Ecce ego manus cruen-
2 tas, laqueis colligata
3 Mittor ſub terras.
Mo. 4 Mater, mater, ego vero cum tua
5 Ala ſimul deſcendo,
6 Et *ſum* victima peritura.
7 O terræ Phthiæ principes,
8 O pater, ô veni
9 Auxiliator amicis.

Syſtema I.

An. 1 Iaceto iam ô fili, ô chare *fili*,

2 Circa vbera tuæ matris,
3 Mortuus ſub terra, & cum mortua *matre*.

Strophe II.

Mo. 1 Hei mihi, mihi, quid patiar?
2 Miſer igitur ego *ſum*, tuque mater.

Syſtema II.

Me. 1 Ite ſub terram:
2 Etenim ab hoſtilibus venitis turribus,
3 Duo vero moriemini ob duas neceſſitates, *i. neceſſariis* [*cauſas*.
4 Te enim noſter calculus interficit.
5 Puerum vero iſtum mea filia Hermione.
,, 6 Etenim *eſt* ſtultitia magna, relinquere
,, 7 Hoſtes hoſtium, cum liceat *eos* occidere.
,, 8 Et auferre a domo terrorem.

Antiſtrophe I.

An. 1 O marite, marite, vtinam tuam
2 Manum, & haſtam auxiliatricem
3 Haberem, fili Priami.
Mo. 4 Infelix, quod ego mortis
5 Deprecatorium carmen inueniam?
An. 6 Precare iam genibus
7 Domini appropinquans, ô fili.
Mo. 8 O chare, ô chare,
9 Remitte mihi mortem.

Antiſyſtema I.

1 Liqueſco, lachrymis pupillas
2 Rigo, tanquam *ex* prærupta petra *cadens*
3 Gutta opaca, miſera ego.

Antiſtrophe II.

Mo. 1 Hei mihi, mihi. quodnam ego
2 Malorum remedium expeditum inueniam?

Antiſyſtema II.

Me. 1 Quare ad me volueris, *vt* ad marinum ſaxum,
2 Aut *ad* fluctum, ſic precibus ſupplicans?
3 Nam meis *rebus hoc* eſt vtile:
4 Erga te vero non ſum affectus benè, ſiquidem
5 Conſumpta magna parte *mea* vitæ,
6 Troiam cepi, & tuam matrem,
7 Qua fruens,
8 *Ad* Plutonem infernum deſcendes.

Cho-

Digitized by Google

2 Μαστοῖς ματέρος ἀμφὶ σοῖς,
3 Νεκρὸς ὑπὸ χθονὶ, σὺν νεκρᾷ τε.

Στροφὴ β'.

ΜΟΛ. 1 Ὤι μοι μοι, τί πάθω;
2 Τάλας δῆτ' ἐγὼ, σύ τε μᾶτερ.

Σύστημα β'.

ΜΕΝ. 1 Ἴθ' ὑποχθόνιοι.
2 Καὶ γὰρ ἀπ' ἐχθρῶν ἥκετε πύργων.
3 Δύο δ' ἐκ δισσαῖν θνήσκετ' ἀνάγκαιν.
4 Σὲ μὲν ἡμετέρα ψῆφος ἀναιρεῖ,
5 Παῖδα δ' ἐμὴ παῖς τόνδ' Ἑρμιόνη.
" 6 Καὶ γὰρ ἄνοια μεγάλη, λιπεῖν
" 7 Ἐχθροὺς ἐχθρῶν, ἐξὸν κτείνειν,
" 8 Καὶ φόβον οἴκων ἀφελέσθαι.

Ἀντιστροφὴ α'.

ΑΝΔ. 1 Ὦ πόσις πόσις, εἴθε σὰν
2 Χεῖρα καὶ δόρυ σύμμαχον
3 Κτησαίμαν, Πριάμου παῖ.
ΜΟΛ. 4 Δύστανος, τί δ' ἐγὼ μόρου
5 Παράτροπον μέλος εὕρω;
ΑΝ. 6 Λίσσου δὲ γούνασι
7 Δεσπότου χρίμπτων, ὦ τέκνον.
ΜΟΛ. 8 Ὦ φίλος, ὦ φίλος,
9 Ἄνες θάνατόν μοι.

Ἀντισύστημα α'.

1 Λείβομαι, δακρύοισιν κόραις
2 Στάζω, λισσάδος ὡς πέτρας
3 Λιβὰς ἀνήλιος, ἁ τάλαινα.

Ἀντιστροφὴ β'.

ΜΟΛ. 1 Ὤι μοι μοι. τί δ' ἐγὼ
2 Κακῶν μῆχος ἐξανύσωμαι;

Ἀντισύστημα β'.

ΜΕ. 1 Τί με προσπίτνεις, ἁλίαν πέτραν,
2 Ἢ κῦμα λιταῖς ὡς ἱκετεύων;
3 Τοῖς γὰρ ἐμοῖσι γέγονεν ὠφέλεια,
4 Σοὶ δ' οὐδὲν ἔχω φίλτρον; ἐπεί τοι
5 Μέγ' ἀναλώσας ψυχῆς μόριον,
6 Τροίαν εἷλον, καὶ μητέρα σήν.
7 Ἧς ἀπολαύων,
8 Ἅιδην χθόνιον καταβήσῃ.

ΙΑΜΒΟΙ.

χο. Καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,
Σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.
πη. Ὑμᾶς ἐρωτῶ, τόν τ' ἐφεστῶτα σφαγῇ,
Τί ταῦτα, πῶς ταῦτ'; ἐκ τίνος λόγου
νοσεῖ
Δόμος; τί πράσσετ' ἄκριτα μηχανώμενοι;
Μενέλα', ἐπίσχες. μὴ τάχυν' ἄνευ δίκης.
Ἡγοῦ σὺ θᾶσσον. οὐ γὰρ ὡς ἔοικέ μοι
Σχολῆς τόδ' ἔργον, ἀλλ' ἀνηβητηρίαν
Ῥώμην ἐπαινῶ λαμβάνειν εἴπερ ποτέ.
Πρῶτον γε μὲν κατ' οὖρον, ὥσπερ ἱστίοις
Ἐμπνεύσομαι τῇδ'. εἰπέ, τίνι δίκῃ χέρας
Βρόχοισιν ἐκδήσαντες οἵδ' ἄγουσί σε,
Καὶ παῖδ'; ὕπαρνος γάρ τις ὡς ἀπόλλυσαι,
Ἡμῶν ἀπόντων, τοῦ τε κυρίου σέθεν.
αν. Οἵδ', ὦ γεραιέ, σὺν τέκνῳ θανουμένην
Ἄγουσί μ' οὕτως, ὡς ὁρᾷς. τί σοι λέγω;
Οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
Μετῆλθον, ἀλλὰ μυρίων ὑπ' ἀγγέλων.
Ἔριν δὲ τὴν κατ' οἶκον οἶσθά που κλυὼν
Τῆς τοῦδε θυγατρός, ὧν τ' ἀπόλλυμαι χάριν.
Καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
Ἔτικτέ σοι παῖδ', ἣν σὺ θαυμαστὴν σέβεις,
Ἄγουσ' ἀποσπάσαντες, οὔτε τῳ δίκῃ
Κρίναντες, οὐδὲ τοὺς ἀπόντας ἐκ δόμων
Μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
Γνόντες, τέκνου τε τοῦδ', ὃν, οὐδὲν αἴτιον,
Μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
Ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος
Πιτνοῦσα γονάτων, χειρὶ δ' οὐκ ἔξεστί μοι
Τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
Ῥῦσαί με πρὸς θεῶν. εἰ δὲ μή, θανούμεθα
Αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ' ἐμοί, γέρον.
πη. Χαλᾶν κελεύω δεσμὰ πρὶν κλαίειν τινά,
Καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.
με. Ἐγὼ δ' ἀπαυδῶ γ' ἄλλος οὐχ ἥσσων σέθεν,
Καὶ τῆσδε πολλῷ κυριώτερος
γεγώς.
πη. Πῶς; ἦ τὸν ἀμὸν οἶκον οἰκήσεις μολὼν

Chorus.

Atqui video hunc Peleum prope *nos*,
Celeriter dirigentem huc ſenilem pedem.
L. Vos interrogo, & hunc incumbentem cædi,
Quid hæc *ſibi volunt*? quomodo hæc *fiunt*? quam ob cauſam laborat
Domus? quid agitis facientes *hæc* ſine iudicio?
Menelae, expecta, ne propera ſine iudicio.
Præcede tu citius. haud enim, vt videtur mihi,
Moram hæc res *requirit*: ſed iuuenile
Robur cupio recipere, ſi vnquam alias.
Primum quidem ſecundo vento, tanquam velis,
Huic aſpirabo. Dic, quo iure manus
Laqueis ligantes iſti ducunt te,
Et filium? nã vt quędam ouis agnũ ſub ſe fouens peris,
Nobis abſentibus, & domino tuo.
And. Iſti, ô ſenex, cum filio morituram
Me ſic ducunt, vt vides. quid tibi dicam?
Nam non vnius vocationis celeritate te
Accerſiui: ſed per ſexcentos nuncios.
Scis autem fortaſſe audiens litem, quæ eſt in domo,
Cum huius filia, propter quæ etiam ego pereo,
Et nunc me ab ara Thetidis, quæ generoſum
Filium tibi peperit, quam tu venerandam colis,
Ducunt auulſam, neque vllo iure
Cognita cauſa, neque abſentes ab ædibus
Expectantes: ſed meam ſolitudinem
Scientes, & huius pueri, quem nullius mali autorẽ
Volunt occidere cum me miſera.
Sed obſecro te ô ſenex, ad tua
Genua cadens (manu enim non licet mihi
Attingere tuum chariſſimum mentum)
Libera me per Deos: alioqui, moriemur
Turpiter quidem vobis, nobis vero miſere, ô ſenex.
Pel. Iubeo vos laxare vincula, priusquã aliquis lachrymet,
Et huius manus geminas dimittere.
Men. Ego vero alius te non inferior *hoc fieri* veto,
Et in hanc *mulierem* longe maiorem poteſtatem habens, *quam tu*.
Pel. Quomodo? an noſtram domum reges profectus

Huc? non *eſt* tibi ſatis imperare incolis Spartæ?
Men. Ego cepi ipſam captiuam ex Troia. [
Pel. Sed meus filius filii, *i. nepos* accepit eam, honora
Men. Nonne mea ſunt illius, & illius mea?
Pel. Ad bene faciendũ, nõ aũt male, neq; ad vi interficie
Men. Nunquam abduces hanc ex mea manu. [dum.
Pel. Cruentabo vero tuum caput hoc ſceptro.
Men. Attinge, vt noris, & accede ad me. [malis *arte*
Pel. Tu ne igitur *habendus es* inter viros, ô peſſime, & ex
Tui ne vt inter viros *numerati* aliqua ratio habetur?
Qui ab homine Phryge priuatus fuiſti lecto, *i. uxore.*
Linquens domum non clauſam, & ſine ſeruis.
Quaſi haberes caſtam mulierem in ædibus,
„ Quæ omnium eſt peſſima. Neque ſi velit aliqua
„ Puella Spartana, poſſit eſſe caſta:
„ Quæ relinquentes domos, cum iuuenibus
„ Nudis femoribus, & tunicis laxatis,
„ Curſus, & palæſtras non tolerandas mihi
„ Communes habent: deinde an mirari oportet,
„ Si non educatis mulieres caſtas?
Helenam conuenit hæc interrogare, quæ ex ædibus
Tuũ relinquens amicũ *coniugii Larem*, laſciue pfugit
Cum viro iuuene in aliam terram.
Deinde propter illam, Græcorum exercitum
Tantum congregans duxiſti ad Ilium:
Quam oportebat te conſpuentẽ non mouere haſtam,
Cum inueniſſes malam, ſed ſinere ibi manere,
Mercedẽq; dare *præterea*, ne vnquã in ędes *eã* reciperes.
Sed neque huc feliciter appuliſti tuum animum,
Et perdidiſti multos, & præſtantes viros,
Et feciſti *multas* anus orbatas liberis in ædibus,
Caniſque parentibus abſtuliſti generoſos liberos.
Quorum ego infelix vnus. percuſſorem autem te
Tanquam aliquẽ Achillis malũ dæmonẽ intueor.
Qui ſolus ne vulneratus quidem veniſti ex Troia,
Et pulchra arma in pulchris thecis
Similia *i. eadẽ, nec immutata*, illuc & huc portaſti rur-
Ipſe quidẽ ſuaſi ducturo vxorem, vt neque tecũ [ſus.
Affinitatem contraheret, neq; in ædes reciperet
„ Pullum malæ mulieris. Efferunt enim

„ Ma-

Δεῦρ. οὐχ ἅλις σοι, τῶν γε Σπάρτην κρατεῖν;
Εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
Οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
Οὔκουν ἐκείνου τἀμά, τἀκείνου τ' ἐμά.
Δρᾶν εὖ, κακῶς δ' οὔ. μηδ' ἀποκτείνειν βίᾳ.
Ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
Σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.
Ψαῦσόν γ' ἵν' εἰδῇς, καὶ πέλας πρόσελθέ μου.
Σὺ γὰρ μετ' ἀνδρῶν ὦ κάκιστε, κἀκ κακῶν;
Σοί που μέτεστιν ὡς ἐν ἀνδράσιν λόγου;
Ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους,
Ἄκληστ' ἄδουλα δώμαθ' ἑστίας λιπὼν,
Ὡς δὴ γυναῖκα σώφρον' ἐν δόμοις ἔχων,
Πασῶν κακίστην; Οὐδ' ἂν εἰ βούλοιτό τις
„ Σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
„ Αἳ ξὺν νέοισιν ἐξερημοῦσαι δόμους,
„ Γυμνοῖσι μηροῖς, καὶ πέπλοις ἀνειμένοις,
„ Δρόμους, παλαίστρας τ' οὐκ ἀνασχετοὺς ἐμοὶ,
„ Κοινὰς ἔχουσι. κᾆτα θαυμάζειν χρεὼν,
„ Εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἐρέσθαι χρὴ τάδ', ἥτις ἐκ δόμων,
Τὸν σὸν λιποῦσα φίλιον, ἐξεκώμασε
Νεανίου μετ' ἀνδρὸς εἰς ἄλλην χθόνα.
Κἄπειτ' ἐκείνης οὕνεχ', Ἑλλήνων ὄχλον
Τοσόνδ' ἀθροίσας, ἤγαγες πρὸς Ἴλιον.
Ἣν χρῆν σ' ἀποπτύσαντα, μὴ κινεῖν δόρυ,
Κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν,
Μισθόν τε δόντα, μή ποτ' εἰς οἴκους λαβεῖν.
Ἀλλ' οὔτι ταύτῃ σὸν φρόνημ' ἐπούρισας,
Ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας,
Παίδων τ' ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις,
Πολιοὺς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα.
Ὧν εἷς ἐγὼ δύστηνος, αὐθέντην δέ σε
Μιάστορ' ὥς τιν' εἰσδέδορκ' Ἀχιλλέως.
Ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασιν
Ὅμοι' ἐκεῖσε, δεῦρό τ' ἤγαγες πάλιν.
Κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι, μήτε σοὶ
Κῆδος συνάψαι, μήτε δώμασιν λαβεῖν
„ Κακῆς γυναικὸς πῶλον. ἐκφέρουσι γὰρ

,, Μητρὸς δ' ὀνείδη. Τοῦτο καὶ σκοπεῖτέ μοι
,, Μνηστῆρες, ἐσθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
Πρὸς τοῖσδε δ' εἰς ἀδελφὸν οἷ' ἐφύβρισας,
Σφάξαι κελεύσας θυγατέρ' εὐηθέστατα.
Οὕτως ἔδεισας, μὴ οὐ κακὴν δάμαρτ' ἔχῃς.
Ἑλὼν δὲ Τροίαν, εἶμι γὰρ κἀνταῦθά σοι,
Οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών.
Ἀλλ' ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
Ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.
Κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων,
Πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυστυχῆ
Κτείνεις ἀτίμως, παῖδά θ', ὃς κλαίοντά σε,
Καὶ τὴν ἐν οἴκοις σὴν καταστήσει κόρην,
,, Κεἰ τις νόθος πέφυκε. Πολλάκις δέ τοι
,, Ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορᾷ.
,, Νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
,, Ἀλλ' ἐκκομίζου παῖδα. Κύδιον βροτοῖς
,, Πένητα χρηστὸν, ἢ κακὸν καὶ πλούσιον
,, Γαμβρὸν πεπᾶσθαι, καὶ φίλον. σὺ δ' οὐδὲν εἶ.
γν. Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
,, Γλῶσσ' ἐκπορίζει. τοῦτο δ' οἱ σοφοὶ βροτῶν
,, Ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.
μεν. Τί δῆτ' ἂν εἴποις τοὺς γέροντας ὡς σοφοὶ,
Καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησίν ποτε;
Ὅτ' ἂν σὺ Πηλεὺς, καὶ πατρὸς κλεινοῦ γεγὼς,
Κῆδος συνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις,
Ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον,
Ἣν χρῆν σ' ἐλαύνειν τήνδ' ὑπὲρ Νείλου ῥοὰς,
Ὑπέρ τε Φᾶσιν, κἀμὲ παρακαλεῖν ἀεὶ,
Οὖσαν μὲν ἠπειρῶτιν. οὗ πεσήματα
Πλεῖσθ' Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν,
Τοῦ σοῦ τε παιδὸς αἵματος κοινουμένην.
Πάρις γὰρ, ὃς σὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ' ἥδ' Ἕκτορος,
Καὶ τῇδέ γ' εἰσέρχῃ σὺ ταὐτὸν εἰς στέγας,
Καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον.
Τίκτειν δ' ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς,
Ἃ 'γὼ προνοίᾳ τῇ τε σῇ, κἀμῇ γέρον,
Κτείνειν θέλων, τήνδ' ἐκ χειρῶν ἁρπάζομαι.

Καί

,, Materna vitia. Quamobrem etiam conſiderate
,, Proci, vt ex bona matre *natam* filiam ducatis.
Præterea vero in fratrem, quam contumelioſus fuiſti?
Iubens interficere filiam ſtultiſſime.
Adeo timuiſti ne non haberes malam coniugem.
Capta autem Troia, (nam & huc tua cauſa veniam)
Non interfeciſti vxorem redactã in tuam poteſtstem:
Sed poſtquam vidiſti vbera, abiecto gladio,
Oſculum accepiſti, adulans canem proditricem,
Factus inferior Venere, ô ignauiſſime tu.
Deinde profectus in ædes meorum liberorum,
Diripis *eas ipſis* abſentibus, & mulierem miſeram
Interficis turpiter, & puerum, qui plorantem te,
Et tuam filiam in ædibus faciet,
,, Quanquam ſpurius eſt: ſæpe vero
,, Arida ſeminatio vicit pinguem terram.
,, Et multi nothi *ſunt* præſtantiores legitimis.
,, Sed abduc filiam. Melius *eſt* hominibus
,, Pauperem bonum, quam malum, & diuitem
,, Generum acquirere, & amicũ: tu vero es nihili homo.
Cho. Ex paruo initio hominibus magnam contentionem
,, Lingua excitat. ſed hoc prudentes homines
,, Cauent, ne litigent cum amicis.
Men. Quid igitur dicas ſenes eſſe ſapientes,
Et illos *ſapere*, qui quondam viſi ſunt Græcis ſapere?
Quando tu exiſtens Peleus, & natus ex inclyto patre,
Affinitate *mecũ* iunctus, tibi quidem ipſi turpia dicis,
Et nobis probra propter mulierem barbaram *obiicis*,
Quam oportebat te expellere vltra flumen Nili,
Et vltra Phaſim, & me ſemper *ad hoc* hortari:
Cũ ſit epirotica, *Aſia continentẽ incolens*, vbi cadauera
Multa Græciæ iacent armis cæſa mortuorum,
Et cum ſit ex parte rea ſanguinis tui filii.
Nam Paris, qui filium tuum Achillem interfecit,
Erat frater Hectoris, hæc vero *erat* coniunx Hectoris,
Et tamen tu cum hac idem ſubis tectum,
Et eiuſdem menſæ participẽ vitam *cum ea* vis habere.
Et ſinis parere domi inuiſos liberos,
Quæ ego mihi, & tibi proſpiciens, ſenex,
Volui interficere hanc, quæ mihi rapitur ex manibus.
Sed

Digitized by Google

Sed age (non eſt enim turpe colloqui.)
Si mea quidem filia non pariat, ex iſta vero
Naſcantur liberi, *eos* huius terræ Phthioticæ
Conſtitues dominos? & cum ſint genere barbari
Græcis imperabunt? Deinde vero ego quidē nō ſapi-
Qui odi iniuſta, tibi vero ineſt mens, *&* *ſapis?*
Illud etiam nunc aſpice, *conſidera.* ſi tu filiam tuam
Dediſſes alicui ciuium, & accidiſſent hæc ei,
An ſederes tacitus? non opinor. ꝑ peregrina vero
Talia dicis aduerſus neceſſarios amicos?
Idem tamen ius habet vir, & mulier
Iniuria affecta a marito: ſic etiam vir
Cum habet in ædibus mulierem impudicam.
Et huic quidem *viro* magnū robur eſt in manibus.
Huic vero *mulieri* in parentibus, & amicis res *ſunt* po-
Ergo iuſtum eſt me opem ferre meis. [ſitæ.
Senex, ſenex es. de mea vero prætura militari
Dicens, plus iuuas me, quam tacens.
Helena vero venit in ærumnas nō volēs, ſed diuinitus.
Et hoc plurimum profuit Græciæ.
Nam cum eſſent imperiti armorum, & pugnæ,
Profecerunt ad fortitudinem. Nam conuerſatio
„ Omnium *rerum* eſt hominibus magiſtra.
„ Quod autem ego veniens in conſpectum meæ
Coniugis, cohibui me. ne interficerē *eam*, ſapiēter feci.
Vellem nec te interfeciſſe Phocum *fratrem*.
Hæc bene volens tibi pluribus ſum perſecutus, nō iræ
gratia. [*garrulitas*
Si vero excandeſcas, tibi quidem linguæ morbus, *&*
Maior *eſt*, mihi vero lucro *eſt* prouidentia.
Cho. Ceſſate iam (hoc enim eſt multo melius)
Verbis ab inanibus, ne ambo ſimul offendatis.
Pel. Hei mihi, quam malus mos eſt in Græcia?
„ Quum exercitus ſtatuit trophæa de hoſtibus,
„ Non putant hoc opus eſſe laborantium *militum:*
„ Sed imperator *victoria* gloriam reportat,
„ Qui vnus vibrans haſtam cum aliis innumeris,
„ Nihil plus vno faciens, habet maiorem famam.
„ Graues autem *viri* in magiſtratib. ſedētes in vrbibus,
„ Sunt ſuperbiores plebe, cū *tamen* ſint hoīes nihili.
„ Illi ſunt ſapientiores multis aliis, „ Si

Digitized by Google

Καί τοι φέρ', ἄψαυστος γὰρ οὐκ αἰσχρὸν λόγου,
Ἢν παῖς μὲν ἢ μὴ μὴ τίκῃ, ταύτης δ' ἄπο
Βλαστῶσι παῖδες, τῆσδε γῆς Φθιώτιδος
Στήσεις τυράννους, βάρβαροι δ' ὄντες γένος
Ἕλλησιν ἄρξουσ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ,
Μισῶν τὰ μὴ δίκαια, σοὶ δ' ἔνεστι νοῦς;
Κἀκεῖνο νῦν ἄθρησον. εἰ σὺ παῖδα σὴν
Δοὺς τῷ πολιτῶν, εἶτ' ἔπασχε τοιάδε,
Σιγῇ κάθησ' ἄν; οὐ δοκῶ. ξένης δ' ὕπερ
Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
Καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ σθένει
„ Ἀδικουμένη πρὸς ἀνδρός. ὡς δ' αὔτως ἀνὴρ
„ Γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
Καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
Τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
Οὐκ οὖν δίκαιον τοῖς γ' ἐμοῖς ἐπωφελεῖν.
Γέρων, γέρων εἶ. τὴν δ' ἐμὴν στρατηγίαν
Λέγων, ἔμ' ὠφελοῖς ἄν, ἢ σιγῶν, πλέον.
Ἑλένη δ' ἐμόχθησ' οὐχ ἑκοῦσ', ἀλλ' ἐκ θεῶν,
Καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα.
Ὅπλων γὰρ ὄντες καὶ μάχης ἀΐστορες,
Ἔβησαν εἰς τἀνδρεῖον. Ἡ δ' ὁμιλία,
„ Πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
„ Εἰ δ' εἰς πρόσοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
Γυναικὸς, ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.
Οὐδ' ἂν σὲ Φῶκον ἤθελον κατακτανεῖν.
Ταῦτ' εὖ φρονῶν σ' ἐπῆλθον, οὐκ ὀργῆς
χάριν.
Ἢν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
Μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.
χο. Παύσασθον ἤδη, λῷστα γὰρ μακρῷ τάδε.
Λόγων ματαίων, μὴ δύο σφαλῆθ' ἅμα.
πη. Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.
„ Ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς,
„ Οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
„ Ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται.
„ Ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,
„ Οὐδὲν πλέον δρῶν ἑνὸς, ἔχει πλείω λόγον.
„ Σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πόλιν,
„ Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες.
„ Οἱ δ' εἰσὶν αὐτῶν μυρίῳ σοφώτεροι.

„ Εἰ

Digitized by Google

,, Εἰ τόλμα προσγένοιτο, βούλησίς θ' ἅμα.
Ὡς καὶ σὺ, σός τ' ἀδελφὸς, ἐξωγκωμένοι
Τροίᾳ κάθησθε, τῇ τ' ἐκεῖ στρατηγίᾳ,
Μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
Δείξω δ' ἐγώ σοι, μὴ τὸν Ἰδαῖον Πάριν
Μείζω νομίζειν Πηλέως ἐχθρόν ποτε,
Εἰ μὴ φθερεῖ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης,
Καὶ παῖς ἄτεκνος. ἣν ὅδ' ἐξ ἡμῶν γεγὼς,
Ἐλᾷ δι' οἴκων τῆσδ' ἐπισπάσας κόμης.
Ἡ στεῖρος οὖσα μόσχος, οὐκ ἀνέξεται
Τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
Ἀλλ' εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
Ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
Φθείρεσθε τῆσδε δμῶες, ὡς ἂν ἐκμάθω,
Εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
Ἔπαιρε σαυτὴν, ὡς ἐγὼ, καίπερ τρέμων,
Πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
Ὧδ' ὦ κάκιστε τῆσδ' ἐλυμήνω χέρας;
Βοῦν ἢ λέοντ' ἤλπιζες ἐντείνειν βρόχοις;
Ἢ, μὴ ξίφος λαβοῦσ' ἀμυνάθοιτό σε,
Ἔδεισας; ἕρπε δεῦρ' ὑπ' ἀγκάλας βρέφος,
Ξύλλυε μητρὸς δεσμά. ἐν Φθίᾳ σ' ἐγὼ
Θρέψω, μέγαν τοῖσδ' ἐχθρόν. εἰ δ' ἀπῆν δορὸς
Τοῖς Σπαρτιάταις δόξα, καὶ μάχης ἀγὼν,
Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες.
Χο. Ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος,
Καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.
Με. Ἄγαν προνωπὴς εἰς τὸ λοιδορεῖν φέρῃ.
Ἐγὼ δὲ πρὸς βίαν μὲν εἰς Φθίαν μολὼν,
Οὔτ' οὖν τι δράσω φλαῦρον, οὔτε πείσομαι.
Καὶ νῦν μὲν, οὐ γὰρ ἄφθονον σχολὴν ἔχω,
Ἄπειμ' ἐς οἴκους. ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης, πόλις τις, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
Νῦν δ' ἐχθρὰ ποιεῖ. τήνδ' ἐπεξελθεῖν θέλω,
Στρατηλατήσας, ὥσθ' ὑποχείριον λαβεῖν.
Ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην
ἐμὴν,
Ἥξω. παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
Γαμβροὺς διδάξω, καὶ διδάξομαι λόγους.
Κἂν μὲν κολάζῃ τήνδε, καὶ τὸ λοιπὸν ᾖ

Σώ-

» Si accedat audacia,& conſilium ſimul.
Sicut tu,& tuus frater tumefacti
Propter Troiā ſedetis,& ob militarē prętură illic *geſtā*,
Ærumnis aliorum,& laboribus elati.
Oſtendam autem ego tibi. ne Idæum Paridem
Putes maiorem hoſtem Peleo poſthac,
Niſi in malam rem abieris quā celerrime ex iſta domo,
Et filia ſterilis,quam iſte ex nobis natus
Raptabit per ædes iſta correpta coma.
Quæ exiſtens ſterilis vitula,non fert
Alias parientes,ipſa non habens liberos.
Sed ſi illa,quod attinet ad liberos,eſt infelix,
An oportet nos *propterea* orbare liberis?
Diſcedite ab iſta ſerui,vt videam
Si quis prohibebit me ſoluere huius manus.
Erige te,vt ego,quanquam tremens,
Remittam conſertos laqueos vinculorum.
Sic ô peſſime læſiſti huius manus?
Putabasne te bouem aut leonem vincire laqueis?
An, ne correpto gladio propulſaret,*ac vlciſceretur* te,
Metuiſti?veni huc ſub vlnas ô puer,
Solue matris vincula. Ego te in Phthia
Alam,magnum iſtis hoſtem.Si vero deeſſet belli
Gloria Spartanis,& pugnæ certamen,
Scitote,quod *in* cæteris *rebus* nullo eſtis meliores.
Cho. Soluta quædam,*ac libera* res *eſt* ſenum genus,
Et ægre poteſt cohiberi propter iracundiam.
Men. Valde pronus ad conuiciandum ferris.
Ego vero per vim profectus in Phthiam,
Nihil mali faciam,neque patiar.
Et nunc quidem (nam non multum habeo ocii)
Redeo domum.Nam eſt quædam non procul
A Sparta vrbs,quæ antea quidem erat amica,
Nunc vero hoſtilia *facinora* facit,hāc ꝑſequi volo.
Copiis *aduerſus eā* ductis, vt in poteſtatē meā redigā.
Vbi vero *res*, quæ *ſunt* illic, ex animi mei ſententia
compoſuero,
Redibo. Præſens autem apud præſentes aperte
Generos docebo *meos*,& diſcam *eorum* rationes.
Et ſi puniat hanc. & in poſterum ſit

Mode-

Modeſt⁹ erga nos, modeſtiã *noſtrã* viciſſim capiet.
,, Iratus vero, ſentiet iratos.
,, Factisque facta reſpondentia viciſſim accipiet.
Tua vero verba facile ego fero,
Nam ſimilis vmbræ, vocem habes,
Cum nihil aliud poſſis quam loqui ſolum.

Pel. Præcede me huc fili, ſtans ſub vlnis,
Et tu ô miſera: nam ſæuam tempeſtatem
Nacta venisti in tranquillos portus.

And. O ſenex dii dent bona tibi & tuis,
Qui ſeruaſti filium, & me miſeram.
Sed vide ne nunc in ſolitudinem viæ
Fugientes iſti, per vim abducant me,
Videntes te quidem eſſe ſenem, me vero imbecillem,
Et iſtum puerum infantem. conſidera iam iſta,
Ne nunc effugientes, capiamur poſtea.

Pel. Ne afferas ſermonem mulierum timidarum.
Vade. quis vos attinget? Plorans igitur
Attinget, nam beneficio Dei, & equeſtribus copiis,
Et multis peditibus imperamus in Phthia.
Et nos ſumus integro robore, & non ſenes, vt tu putas.
Sed in talem virum intuens tantum,
Statuam trophæum de ipſo, quamuis ſenex ſim.
,, Multis enim iuuenibus etiam ſenex, ſi ſit animoſus,
,, Præſtantior eſt. Qđ .n. oportet ignauũ hoĩm eſſe bono
corporis habitu?

EPODICA.

Strophe.

Ch. Aut ne naſcar, aut
,, Ex bonis parentibus
,, Naſcar, potentiumque
,, Domorum *ſim* particeps.
,, Si quam enim *rem* patiatur aliquis difficilem,
,, Non eſt defectus defenſionis nobilibus:
,, Ex præclaris vero facinoribus, quæ celebrantur,
,, Honor, & gloria *paratur*.
,, Nunquam reliquias bonorum
,, Virorum aufert
,, Tempus. virtus enim
,, Etiam mortuis lucet.

Anti-

Digitized by Google

Σώφρων καθ' ἡμᾶς, σώφρον' ἀντιλήψεται,
,, Θυμούμενος δὲ, τεύξεται θυμουμένων.
,, Ἔργοισι δ' ἔργα διάδοχ' ἀντιλήψεται.
Τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω.
Σκιᾶς γὰρ ἀντίστοιχος ὡς φωνὴν ἔχεις,
Ἀδύνατος οὐδὲν ἄλλο, πλὴν λέγειν μόνον.
πη. Ἡγοῦ τέκνον μοι δεῦρ', ὑπ' ἀγκάλαις σταθείς,
Σύ τ' ὦ τάλαινα. χείμονος γὰρ ἀγρίου
Τυχοῦσα, λιμένας ἦλθες εἰς εὐηνέμους.
αν. Ὦ πρέσβυ, θεοί σοι δοῖεν εὖ, καὶ σοῖς,
Σώσαντι παῖδα, κἀμὲ τὴν δυσδαίμονα.
Ὅρα δὲ, μὴ νῷν εἰς ἐρημίαν ὁδοῦ
Πτήξαντες οἵδε, πρὸς βίαν ἄγωσί με,
Γέροντα μὲν σ' ὁρῶντες, ἀσθενῆ δ' ἐμὲ,
Καὶ παῖδα τόνδε νήπιον. σκόπει τάδε.
Μὴ νῦν φυγόντες, εἶθ' ἁλῶμεν ὕστερον.
πη. Οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον.
Χώρει, τίς ὑμῶν ἅψεται; κλαίων ἄρα
Ψαύσει. θεοῦ γὰρ οὕνεχ', ἱππικοῦ τ' ὄχλου,
Πολλῶν θ' ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα.
Ἡμεῖς δ' ἔτ' ὀρθοὶ, κοὐ γέροντες, ὡς δοκεῖς.
Ἀλλ' ἔς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον,
Τροπαῖον αὐτοῦ στήσομαι, πρέσβυς περ ὤν.
,, Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ,
,, Κρείσσων. τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

ΕΠΩΔΙΚΑ.

Στροφή.

χο. Ἢ μὴ γενοίμαν, ἢ
,, Πατέρων ἀγαθῶν
,, Εἴην, πολυκτήτων τε
,, δόμων μέτοχος.
,, Εἴ τι γὰρ αὖ πάσχοι τις ἀμήχανον,
,, Ἀλκᾶς οὐ σπάνις εὐγενέταις.
,, Κηρυσσομένων δ' ἀπ' ἐσθλωμάτων,
,, Τιμὰ, καὶ κλέος.
,, Οὔτοι λείψανα τῶν ἀγαθῶν
,, Ἀνδρῶν ἀφαιρεῖται
,, Χρόνος. ἁ δ' ἀρετὰ
,, Καὶ θανοῦσι λάμπει.

Ἀντ.

Digitized by Google

Ἀντιστροφή.

» 1 Κρέσσον δὲ νίκαν μὴ
» 2 Καχόδοξον ἔχειν,
» 3 Ἢ ξὺν φθόνῳ σφάλλειν
» 4 Δυνάμει τε δίκαν.
» 5 Ἡδὺ μὲν αὐτίκα τοῦτο βροτοῖσιν,
» 6 Ἐν δὲ χρόνῳ τελέθει ξηρόν.
7 Καὶ μὴν καὶ ὀνείδεσιν ἔγκειται δόμων,
8 Ταύταν ᾔνεσα,
» 9 Ταύταν καὶ φέρομαι βιοτάν,
» 10 Μηδὲν δίκας ἔξω
11 Κράτος, ἐν θαλάμοις,
12 Καὶ πόλει δύνασθαι.

Ἐπῳδός.

» 1 Ὦ γέρον Αἰακίδα,
2 Πείθομαι καὶ σὺν Λαπίθαισί σε, καὶ Κεν-
3 Ταύροις ὁμιλῆσαι δορὶ κλεινοτάτῳ.
4 Καὶ γὰρ ἐπ' Ἀργῴου δορὸς
5 Ἄξενον ὑγρὰν ἐκπερᾶσαι
6 Ποντίαν ξυμπληγάδα,
7 Κλεινὰν ἐπὶ ναυστολίαν,
8 Ἰλιάδα τε πόλιν ὅτε πάρος
9 Εὐδόκιμος ὁ Διὸς
10 Ἶνις ἀμφέβαλεν φόνῳ,
11 Κοινὰν τὰν εὔκλειαν
12 Ἔχοντ', Εὐρώπαν ἀφικέσθαι.

ΙΑΜΒΟΙ.

Θε. Ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακῷ
Διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται.
Δέσποινα γὰρ κατ' οἶκον, Ἑρμιόνην λέγω,
Πατρός τ' ἐρημωθεῖσα, συννοίᾳ θ' ἅμα,
Οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν,
Καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει,
Πόσιν τρέμουσα, μὴ ἀντὶ τῶν δεδραμένων
Ἐκ τῶνδ' ἀτίμως δωμάτων ἀποσταλῇ,
Ἢ κατθάνῃ κτείνουσα τοὺς οὐ χρὴ θανεῖν.
Μόλις δέ νιν, θέλουσαν ἀρτῆσαι δέρην,
Εἴργουσι φύλακες δμῶες, ἔκ τε δεξιᾶς
Ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
Οὕτω μέγ' ἀλγεῖ. καὶ τὰ πρὶν δεδραμένα

Ἔγνω-

Digitized by Google

Antiſtrophe.

Melius autem eſt victoriam non
Mala fama contaminatam habere,
Quam cum inuidia ſubuertere,
Et opum vi iuſtitiam.
Hoc eſt quidem dulce in præſentia hominibus,
Cum tempore vero fit aridum, *& amarum,*
Quin etiam & probris incumbit familiarum, *i. in fam.*
Hanc laudo, [*probrum, dedecusq; recidit.*
Hanc etiam ſequor, *amplectorq;* vitam,
Si nihil extra ius
Imperium, in thalamis, *rebusq; priuatis,*
Et vrbe, *rebusq; publicis* poſſit.

Epodus.

O ſenex Æcacida,
Credo te & cum Lapithis, & Cen-
taurorum haſta laudatiſſima rem habuiſſe:
Et Argoa naui, *i. Argo naui,*
Inhoſpitales, *&* humidas traieciſſe
Marinas Symplegadas
Inclytam ad nauigationem,
Iliacamque *ad* vrbem, quando primum
Clarus Iouis
Filius *eam* implicuit nece,
Communem *&* gloriam
Habentem, *illinc ad* Eurotam rediiſſe.

Famula.

O chariſſimæ mulieres, quam malum male *malo*
Succedens viciſſim in hoc die paratur.
Nam domina in ædibus, Hermionem dico,
A patre deſerta, & conſcientia ſimul *illius*
Facinoris, quod patrauit, quod Andromachã occidere,
Et filium *eius* ſtatuiſſet, mori vult,
Metuens maritum, ne pro factis
Ex iſtis ædibus ignominioſe ablegetur,
Aut moriatur, quod voluerit occidere, quos nõ opor-
Vix aũt ipſam volentẽ ſuſpendere collũ [tebat mori.
Prohibent famuli cuſtodes, & ex dextera
Gladios rapiunt auferentes,
Tam valde dolet, & prius facta

Agnouit a ſe non bene facta. Ego quidem
Dominam prohibens a laqueo, defeſſa ſum,
Vos vero ingredientes in iſtas ædes,
„ Liberate eam a morte: nam conſuetis, *ac veteris*
„ Amicis noui venientes, ad *aliquid nobis* perſuadendum
Cho. Atqui in ędib. miniſtrorũ audimus [*ſunt aptiora*
Clamorem de rebus quas tu venis nuncians:
Videtur autem demonſtratura miſera quantũ poſſit,
Quæ patrarit atrocia: nam excurrit ex ædibus,
Fugiens manus miniſtrorum, cupiditate mortis.

ANOMOEOSTROPHA.

Strophe I.

Her. Hei mihi, mihi,
Lacerationem comæ, vnguiumque hoſti:
Les laniationes faciam.
Cho. O filia quid facies? corpusne tuum damno fœdabis?

Strophe II.

Her. Heu, heu, heu, heu.
Vade in ætherem a capillis meis
Tenue velum.
Fam. Filia, tege pectus, colliga peplis.

Strophe III.

Her. Quid vero oportet me tegere pectus peplis?
Manifeſta, vndique conſpicua, &
Non occulta fecimus contra maritum.
Fam. Doles quod ſtruxeris necem tuæ pellici?

Strophe IIII.

Her. Gemo profecto *propter* hoſtilem audaciam,
Quam feci, ô execrabilis
Ego, execrabilis viris.
Fam. Condonabit tibi hoc peccatum maritus.

Strophe V.

Her. Quare rapuiſti mihi gladium ex manu?
Redde ô chara,
Redde, vt aduerſam
Infligam plagam:
Quare arces me a laqueis?
Fam. An vero dimitterem te furentem, vt moriaris?

Strophe VI.

Her. Heu exitium, vbi eſt mihi chara flamma ignis?

Vbi

Ἔγνωκε πράξασ' οὐ καλῶς. ἐγὼ μὲν οὖν
Δέσποιναν εἴργουσ' ἀγχόνης, κάμνω, φίλαι.
Ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω,
,, Θανάτου νιν ἐκλύσασθε. Τῶν γὰρ ἠθάδων
,, Φίλων νέοι μολόντες, εὐπιθέστεροι.
Καὶ μὴν ἐν οἴκοις προσπόλων ἠκούομεν
Βοὴν, ἐφ' οἷσιν ἦλθες ἀγγέλλουσα σύ.
Δείξειν δ' ἔοικεν ἡ τάλαιν', ὅσον στένει
Πράξασα δεινά. δωμάτων γὰρ ἐκπερᾷ
Φεύγουσα χεῖρας προσπόλων, πόθῳ θανεῖν.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Ἰώ μοι μοί,
Σπάραγμα κόμας, ὀνύχων τε δά-
ϊα μύγματα θήσομαι.
Ὦ παῖ, τί δράσεις σῶμα σὸν καταικιῇ;

Στροφὴ β'.

Αἶ, αἶ, αἶ, αἶ.
Ἔρρ' αἰθέριον πλοκάμων ἐμῶν
Ἀπο, λεπτόμιτον φάρος.
Τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλοις.

Στροφὴ γ'.

Τί δέ με δεῖ καλύπτειν πέπλοις στέρνα;
Δῆλα, καὶ ἀμφιφανῆ, καὶ
Ἄκρυπτα δεδράκαμεν πόσιν.
Ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σέθεν;

Στροφὴ δ'.

Κατὰ μὲν οὖν στένω δαΐας τόλμας,
Ἃν ἔρεξ', ὦ κατάρατος
Ἐγὼ, κατάρατος ἀνθρώποις.
Συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.

Στροφὴ ε'.

Τί μοι ξίφος ἐκ χερὸς ἠγρεύσω;
Ἀπόδος ὦ φίλη,
Ἀπόδος, ἵν' ἀνταίαν
Ἐρείσω πλαγάν.
Τί με βρόχων εἴργεις;
Ἀλλ' ἤ σ' ἀφείην μὴ φρενοῦσαν, ὡς θάνοις;

Στροφὴ ϛ'.

Οἴμοι πότμου, ποῦ μοι πυρὸς φίλα φλόξ;

Ποῖ δ' εἰς πέτρας ἀερθῶ;
Κατὰ πόντον, ἢ καθ' ὕλαν ὀρέων,
Ἵνα θανοῦσα νερτέροισι μέλω;
χο. Τί ταῦτα μοχθεῖς; συμφοραὶ θεήλατοι
„ Πᾶσι βροτοῖσιν ἢ τότ' ἦλθον, ἢ τότε.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἑρ. Ἔλιπες ἔλιπες ὦ πάτερ, ἐπακτίαν
Ὡσεὶ μονάδ' ἔρημον οὖσαν
Ἐναλίου κώπας.
Ὀλεῖ μ' ὀλεῖ με.
Οὐκέτι τᾷδ' ἐνοικήσω
Νυμφιδίῳ στέγᾳ.
Τίνος ἀγαλμάτων ἱκέτις ὁρμαθῶ;
Ἢ δούλα δούλοις γούνασι προσπέσω
Φθιάδος ἐκ γᾶς;
Κυανόπτερος ὄρνις εἴθ' εἴην,
Ἢ πευκᾶεν σκάφος, ἢ
Διὰ κυανέας ἐπέρασ' ἀκτὰς
Πρωτόπλους πλάτα.

ΙΑΜΒΟΙ.

τρ. Ὦ παῖ, τὸ μὲν λίαν οὔτ' ἐκεῖν' ἐπῄνεσα,
Ὅτ' εἰς γυναῖκα Τρῳάδ' ἐξημάρτανες,
Οὔτ' αὖ τὸ νῦν σου δεῖμ', ὃ δειμαίνεις ἄγαν.
Οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις,
Φαύλοις γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
Οὐ γάρ τι σ' αἰχμάλωτον ἐκ Τροίας ἔχει,
Ἀλλ' ἀνδρὸς ἐσθλοῦ παῖδα σὺν πολλοῖς λαβὼν
Ἕδνοισι, πόλεώς τ' οὐ μέσως εὐδαίμονος.
Πατὴρ δέ σ' οὐχ ὧδ', ὡς σὺ δειμαίνεις τέκνον,
Προδοὺς ἐάσει δωμάτων τῶνδ' ἐκπεσεῖν.
Ἀλλ' εἴσιθ' εἴσω. μηδὲ φαντάζου δόμων
Πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς
Πρόσθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον.
χο. Καὶ μὴν ὅδ' ἀλλόχρως τις ἔκδημος ξένος
Σπουδῇ πρὸς ἡμᾶς δωμάτων πορεύεται.
ὀρ. Ξέναι γυναῖκες, ἦ τάδ' ἔστ' Ἀχιλλέως
Παιδὸς μέλαθρα, καὶ τυραννικαὶ στέγαι;
χο. Ἔγνως. ἀτὰρ δὴ τίς σὺ πυνθάνῃ τάδε;
ὀρ. Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τόκος,
Ὄνομα δ' Ὀρέστης. ἔρχομαι δὲ πρὸς Διὸς

Vbi vero ad *vitæ* finem ſublimis ferar?
Vtrum in mare, an in ſyluam montium *me conferam*,
Vt mortua ſim curæ inferis?
10. Quid iſta laborioſe paras? calamitates diuinitus
„ Omnibus hominibus veniunt, aut tunc, aut tunc.

MONOSTROPHICA.

er. Reliquiſti, reliquiſti *me* ô pater, in littore ſtantem
Vt *nauem*, ſolam, deſtitutam exiſtentem
Marino remo:
Perdes me, perdes me.
Non amplius in hac habitabo
Maritali domo.
Cuius ſtatuas ſupplex petam?
An ſerua accidam ad ſeruilia genua
Phthiæ ex terra *quæ venerint*?
Vtinam eſſem cæruleis alis prædita auis,
Aut pinea nauis, quæ
Per cærulea penetrauit littora,
Prima nauigans remo.

Famula.

O filia neque tunc illa valde laudaui,
Quando peccaſti in mulierem Troianam:
Neque nunc tuum hunc metum, quo nimium times.
Non ſic repellet tuum connubium maritus,
Perſuaſus mala oratione barbaræ mulieris.
Non enim habet te captiuam ex Troia,
Sed viri præſtantis filiam accipiens cum magna
Dote, & ex vrbe non mediocriter beata.
Et pater te non ſicut tu metuis filia,
Deſerens ſinet eiici ex hac domo.
Sed vade intro, neque *hæc* imagineris ædes
Ante has, ne quod dedecus accipias, *tibi conſtes*,
Conſpecta ante hanc aulam, ô filia. [grinus hoſpes
Cho. Atqui hic alio corporis colore præditus quiſpiã pere-
Celeriter ad nos *ex illa* domo venit.
Ore. Mulieres hoſpitæ, an hæc eſt Achillis
Filii domus, & regiæ ædes?
Cho. *Eas* cognouiſti: ſed quis exiſtens interrogas hæc?
Ore. Agamemnonis & Clytæmneſtræ filius,
Nomine Oreſtes, venio autem ad Iouis

Oraculum Dodonæum: poſtquam autem veni
In Phthiam, placuit mihi percontari de cognata
Muliere, an viuat, & bene valeat,
Spartana Hermione. remotos enim
Quamuis habitet procul a nobis cāpos, tamē eſt cha.

Fam. O nautis portus tempeſtatis apparens, [ſin
Agamemnonis fili, *oro* te per iſta genua
Miſerere noſtri (quorum fortunam inſpicis)
Infeliciū: non minus aūt valentes quā rami ſupplicum
Tuis appono genibus vlnas meas.

Ore. Age, quæ nam eſt res? num erramus? an clare video
Filiam Menelai reginam harum ædium?

Her. Quam ſolam Tyndaris mulier peperit
Helena patri in ædibus, ne ignores.

Ore. O Phœbe medice des ſolutionem malorum:
Quænam res eſt? a diis, an hominibus pateris mala?

Her. Partim quidē a nobis, partim vero a viro, q me habet,
Partim etiam a Deo aliquo: vndiq; vero periimus:

Ore. Quæ vero poteſt eſſe nondum natis
Liberis mulieri calamitas, præterq̃ de connubio?

Her. Hac ipſa re languemus, recte meo ſermoni ſubſeruis.

Ore. Aliud connubium pro te amat maritus?

Her. Captiuam vxorem Hectoris.

Ore. Malum dixiſti, vnum virum habere duas coniuges.

Her. Talia *ſunt* hæc: deinde ego vlta ſum.

Ore. Num aduerſus mulierem ſtruxiſti, qualia ſolet mulier?

Her. Necem ipſi & filio notho.

Ore. Et occidiſti? an aliquis liberauit a calamitate?

Her. Senex Peleus, magis curans deteriores.

Ore. Tibine vero fuit aliquis, qui cædis huius ſocius fuerit?

Her. Pater, ad hoc ipſum ex Sparta profectus.

Ore. Et tamen ille ſuperatus eſt manu ſenis?

Her. Pudore, & me relinquens deſertam abiit.

Ore. Intelligo, metuis maritum propter facta.

Her. Tenes, perdet .n. me iuſte quid oportet dicere?
Sed rogo te, Iouem inuocans, cognatorum præſidem,
Mitte me ex hac regione quam longiſſime,
Aut ad paternas ædes: quia videntur mihi
Ædes hæ expulſuræ me, ſi loqui poſſent.
Et odit terra Phthia, & ſi venerit prius

Maritus

Μαντεῖα Δωδωναῖ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκῶ μοι ξυγγενοῦς μαθεῖν πέρι
Γυναικὸς, εἰ ζῇ, κ'εὐτυχοῦσα τυγχάνει,
Ἡ Σπαρτιᾶτις Ἑρμιόνη. τηλουρὰ γὰρ
Ναίουσ' ἀφ' ἡμῶν πεδί', ὅμως ἐστὶν φίλη.
Ὦ ναυτίλοισι χείματος λιμὴν φανεὶς,
Ἀγαμέμνονος παῖ, πρὸς σὲ τῶνδε γουνάτων,
Οἴκτειρον ἡμᾶς, ὧν ἐπισκοπεῖς τύχας,
Πράσσοντας οὐκ εὖ. στεμμάτων δ' οὐχ ἥσσονας
Σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.
ρ. Ἔα, τί χρῆμα; μῶν ἐσφάλμεθ'; ἢ σαφῶς ὁρῶ
Δόμων ἄνασσαν τήνδε Μενέλεω κόρην;
ρ. Ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει γυνὴ,
Ἑλένη, κατ' οἴκους πατρὶ, μηδὲν ἀγνόει.
ρ. Ὦ Φοῖβ' ἀκέστορ, πημάτων δοίης λύσιν.
Τί χρῆμα; πρὸς θεῶν, ἢ βροτῶν πάσχεις κακά;
ἐρ. Τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς, ὅς μ' ἔχει,
Τὰ δ' ἐκ θεῶν του. πανταχῇ δ' ὀλώλαμεν.
ὀρ. Τίς οὖν ἂν εἴη μὴ πεφυκότων γέ πω
Παίδων γυναικὶ συμφορὰ, πλὴν εἰς λέχος;
ἐρ. Τοῦτ' αὐτὸ καὶ νοσοῦμεν. εὖ μ' ὑπηγάγου.
ὀρ. Ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
ἐρ. Τὴν αἰχμάλωτον Ἕκτορος ξυνευνέτιν.
ὀρ. Κακόν γ' ἔλεξας, ἐν' ἄνδρα δισσ' ἔχειν λέχη.
ἐρ. Τοιαῦτα ταῦτα. κᾆτ' ἔγωγ' ἠμυνάμην.
ὀρ. Μῶν εἰς γυναῖκ' ἔρραψας οἷα δὴ γυνή;
ἐρ. Φόνον γ' ἐκείνῃ, καὶ τέκνῳ νοθαγενεῖ.
ὀρ. Κἄκτεινας, ἤ τις συμφορὰ ἀφείλετο;
ἐρ. Γέρων γε Πηλεὺς τοὺς κακίονας σέβων.
ὀρ. Σοὶ δ' ἦν τις ὅστις τοῦδ' ἐκοινώνει φόνου;
ἐρ. Πατήρ γ', ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.
ὀρ. Κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;
ἐρ. Αἰδοῖ γε. καί μ' ἔρημον οἴχεται λιπών.
ὀρ. Συνῆκα ταρβεῖς τοῖς δεδραμένοις πόσιν.
ἐρ. Ἔγνως. ὀλεῖ γάρ μ' ἐνδίκως. τί δεῖ λέγειν;
Ἀλλ' ἄντομαί σε, Δία καλοῦσ' ὁμόγνιον,
Πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω,
Ἢ πρὸς πατρῷον μέλαθρον. ὡς δοκοῦσί μοι
Δόμοι γ' ἐλαύνειν φθέγμ' ἔχοντες οἵδε με.
Μισεῖ τε γαῖα Φθιάς. εἰ δ' ἥξει πάρος

Φοίβου λιπὼν μαντεῖον εἰς δόμους πόσις,
Κτενεῖ μ' ἐπ' αἰσχίστοισιν. ἢ δουλεύσομεν
Νόθοισι λέκτροις, ὧν ἐδέσποζον πρὸ τοῦ.
ὀρ. Πῶς οὖν τάδ', ὡς εἴποι τις, ἐξημάρτανες;
ἑρ. Κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν,
» Αἵ μοι λέγουσαι τούσδ' ἐχαύνωσαν λόγους.
Σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις
Δούλην ἀνέξῃ, σοὶ λέχους κοινουμένην;
Μὰ τὴν ἄνασσαν, οὐκ ἂν ἔν γ' ἐμοῖς δόμοις
Βλέπουσ' ἂν αὐγὰς, τἄμ' ἐκαρποῦτ' ἂν λέχη.
Κἀγὼ κλύουσα τούσδε σειρήνων λόγους,
Σοφῶν, πανούργων, ποικίλων λαλημάτων,
Ἐξηνεμώθην μωρίᾳ. τί γάρ μ' ἐχρῆν
Πόσιν φυλάττειν, ᾗ παρῆν ὅσων ἔδει;
Πολὺς μὲν ὄλβος. δωμάτων δ' ἠνάσσομεν.
Παῖδας δ' ἐγὼ μὲν γνησίους ἔτικτον ἄν·
Ἡ δ' ἡμιδούλους τοῖς ἐμοῖς νοθαγενεῖς.
» Ἀλλ' οὔποτ' οὔποτ', οὐ γὰρ εἰσάπαξ ἐρῶ,
» Χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἐστιν γυνὴ,
» Πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
» Γυναῖκας. αὗται γὰρ διδάσκαλοι κακῶν.
» Ἡ μέν τι κερδαίνουσα, συμφθείρει λέχος.
» Ἡ δ' ἀμπλακοῦσα, συννοσεῖν αὐτῇ θέλει.
» Πολλαὶ δὲ, μαργότητι. κἀντεῦθεν
» δόμοι
» Νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
» Κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας.
» Ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
» Δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.
χο. Ἄγαν γ' ἐφῆκας γλῶτταν εἰς τὸ σύμφυτον.
Συγγνωστὰ μὲν οὖν σοι τάδ', ἀλλ' ὅμως χρεὼν
Κοσμεῖν γυναῖκας τὰς γυναικείους νόσους.
ὀρ. Σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς,
» Λόγους ἀκούειν τῶν ἐναντίων πάρα.
Ἐγὼ γὰρ εἰδὼς τῶνδε σύγχυσιν δόμων,
Ἔριν τε τὴν σὴν, καὶ γυναικὸς Ἕκτορος,
Φυλακὰς ἔχων ἔμιμνον, εἴτ' αὐτοῦ μενεῖς,
Εἴτ' ἐκφοβηθεῖσ' αἰχμαλωτίδος φόβῳ
Γυναικὸς, οἴκων τῶνδ' ἀπαλλάχθαι θέλεις.
Ἦλθον δὲ, τὰς σὰς οὐ μένων ἐπιστολάς.

Εἰ δ'

Maritus domum, linquens oraculum Phœbi,
Occidet me propter *res* turpiſſimas: aut ſeruiemus
Pellici, cui antea imperabamus.

Ore. Quomodo autem hæc, vt ita quis dicat, peccaſti?

Her. Malarum mulierum introitus me perdiderunt,
,, Quæ mihi dicentes hæc laxarunt, *ac amplificantes protulerunt* verba,
Tu peſſimam captiuam in ædibus,
Seruam tolerabis, tecum lecti ſociam?
Per reginam, non ſaltem in meis ædibus
Videns lucem frueretur meo lecto:
Ego vero audiens iſtos Sirenum ſermones,
Callidæ, veteratoriæ, variæ loquacitatis,
Inaniter elata ſum ſtultitia. quid enim opus erat me
Metuere maritum, cui aderant quibus opus erat?
Multæ quidem diuitiæ, & ædibus imperabamus:
Ego autem peperiſſem filios legitimos,
Illa vero ſemiſeruos meis, nothos:
,, Sed nunquam, nunquam, non enim ſemel dicam,
,, Oportet prudentes, quibus eſt mulier,
,, Ad vxorem in ædibus ſinere ingredi
,, Mulieres. iſtæ enim *ſunt* magiſtræ malorum,
,, Alia quidem captans lucrum corrumpit lectum,
,, Alia vero quæ peccauit, vult *aliam* ſecum ægrotare.
,, Multæ vero propter ignauiam *& libidinem peccant.* &
,, inde familiæ
,, Virorum languent. Aduerſus hæc bene munite
,, Ianuas ædium clauſtris & vectibus:
,, Nam nihil boni externi introitus
,, Mulierum faciunt, ſed etiam multa mala.

Cho. Nimiũ immiſiſti *ſolutã* linguam in cognatum ſexum,
Condonanda quidem tibi *ſunt* hęc: ſed tamẽ decet
Mulieres ornare muliebres naturas.

Ore. Sapiens quædam res *eſt* eius, qui docuit homines
,, Rationes audire *coram* ab aduerſariis.
Ego enim ſciens perturbationem huius familiæ,
Et tuam litem & vxoris Hectoris,
Expectabam habens cuſtodias, an hic maneres,
An perterrefacta metu captiuæ
Mulieris, velles diſcedere ex hac domo,
Veni autẽ non expectans tuas epiſtolas, *& mandata,*

Si

Si autem reddas rationem,ſicut reddis,
Mittam te ab his ædibus. Nam cum prius mea eſſes
Habitas cum iſto viro,perfidia tui patris.
Qui,priusquam faceret irruptionem in fines Troiæ,
Dedit te mihi vxorem: & poſtea promiſit
Nunc te habenti,ſi expugnaret vrbem Troianam.
Poſtquam autem rediit huc filius Achillis,
Tuo quidem ignoui patri,hunc vero rogaui,
Vt relinqueret tuum cõnubiũ, dicens meas *ærumnas*,
„ Et præſentẽ *malum* dæmonem,quod cognatis *quidem*
„ A viris poſſem ducere vxorẽ,aliũde vero nõ facile,
Exulans ab ædibus,quale exilium ego exulo.
Ille vero erat contumelioſus, & in necem meæ matris,
Et cruento vultu terribiles Deas, *i. Furias* exprobrabat
Et ego abiectus domeſtica fortuna, [mihi.
Dolebã quidẽ,dolebã,calamitatib. vero detinebar,
Et priuatus tuis nuptiis inuitus abibam. [fortunam.
Nunc igitur,quoniã in contrariũ ſubito mutatã habes
Et in calamitatem hanc lapſa, mentis inops hæres,
Ducam te ab ædibus, & tradam in manum patris.
„ Cognatio enim multũ poteſt: & in aduerſis rebus
„ Nihil melius eſt domeſtico amico.

Her. Deſponſationis quidem meæ pater meus
Curam habebit,& non eſt meum ſtatuere hoc.
Sed quam primum abduc me ex iſtis ædibus,
Ne anteuertat me accedens ad domũ,& veniẽs maritꝰ,
Vel deſerentem me domum filii reſciſcens
Peleus, perſequatur equeſtri perſecutione.

Ore. Confide,ſenis manum,& Achillis
Filium ne metuas,qui me contumelia affecit.
Nam tales inſidiæ ei ſtructæ
In laqueis inexplicabilibus ſunt necis
Ab hac manu,quas *inſidias* prius quidem non dicam:
Sed perfecta *re*, ſciet Delphica petra.
Matricida vero (ſi ſociorum meorum
Fœdera manſerint *firma* in terra Pythica)
Oſtẽdet eũ nullã *earũ debuiſſe* ducere,quas ego debebã,
Suo autem malo poſcet pœnam paternæ necis
A rege Phœbo: neque illum mutatio
Animi iuuabit,dantem nunc pœnas Deo,

Sed

Εἰ δ᾽ ἐνδιδοίης, ὥσπερ ἐνδίδως, λόγους,
Πέμψω σ᾽ ἀπ᾽ οἴκων τῶνδ᾽. ἐμὴ γὰρ οὖσα πρὶν,
Σὺν τῷδε ναίεις ἀνδρὶ, σοῦ πατρὸς κάκῃ.
Ὃς, πρὶν τὰ Τροίας εἰσβαλεῖν ὁρίσματα,
Γυναῖκ᾽ ἐμοὶ δοὺς, εἶθ᾽ ὑπέσχεθ᾽ ὕστερον
Τῷ νῦν σ᾽ ἔχοντι, Τρῳάδ᾽ εἰ πέρσοι πόλιν.
Ἐπεὶ δ᾽ Ἀχιλλέως δεῦρ᾽ ἐνόστησε γόνος,
Σῷ μὲν συνέγνων πατρὶ, τὸν δ᾽ ἐλισσόμην
Γάμους ἀφεῖναι σοὺς, ἐμὰς λέγων τύχας,
,, Καὶ τὸν παρόντα δαίμον᾽. ὡς φίλων μὲν ἂν
,, Γήμαιμ᾽ ἀπ᾽ ἀνδρῶν, ἔκτοθεν δ᾽ οὐ ῥᾳδίως.
Φεύγων ἀπ᾽ οἴκων, ἃς ἐγὼ φεύγω φυγάς.
Ὁ δ᾽ ἦν ὑβριστὴς, εἴς τ᾽ ἐμῆς μητρὸς φόνον,
Τάς θ᾽ αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
Κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν,
Ἤλγουν μὲν ἤλγουν, συμφοραῖς δ᾽ ἠνειχόμην.
Σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
Νῦν οὖν ἐπειδὴ περιπετεῖς ἔχεις τύχας,
Καὶ ξυμφορὰν τήνδ᾽ εἰσπεσοῦσ᾽ ἀμηχανεῖς,
Ἄξω σ᾽ ἀπ᾽ οἴκων, καὶ πατρὸς δώσω χερί.
,, Τὸ συγγενὲς γὰρ δεινὸν ἔν τε τοῖς κακοῖς
,, Οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.
ερ. Νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς
Μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τάδε.
Ἀλλ᾽ ὡς τάχιστα τῶνδέ μ᾽ ἔκπεμψον δόμων,
Μὴ φθῇ με προσβὰς δῶμα, καὶ μολὼν πόσις,
Ἢ παιδὸς οἴκους μ᾽ ἐξερημοῦσαν μαθὼν
Πηλεὺς, μετέλθοι πωλικοῖς διώγμασι.
ορ. Θάρσει, γέροντος χεῖρα, τὸν δ᾽ Ἀχιλλέως
Μηδὲν φοβηθῇς παῖδ᾽, ὅς εἰς ἔμ᾽ ὕβρισε.
Τοία γὰρ αὐτῷ μηχανὴ πεπλεγμένη
Βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου·
Πρὸς τῆσδε χειρὸς, ἣν πάρος μὲν οὐκ ἐρῶ,
Τελουμένων δὲ, Δελφὶς εἴσεται πέτρα.
Ὁ μητροφόντης δ᾽, ἢν δορυξένων ἐμῶν
Μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,
Δείξει γαμεῖν σφε μηδὲν ἂν ἐχρῆν ἐμέ.
Πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
Ἄνακτα Φοῖβον. οὐδέ νιν μετάστασις
Γνώμης ὀνήσει, θεῷ διδόντα νῦν δίκας.

Ἀλλ᾽

Digitized by Google

Ἀλλ' ἔκ τ' ἐκείνου, διαβολαῖς τε ταῖς ἐμαῖς
Κακῶς ὀλεῖται. γνώσεται δ' ἔχθραν ἐμήν.
„ Ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
„ Δαίμων δίδωσι, κοὐκ ἐᾷ φρονεῖν μέγα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ Φοῖβ', ὁ πυργώσας τὸν ἐν Ἰλίῳ
2 Εὐτειχῆ πάγον, καὶ πόντιε
3 Κυανέαις ἵπποις διφρεύων
4 Ἅλιον πέλαγος,
5 Τίνος οὕνεκ' ἄτιμον ὀργά-
6 ναν χέρα τεκτοσύνας
7 Ἐνυαλίῳ δοριμήστορι προσθέντες.
8 Τάλαιναν μεθεῖτε τάλαιναν Τροίαν;

Ἀντιστροφὴ α'.

1 Πλείστους δ' ἐπ' ἀκταῖσι Σιμουντίσιν
2 Εὐίππους ὄχους ἐζεύξατε,
3 Καὶ φονίους ἀνδρῶν ἁμίλλας
4 Ἔθετ' ἀστεφάνους.
5 Ἀπὸ δὲ φθίμενοι βεβᾶσιν
6 Ἰλιάδαι βασιλῆ-
7 ες. οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ
8 Θεοῖσιν λέλαμπεν καπνῷ θυώδει.

Στροφὴ β'.

1 Βέβακε δ' Ἀτρείδας
2 Ἀλόχου παλάμαις.
3 Αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
4 Πρὸς τέκνων ἀπηύρα.
5 Θεοῦ θεοῦ νιν
6 Κέλευσμ' ἐπεστράφη
7 Μαντόσυνον, ὅτε νιν
8 Ἀργόθεν πορευθεὶς
9 Ἀγαμεμνόνιος κέλωρ,
10 Ἀδύτων ἐπιβὰς κτεάνων, ματρὸς φονεύς.
11 Ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;

Ἀντιστροφὴ β'.

1 Πολλαὶ δ' ἀν' Ἑλλάνων
2 Ἀγορὰς ἀχόρους στοναχαῖς
3 Μέλποντο δυστάνων τεκέων ἄλοχοι.
4 Ἐκ δ' ἔλειπον οἴκους,

5 Πρὸς

Sed & ab illo, criminationibusque meis,
Male peribit. agnoſcet autem meam inimicitiam.
,, Nam virorum inimicorum ſortem in conuerſionem
,, Deus dat, & non ſinit ſuperbire.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 O Phœbe, qui turribus muniiſti in Ilio
2 Bene munitum vicum, & Neptune
3 Qui veheris cæruleis equis
4 Per marinum pelagus,
5 Quare gratuitam laboran-
6 tem manum *veſtri* artificii
7 Marti pugnandi perito prodentes
8 Reliquiſtis miſeram miſeram Troiam?

Antiſtrophe I.

1 Et plurimos ad ripas Simoentias
2 Præſtantibus equis inſtructos currus iunxiſtis,
3 Et certamina letalia virorum
4 Feciſtis ſine coronis, *i. victoria corona priuaſtis*,
5 Et abierunt mortui
6 Iliaci re-
7 ges: neque amplius ignis in ara Troiæ
8 Diis lucet fumo odorato.

Strophe II.

1 Periit autem Atrides *Agamemnon*
2 Coniugis manibus.
3 Ipſaque commutata cæde cum morte, *ſui ſceleris fructū*
4 A filiis *oblatum* percepit.
5 Dei Dei eam
6 Euertir mandatum
7 Fatidicum, quando eam
8 Argis profectus
9 Agamemnonius filius, [*uaſit*, matris interfector.
10 Inacceſſos cum adiiſſet theſauros *oraculi Delphici*, *in-*
11 O Deus, ô Phœbe, quomodo *hoc* credam?

Antiſtrophe II.

1 Multæ vero in Græcorum
2 Concionibus, *foriſq;* triſtes gemitus
3 Celebrabant *propter* infelices filios, vxores.
4 Reliqueruntque domos,

5 Ad

Ἀλλ' ἔκ τ' ἐκείνου, διαβολαῖς τε ταῖς ἐμαῖς,
Κακῶς ὀλεῖται. γνώσεται δ' ἔχθραν ἐμήν.
„ Ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
„ Δαίμων δίδωσι, κοὐκ ἐᾷ φρονεῖν μέγα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ὦ Φοῖβ', ὁ πυργώσας τὸν ἐν Ἰλίῳ
2 Εὐτυχῆ πάγον, καὶ πόντιε
3 Κυανέαις ἵπποις διφρεύων
4 Ἅλιον πέλαγος,
5 Τίνος οὕνεκ' ἄτιμον ὀργά-
6 ναν χέρα τεκτοσύνας
7 Ἐνυαλίῳ δοριμήστορι προσθέντες.
8 Τάλαιναν μεθεῖτε τάλαιναν Τροίαν;

Ἀντιστροφὴ α'.

1 Πλείστους δ' ἐπ' ἀκταῖσι Σιμοεντίσιν
2 Εὐίππους ὄχους ἐζεύξατε,
3 Καὶ φονίους ἀνδρῶν ἁμίλλας
4 Ἔθετ' ἀστεφάνους.
5 Ἀπὸ δὲ φθίμενοι βεβᾶσιν
6 Ἰλιάδαι βασιλῆ-
7 ες. οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ
8 Θεοῖσιν λέλαμπεν καπνῷ θυώδει.

Στροφὴ β'.

1 Βέβακε δ' Ἀτρείδας
2 Ἀλόχου παλάμαις.
3 Αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
4 Πρὸς τέκνων ἀπηύρα.
5 Θεοῦ θεοῦ νιν
6 Κέλευσμ' ἐπεστράφη
7 Μαντόσυνον, ὅτε νιν
8 Ἀργόθεν πορευθεὶς
9 Ἀγαμεμνόνιος κέλωρ,
10 Ἀδύτων ἐπιβὰς κτεάνων, ματρὸς φονεύς.
11 Ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;

Ἀντιστροφὴ β'.

1 Πολλαὶ δ' αὖ Ἑλλάνων
2 Ἀγορὰς ἀχόρους στοναχὰς
3 Μέλποντο δυστάνων τεκέων ἄλοχοι.
4 Ἐκ δ' ἔλειπον οἴκους,

5 Πρὸς

Sed & ab illo, criminationibusque meis,
Male peribit. agnoſcet autem meam inimicitiam.
„ Nam virorum inimicorum ſortem in conuerſionem
„ Deus dat, & non ſinit ſuperbire.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 O Phœbe, qui turribus muniiſti in Ilio
2 Bene munitum vicum, & Neptune
3 Qui veheris cæruleis equis
4 Per marinum pelagus,
5 Quare gratuitam laboran-
6 tem manum *veſtri* artificii
7 Marti pugnandi perito prodentes
8 Reliquiſtis miſeram miſeram Troiam?

Antiſtrophe I.

1 Et plurimos ad ripas Simoentias
2 Præſtantibus equis inſtructos currus iunxiſtis,
3 Et certamina letalia virorum
4 Feciſtis ſine coronis, *i. victoria corona priuaſtis,*
5 Et abierunt mortui
6 Iliaci re-
7 ges: neque amplius ignis in ara Troiæ
8 Diis lucet fumo odorato.

Strophe II.

1 Periit autem Atrides *Agamemnon*
2 Coniugis manibus.
3 Ipſaque commutata cæde cum morte, *ſui ſceleris fructũ*
4 A filiis *oblatum* percepit.
5 Dei Dei eam
6 Euertit mandatum
7 Fatidicum, quando eam
8 Argis profectus
9 Agamemnonius filius, [*ſuaſit*, matris interfector.
10 Inacceſſos cum adiiſſet theſauros *oraculi Delphici, in-*
11 O Deus, ô Phœbe, quomodo *hoc* credam?

Antiſtrophe II.

1 Multæ vero in Græcorum
2 Concionibus, *foriſq;* triſtes gemitus
3 Celebrabant *propter* infelices filios, vxores.
4 Reliqueruntque domos,

5 Ad

Ad alium maritum *euntes.*
Non tibi ſoli
Triſtes acciderunt,
Non amicis *ſolis infeſti fuerunt* dolores.
Morbum ſuſtinuit Græcia, morbum.
Tranſiit autem & ad fœcunda iugera Phrygum
Fulmen ſtillans Plutonias neces.

Peleus.

Phthiæ mulieres, interroganti mihi
Indicate: audiui enim non certum rumorem,
Quod Menelai filia relinquens domum
Hãc diſceſſerit: venio igitur habẽs ſtudiũ cognoſcẽdi,
,, An hæc *ſint* vera. Nam abſentium amicorum
,, Fortunas curare debent ii, qui domi ſunt.

Cho. Peleu, recte audiuiſti, neque me decet
Occultare, in quibus ſim poſita malis:
Nam regina diſceſſit fugitiua ex his ædibus.

Pel. Quem metum nacta? dic mihi.

Cho. Metuens maritum ne eam ex ædibus eiiciat.

Pel. Num propter conſilia de morte pueri?

Cho. Sane, & metu captiuæ mulieris.

Pel. Cum patre vero, aut cum quo reliquit ædes?

Cho. Filius Agamemnonis venit nunc abducens eam hinc.

Pel. Quam habens ſpem, an volens vxorem ducere?

Cho. Et tui filii filio, *i. nepoti tuo*-parans necem.

Pel. Vtrum per inſidias, an in conſpectũ veniens pugnãdo.

Cho. In puro templo Apollinis cum Delphicis.

Pel. Hei mihi, hoc iam eſt atrox, non quam celerrime
Ibit aliquis ad Pythicam aram,
Et quæ hic acta ſunt, dicet amicis ibi?
Priuſquam interficiatur, filius Achillis ab inimicis.

Nun. Hei mihi mihi, qualem miſer venio nũciatur' caſum,
Et tibi, ô ſenex, & amicis domini?

Pel. Heu heu, animus præſagit tanquã aliquid expectans.

Nun. Non eſt tibi filius filii, vt ſcias ſenex
Peleu: tales plagas enſium habet
A viris Delphicis, & Mycenæo hoſpite.

Cho. Heu heu, quid facies ô ſenex? ne cadas,
Erige te. **Pel** Nihil ſum. perii,
Euanida quidẽ *eſt* vox, & euanida membra mea infra.

Nun.

Πρὸς ἄλλον δυνά-
τορ. οὐχὶ σοὶ μόνᾳ
Δύσφρονες ἐπέπισον,
Οὐ φίλοισι, λῦπαι,
Νόσον Ἑλλὰς ἔτλα, νόσον.
Διέβα δὲ Φρυγῶν καὶ πρὸς εὐκάρπους γύας
Σκηπτὸς, σταλάσσων ἀΐδα φόνον.

ΙΑΜΒΟΙ.

πη. Φθιώτιδες γυναῖκες, ἱστοροῦντί μοι
Σημήνατ᾽. ᾐσθόμην γὰρ οὐ σαφῆ λόγον,
Ὡς δώματ᾽ ἐκλιποῦσα Μενέλεω κόρη
Φρούδη τάδ᾽. ἥκω δ᾽ ἐκμαθεῖν σπουδὴν ἔχων,
„ Εἰ ταῦτ᾽ ἀληθῆ. Τῶν γὰρ ἐκδήμων φίλων
„ Δεῖ τοὺς κατ᾽ οἶκον ὄντας ἐκπονεῖν τύχας.
χο. Πηλεῦ, σαφῶς ἤκουσας· οὐδ᾽ ἐμοὶ καλὸν
Κρύπτειν, ἐν οἷσπερ οὖσα τυγχάνω κακοῖς.
Βασίλεια γὰρ τῶνδ᾽ οἴχεται φυγὰς δόμων.
πη. Τίνος φόβου τυχοῦσα; διαπέραινέ μοι.
χο. Πόσιν τρέμουσα, μὴ δόμων νιν ἐκβάλῃ.
πη. Μῶν ἀντὶ παιδὸς θανασίμων βουλευμάτων;
χο. Ναὶ, καὶ γυναικὸς αἰχμαλωτίδος φόβῳ.
πη. Σὺν πατρὶ δ᾽ οἴκους, ἢ τίνος λείπει μέτα;
χο. Ἀγαμέμνονός νιν παῖς βέβηκ᾽ ἄγων χθονός.
πη. Ποίαν περαίνων ἐλπίδ᾽, ἢ γῆμαι θέλων;
χο. Καὶ σοῦ γε παιδὸς παιδὶ πορσύνων μόρον.
πη. Κρυπτὸς καταστὰς, ἢ κατ᾽ ὄμμ᾽ ἐλθὼν μάχῃ;
χο. Ἁγνοῖς ἐν ἱεροῖς Λοξίου Δελφῶν μέτα.
πη. Οἴμοι. τόδ᾽ ἤδη δεινόν. οὐχ ὅσον τάχος
Χωρήσεταί τις Πυθικὴν πρὸς ἑστίαν,
Καὶ τἀνθάδ᾽ ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
Πρὶν παῖδ᾽ Ἀχιλλέως κατθανεῖν ἐχθρῶν ὕπο;
ἄγ. Ἰὼ μοι μοι. οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας,
Σοί τ᾽ ὦ γεραιὲ, καὶ φίλοισι δεσπότου.
πη. Αἰ, αἶ· πρόμαντις θυμὸς, ὥς τι προσδοκῶν.
ἄγ. Οὐκ ἔστι σοι παῖς παιδὸς, ὡς μάθῃς γέρον
Πηλεῦ. τοιάσδε φασγάνων πληγὰς ἔχει,
Δελφῶν ὑπ᾽ ἀνδρῶν, καὶ Μυκηναίου ξένου.
χο. Ἆ, ἆ. τί δράσεις ὦ γεραιέ; μὴ πέσῃς.
Ἔπαιρε σαυτόν. Π. οὐδέν εἰμ᾽. ἀπωλόμην.
Φρούδη μοι αὐδὴ, φροῦδα δ᾽ ἄρθρα μου κάτω.

ἄγ.

Digitized by Google

ἄγ. Ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυνάθειν
Χρήζεις, τὸ πραχθὲν, σὸν καθορθώσας δέμας.
πη. Ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν,
Οἵα με τὸν δύστηνον ἀμφιβᾶσ' ἔχεις;
Πῶς οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος;
Σήμαιν'. ἀκοῦσαι δ' οὐκ ἀκουστ' ὅμως θέλω.
ἄγ. Ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
Τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους
Θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν.
Καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'. εἰς δὲ συστάσεις,
Κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς διαστείχων πόλιν,
Εἰς οὖς ἑκάστῳ δυσμενεῖς ηὔδα λόγους.
Ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
Χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
Τὸ δεύτερον παρόντ', ἐφ' οἷσι καὶ πάρος
Δεῦρ' ἦλθε, Φοίβου ναὸν ἐκπέρσαι θέλων.
Κἀκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακὸν,
Ἀρχαί τ' ἐπληροῦντ', εἴς τε βουλευτήρια
Ἰδίᾳ θ' ὅσοι θεοῦ χρημάτων ἐφέστασαν,
Φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δόμοις.
Ἡμεῖς δὲ μῆλα φυλλάδος Παρνησίας
Παιδεύματ', οὐδὲν τῶνδέ πω πεπυσμένοι,
Λαβόντες ἦμεν, ἐσχάραις τ' ἐφιστάμεν,
Σὺν προξένοισι, μάντεσίν τε Πυθικοῖς.
Καί τις τόδ' εἶπεν· ὦ νεανία, τί σοι
Θεῷ κατευξόμεσθα; τίνος ἥκεις μέτα;
Ὁ δ' εἶπε, Φοίβῳ τῆς πάροιθ' ἁμαρτίας
Δίκας παρασχεῖν βουλόμεσθ'. ᾔτησα γὰρ
Πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
Κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
Ἐφαίνεθ', ὡς ψεύδοιτο δεσπότης ἐμὸς,
Ἥκων ἐπ' αἰσχροῖς. ἔρχεται δ' ἀνακτόρων
Κρηπῖδος ἐντὸς, ὡς πάρος χρηστηρίων
Εὔξαιτο Φοίβῳ. τυγχάνει δ' ἐν ἐμπύροις.
Τῷ δὲ ξιφήρης ἄρ' ὑφειστήκει λόχος,
Δάφνῃ σκιασθείς. ὧν Κλυταιμνήστρας τόκος
Εἷς ἦν, ἁπάντων τῶνδε μηχανορράφος.
Χ' ὃ μὲν κατ' ὄμμα στὰς, προσεύχεται θεῷ.
Οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι,

Κεν-

Audi,ſi per tuos amicos vlciſci
Vis factum,erigens tuum corpus.
O fatum ſenectutis in extremo limite,
Quale me miſerum circũdediſti?
Quomodo periit mihi vnicus filius vnici filii?
Dic:audire enim *volo*,non audire tamen cupio.
Poſtquam venimus *ad* clarum ſolum Phœbi,
Tres quidem lucidos tranſitus ſolis
Spectandis rebus dantes,impleuimus oculos.
Et hoc iam erat ſuſpectum : ac ad turmas,
Et cœtus concurrebat populus habitans ibi apud Deũ:
Agamemnonis vero filius vadens per vrbem,
Singulis in aurem dicebat hoſtiles ſermones:
Videte iſtum,qui vadit per Dei
Specus plenos auri,theſauros hominum:
Secundo adeſt ob eandem cauſam,ob quam & prius,
Venit huc,volens euertere templum Apollinis.
Hinc vero manauit rumor per vrbem malus,
Magiſtratusque congregabantur,& in curias,
Et priuatim,quicunque præerant theſauris *Dei*,
Præſidiũq; collocarunt iu æde *Phœbi* columnis vndiq;
Nos vero mala arborũ Parnaſſiarũ [ſuffulta,
Alumna,nihil adhuc ſcientes de his rebus,
Acceperamus,& acceſſimus ad aras
Cum hoſpitibus,& vatibus Pythicis.
Et aliquis hoc dixit: O adoleſcens,quid tibi
A deo petemus?cuius cauſa venis?
Iſte vero dixit,Phœbo pro priore peccato
Pœnas dare volumus:poſtulaui enim
Ab ipſo aliquãdo vt daret pœnas pro ſanguine patris.
Et ibi Oreſtis calumnia multum valens
Apparuit,quod mentiretur meus dominus,
Veniens de turpi cauſa. Venit autem templi
Intra faſtigium , vt ante oraculum [mis.
Precaretur Phœbũ. Erat aũt *occupatus* in incẽſis victi-
Hoc autẽ *in loco* gladiis armat⁹ manipulus ſubſtiterat,
Lauro tect⁹,*i.coronatus*,quorũ Clytẽmneſtrę filius
Erat vnus,omnium iſtorum *ſcelerum* machinator.
Et ille quidem in *omnium* cõſpectu ſtans precatur deũ:
Iſti vero acutis enſibus armati

Pungunt inermem filium Achillis clam.
Retro vero *ille* cedit. nõ enim letaliter vulneratus
Erat. detrahit autem, & porticus
Suſpenſa arma de clauis diripiens,
Stetit ad aram terribilis bellator aſpectu,
Et clamat Delphicos filios, interrogans hæc,
Quare me occiditis, piam viam
Venientem? propter quam cauſam pereo?
Iſtorũ vero cum prope eſſent ſexcenti, nihil quiſquam
Dixit, ſed *eum* eminus petebant lapidibus *manu iactis*.
Obrutus autem vndiq; *ceu* denſis niuium imbribus,
Obiiciebat arma, & cauebat ictus,
Huc & illuc manu obiiciens clypeum,
Sed nihil proficiebat. nam multa ſimul tela
Sagittæ, amentata iacula, ſolutaque miſſilia, [pedes.
Veruaq;, quibus transfixi boues torrẽtur, cadebãt ante
Vidiſſes autem mirabiles ſaltationes cauentis
Tela filii: cum autem ipſum circum circa ſtantes
Vndiq; concluſum tenerẽt, nõ dãtes reſpirãdi copiam,
Aræ deſerto victimas recipiente foco,
Saltans pedibus Troianum ſaltum,
Vadit contra eos. Iſti vero ſicut columbæ
Accipitrem conſpicatæ, ad fugam terga verterunt.
Multi autem cadebant promiſcue, & ex vulneribus,
Et ipſi a ſe *conculcati* per anguſtos exitus.
Dirus autem clamor in ſacra domo
Reſonuit ex ſaxis. ceu autem tranquillitas
Stetit dominus lucens ſplendidis armis,
Priusquam quidam ex mediis adytis edidit
Terribilem, & horribilem vocem, & impulit exercitũ
Conuertens ad pugnam: ibi cadit Achillis
Filius, vulneratus *in* lateribus acuto gladio
A viro Delphico, qui eum perdidit
Cum multis aliis. Poſtquam autem ad terram cadit,
Quis non ferrum adegit? quis non ſaxum
Iaciens, tundens? Conſumptum eſt autẽ totum corpus
Pulchrum a ſæuis vulneribus.
Porro cadauer ipſius iacens ante altare,
Eiecerunt extra templa victimis opima.
Nos vero correptum quam celerrime manibus,

Porta-

Digitized by Google

Κεῖνος δ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθρα.
Χωρεῖ δὲ πρύμναν· οὐ γὰρ εἰς καιρὸν τυπεὶς
Ἐτύγχαν'. ἐξέλκει δὲ, καὶ παραστάδος
Κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας,
Ἔστη 'πὶ βωμοῦ γοργὸς ὁπλίτης ἰδεῖν.
Βοᾷ δὲ Δελφῶν παῖδας, ἱστορῶν τάδε.
Τίνος μ' ἕκατι κτείνετ'; εὐσεβεῖς ὁδοὺς
Ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
Τῶν δ' οὐδὲν οὐδεὶς, μυρίων ὄντων πέλας,
Ἐφθέγξατ', ἀλλ' ἔβαλλον ἐκ χερῶν πέτροις.
Πυκνῇ δὲ νιφάδι πάντοθεν σποδούμενος,
Προὔτεινε τεύχη, καὶ φυλάσσετ' ἐμβολὰς,
Ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί.
Ἀλλ' οὐδὲν ἤνυεν. ἀλλὰ πόλλ' ὁμοῦ βέλη,
Οἰστοὶ, μεσάγκυλ', ἔκλυτοί τ' ἀμφώβολοι,
Σφαγῆς τ' ἐχώρουν βουπόροι ποδῶν πάρος.
Δεινὰς δ' ἂν εἶδες πυρρίχας φρουρουμένου
Βέλεμνα παιδός. ὡς δέ μιν περισταδὸν
Κύκλῳ κατεῖχον, οὐ διδόντες ἀμπνοὰς,
Βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
Τὸ Τρωϊκὸν πήδημα πηδήσας ποδοῖν,
Χωρεῖ πρὸς αὐτούς. οἱ δ', ὅπως πελειάδες
Ἱέρακ' ἰδοῦσαι, πρὸς φυγὴν ἐνώτισαν.
Πολλοὶ δ' ἔπιπτον μιγάδες, ἔκ τε τραυμάτων,
Αὐτοί θ' ὑπ' αὐτῶν στενοπόρους κατ' ἐξόδους.
Κραυγὴ δ' ἐν εὐφήμοισι δύσφημος δόμοις
Πέτραισιν ἀντέκλαγξεν. εὐδίᾳ δ' ὅπως
Ἔστη, φαεννοῖς δεσπότης στίλβων ὅπλοις,
Πρὶν δή τις ἀδύτων ἐκ μέσων ἐφθέγξατο
Δεινόν τι, καὶ φρικῶδες. ὦρσε δὲ στρατὸν
Τρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πίτνει
Παῖς, ὀξυθήκτῳ πλευρὰ φασγάνῳ τυπεὶς
Δελφοῦ πρὸς ἀνδρὸς, ὅσπερ αὐτὸν ὤλεσε
Πολλῶν μετ' ἄλλων. ὡς δὲ πρὸς γαῖαν πίτνει,
Τίς οὐ σίδηρον προσφέρει; τίς οὐ πέτρον,
Βάλλων, ἀράσσων; πᾶν δ' ἀνάλωται δέμας
Τὸ καλλίμορφον, τραυμάτων ὑπ' ἀγρίων.
Νεκρὸν δὲ δή νιν, κείμενον βωμοῦ πέλας,
Ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
Ἡμεῖς δ' ἀναρπάσαντες ὡς τάχος χεροῖν,

Digitized by Google

Κομίζομέν νιν σοὶ κωκῦσαι γόοις,
Κλαῦσαί τε, πρέσβυ, γῆς τε κοσμῆσαι τάφῳ.
Τοιαῦθ' ὁ τοῖς ἄλλοισι θεσπίζων ἄναξ,
Ὁ τῶν δικαίων πᾶσιν ἀνθρώποις κριτὴς,
Δίκας διδόντα παῖδ' ἔδρασ' Ἀχιλλέως.
Ἐμνημόνευσε δ', ὥσπερ ἄνθρωπος κακὸς,
Παλαιὰ νείκη. πῶς ἂν οὖν εἴη σοφός;

ΑΝΑΠΑΙΣΤΟΙ.

χο. Καὶ μὴν ὅδ' ἄναξ φοράδην αὐτὸς
Δελφίδος ἐκ γῆς δῶμα πελάζει.
Τλήμων, ὁ παθών. τλήμων δὲ γέρον
Καὶ σύ. δέχῃ γὰρ τὸν Ἀχίλλειον
Σκύμνον ἐς οἴκους, οὐχ ὡς σὺ θέλεις.
Αὐτός τε κακοῖς πήμασι κύρσας,
Εἰς ἓν μοίρας συνέκυρσας.
Ἰώ μοι ἐγώ, κακὸν οἷον ὁρῶ
Τόδε, καὶ δέχομαι χερὶ δώμασ' ἐμοῖς.
πη. Ἰώ μοι μοι, αἶ αἶ.
Ὦ πόλι Θεσσαλία, διολώλαμεν.
Οἰχόμεθ'. οὐκέτι μοι γένος, οὐκέτι μοι τέκνα
Λείπετ' ἐν οἴκοις.
Ὦ σχέτλια παθὼν ἐγώ, εἰς τίνα
Δὴ φίλον αὐγὰς βάλλων τέρψομαι;
Ὦ φίλιον στόμα, καὶ γένυ, καὶ χέρες.
Εἴθε σ' ὑπ' Ἰλίῳ ἤναρε δαίμων,
Σιμοεντίδα παρ' ἀκτάν.
χο. Οὗτος μὲν οὖν ἐκ τῶνδ' ἐτιμᾶτ' ἄν, γέρον,
Θανών. τὸ σὸν δ' ἦν ὧδ' ἂν εὐτυχέστερον.
πη. Ὦ γάμος, ὦ γάμος,
Ὃς τάδε δώματα καὶ πόλιν ἁμὰν
Ὤλεσας. αἶ αἶ, αἶ αἶ. ὦ παῖ,
Μή ποτε σῶν λεχέων τὸ δυσώνυμον
Ὤφελ' ἐμὸν γένος εἰς τέκνα καὶ δόμον
Ἀμφιβαλέσθαι
Ἑρμιόνας Ἀΐδαν ἐπὶ σοὶ τέκνον,
Ἀλλὰ κεραυνῷ πρόσθεν ὀλέσθαι,
Μηδ' ἐπὶ τοξοσύνᾳ φονίῳ πατρὸς
Αἷμα τὸ διογενές ποτε
Φοῖβον βροτὸς εἰς θεὸν ἀνά-
ψαι.

Portamus ipſum tibi deflendum lachrymis,
Et lugendum ſenex,& ornandum ſepultura.
Talia Rex *Apollo*,qui vaticinatur aliis,
Qui eſt iudex iuſtitiæ omnibus hominibus,
Fecit filio Achillis danti pœnas:
Et recordatus eſt,ſicut malus homo,
Vetera iurgia:quomodo eſſet igitur ſapiens?

Chorus.

Atqui ecce rex ipſe portatus
Ex terra Delphica domum accedit.
Miſer,cui *hoc* accidit,miſer etiam ſenex,
Et tu:recipis enim Achilleum
Pullum in ædes,non vt tu vis.
Tuque ipſe noxia mala nactus,
In eandem *calamitatis* ſortem incidiſti.

Pel. Heu mihi,quale malum video
Hoc,& recipio manu in ædes meas?
Heu mihi. ah ah,
O vrbs Theſſalica,periimus,
Periimus, non amplius mihi genus, nõ amplius mihi liberi
Superſunt *in* ædibus,
O ego acerba paſſus, in quem
Amicum oculos coniiciens delectabor?
O charum os, & genæ,& manus,
Vtinam te ad Ilium interfeciſſet fatum,
Ad Simoentiam ripam.

Cho. Hic enim profecto ob hæc fuiſſet honore affectus ô ſenex, *tunc*
Mortuus: tuaque *ſors* ſic eſſet felicior.

Pel. O nuptiæ, ô nuptiæ,
Quæ has ædes,& meam vrbem
Perdidiſtis, ah ah, ah ah. ô fili,
Vtinam nunquam tuarũ nuptiarum *cauſâ* infauſtum
Meum genus in liberos,& domum
Recepiſſet
Hermiones Plutonẽ,*i. malũ genium* in tuã perniciem,ô fili,
Sed fulmine prius periiſſet,
Neque propter letalẽ iaculationẽ patris *ſagitta percuſſi*
Sanguinem generoſum vnquam
Phœbo,mortalis Deo,acceptum retuliſſes, *paternæque necis eum poſtulaſſes.*

ANOMOEOSTROPHA.

Strophe I.

Cho. Heu, heu.
Mortuum dominum *lachrymis*, *&* lamentis,
Vt manium lex flagitat, incipiam proſequi.
Pel. Heu heu,
Continenter ego miſer
Senex & infelix lachrymo.
Cho. Dei enim *hoc eſt* fatum, Deus fecit *iſtas* calamitates.

Strophe II.

Pel. O chare, domum reliquiſti deſertam,
Heu mihi, mihi,
Miſerum me ſe-
nem, orbum tuo diſceſſu relinquens.
Cho. Oportuiſſet te ô ſenex mori ante tuos liberos.

Strophe III.

Pel. Non lacerabo comam,
Non imponam
Meo capiti planctum noxium manus,
O vrbs, duobus liberis
Me priuauit Phœbus.
Cho. O mala paſſus, videnſque, miſer ſenex.

Strophe IIII.

Qualem vitam habebis in poſterum?
Pel. Orbus liberis, deſertus, nō habens finem malorum,
Exhauriam labores vſque ad mortem.
Cho. Fruſtra igitur te dii bearunt in nuptiis.

Strophe V.

Pel. Auolantia omnia, euanida iacent,
Faſtu ſublimi *quæ tumebant* prius.
Cho. Solus in ſola domo verſaris.

Strophe VI.

Pel. Ciuitas non eſt mihi amplius, ciuitas,
Sceptraque valeant hæc humi deiecta.
Tuq; in nocturnis, *obſcuriſq;* antris *degens* Nerei filia,
Funditus extinctū me videbis, proſtratum humi.
Cho. O, ô. Quid motum eſt? quòd ſentio
Numen? puellæ, cernite, videte.
Deus hic quiſpiam candidum ætherem
Traiiciens, equorum alumnos

Cam-

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α΄.

πη. Ὀτοτοῖ ὀτοτοῖ,
Θανόντα δεσπότην γόοις
Νόμῳ τῶν νερτέρων κατάρξομαι.
πη. Ὀτοτοῖ ὀτοτοῖ.
Διάδοχα τάλας ἐγὼ
Γέρων καὶ δυστυχὴς δακρύω.
χο. Θεοῦ γὰρ αἶσα, θεὸς ἔκρανε συμφοράς.

Στροφὴ β΄.

πη. Ὦ φίλος, δόμον ἔλειπες ἔρημον.
Ἰώ μοι μοι,
Ταλαίπωρον ἐμὲ γέρον-
τ᾽, ἄπαιδα νοσφίσας.
χο. Θανεῖν σε πρέσβυ χρὴ πέρας τῶν σῶν τέκνων.

Στροφὴ γ΄.

πη. Οὐ σπαράξομαι κόμαν,
Οὐκ ἐπιθήσομαι
Ἐμῷ κάρᾳ κτύπημα χειρὸς ὀλοόν.
Ὦ πόλις, διπλῶν τέκνων
Μ᾽ ἐστέρησε Φοῖβος.
χο. Ὦ κακὰ παθὼν, ἰδών τε, δυστυχὴς γέρον.

Στροφὴ δ΄.

Τίν᾽ αἰῶνά γ᾽ εἰς τὸ λοιπὸν ἕξεις;
πη. Ἄτεκνος, ἔρημος, οὐκ ἔχων πέρας κακῶν,
Διαντλήσομαι πόνους εἰς ἀΐδαν.
χο. Μάτην δέ σ᾽ ἐν γάμοισιν ὤλβισαν θεοί.

Στροφὴ ε΄.

πη. Ἀμπτάμενα πάντα φροῦδα κεῖται,
Κόμπων μετάρσια πρόσω.
χο. Μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφῃ.

Στροφὴ ϛ΄.

πη. Οὐκέτι μοι πόλις, πόλις.
Σκῆπτρά τ᾽ ἐρρέτω τάδ᾽ ἐπὶ γαῖαν.
Σύ τ᾽ ὦ κατ᾽ ἄντρα νύχια Νηρέως κόρη,
Πανώλεθρόν μ᾽ ὄψεαι, πιτνοῦντα πρὸς γᾶν.
χο. Ἰὼ, ἰώ. τί κεκίνηται; τίνος αἰσθάνομαι
Θείου; κοῦραι, λεύσσετ᾽, ἀθρήσατε.
Δαίμων ὅδε τις λευκὴν αἰθέρα
Πορθμευόμενος, τῶν ἱπποβότων

Φθίας πεδίων ἐπιβαίνει.

ΙΑΜΒΟΙ.

Θε. Πηλεῦ, χάριν σοι τῶν πάρος νυμφευμάτων
Ἥκω Θέτις, λιποῦσα Νηρέως δόμους.
Καὶ πρῶτα μέν σοι, τοῖς παρεστῶσιν κακοῖς
Μηδέν τι λίαν γε δυσφορεῖν, παρῄνεσα.
Κἀγὼ γὰρ, ἣν ἄκλαυστ' ἐχρῆν τίκτειν τέκνα,
Ἀπώλεσ' ἐκ σοῦ παῖδα τὸν ταχὺν πόδας
Ἀχιλλέα τεκοῦσα, πρῶτον Ἑλλάδος.
Ὧν δ' οὕνεκ' ἦλθον, σημανῶ. σὺ δ' ἐνδέχου.
Τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέως γόνον,
Θάψον, πορεύσας Πυθικὴν πρὸς ἐσχάραν,
Δελφοῖς ὄνειδος, ὡς ἀπαγγέλλῃ τάφος
Φόνον βίαιον τῆς Ὀρεστείας χερός.
Γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοσσίαν γῆν χρὴ κατοικῆσαι. γέρον,
Ἑλένῳ συναλλαχθεῖσαν εὐναίοις γάμοις,
Καὶ παῖδα τόνδε, τῶν ἀπ' Αἰακοῦ μόνον
Λελειμμένον δὴ βασιλέα. κἀκ τοῦδε χρὴ
Ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίαν,
Εὐδαιμονοῦντας. οὐ γὰρ ὧδ' ἀνάστατον
Γένος γενέσθαι δεῖ τὸ σὸν, κἀμὸν, γέρον,
Τροίας τε. καὶ γὰρ θεοῖσι κἀκείνης μέλει,
Καίπερ πεσούσης Παλλάδος προθυμίᾳ.
Σὲ δ', ὡς ἂν εἰδῇς τῆς ἐμῆς εὐνῆς χάριν,
Θεὰ γεγῶσα, καὶ θεοῦ πατρὸς τόκος,
Κακῶν ἀπαλλάξασα τῶν βροτησίων,
Ἀθάνατον, ἄφθιτόν τε ποιήσω θεόν.
Κἄπειτα Νηρέως ἐν δόμοις ἐμοῦ μέτα
Τὸ λοιπὸν ἤδη θεὸς συνοικήσεις θεᾷ,
Ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα,
Τὸν φίλτατόν σοι παῖδ', ἐμοί τ', Ἀχιλλέα
Ὄψει δόμους ναίοντα νησιωτικοὺς,
Λευκὴν ἐπ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.
Ἀλλ' ἕρπε Δελφῶν εἰς θεόδμητον πόλιν,
Νεκρὸν κομίζων τόνδε. καὶ κρύψας χθονὶ,
Ἐλθὼν παλαιᾶς χοιράδος κοῖλον μυχὸν
Σηπιάδος ἵζου. μίμνε δ', ἔστ' ἂν ἐξ ἁλὸς
Λαβοῦσα πεντήκοντα Νηρῄδων χορὸν,
Ἔλθω, κομιστήν σου. τὸ γὰρ πεπρωμένον

Campos Phthiæ ingreditur.

Thetis.

Peleu propter tuas priores nuptias
Venio Thetis, relicta Nerei domo.
Et primum quidem te præſentibus malis
Non nimium angi hortor.
Nã & ipſa, q̃ oportuit nõ lugẽdos liberos parere,
Amiſi ex te filium velocem pedibus
Achillem pariens,præcipuum Græciæ.
Sed quorum cauſa veni indicabo,& tu accipe.
Mortuum quidem hunc filium Achillis,
Sepeli,delatum ad focum Pythicum,
In probrum Delphis,vt ſepultura indicet
Violentam cædem Oreſteæ manus.
Et mulierem captiuam,Andromachen dico,
Oportet habitare Moloſſiam terram,ſenex,
Heleno coniunctam *legitimis* lecti nuptiis.
Et iſtum puerum ab Æaco ſolum
Relictum iam regem:& ex hoc oportet
Alium ex alio *perpetua ſucceſſionis ſerie* regere Moloſſiã
Felices:non enim ſic euerſum
Fieri tuum & meum genus oportet,ſenex,
Et Troiæ:nam & illa diis curæ eſt,
Licet corruerit Palladis conſilio.
Porro te,vt videas mei connubii gratiam,
Dea nata,& Dei patris filia,
Malis liberatum mortalibus,
Immortalem,& incorruptibilem faciam Deum:
Deinde mecum in domo Nerei
In poſterum iam Deus habitabis cum dea:
Inde proferens ſiccum pedem ex Ponto,
Chariſſimum tibi,& mihi filium Achillem
Videbis habitantem domos inſulares,
Candidũ ad littus *inſula Leuca*,intra Euxinũ meatum,
Quare vade Delphorũm ad diuinitus ędificatã vrbem,
Portans iſtud cadauer,& vbi texeris terra,
Reuerſus antiquæ rupis cauum *in* receſſum,
Sepiadis conſide,& expecta donec ex mari
Ducens chorum quinquaginta Nereidum,
„ Geſtatorem tuum,veniam: quod enim eſt fatale
Opor-

„ Oportet te perferre: Ioui enim iſta videntur.
Seda vero dolorem ſuper mortuis.
„ Omnibus enim hominibus a diis iſte
„ Calculus eſt deſtinatus, morsque debetur *ipſis*.

Pel. O veneranda, ô generoſa coniunx,
Nerei filia, ſalue. iſta vero digne
Te & tuis liberis facis.
Sedo vero dolorem te iubente, dea,
Et hoc ſepulto pergam *ad* Pelii montis antra,
Vbi cepi tuum pulcherimum corpus manibus,
„ Nonne igitur vxores ducere ex generoſis oportet,
„ Et dare nuptum in bonas familias, quiſquis recte rem perpendit?
„ Malorũ vero cõnubiorũ nõ *oportet* cupiditatẽ habere,
„ Neq; ſi dotem ampliſſimã *vxor in noſtras* ædes afferat.
„ Nunquam enim *qui diligenter hæc obſeruabunt*, diuinitus rem male gerent.

Chorus.

Multæ ſunt ſpecies fatorum.
„ Multaque perficiunt dii præter ſpem,
„ Et expectata non eueniunt,
„ Non ſperatorum vero exitum inuenit deus:
„ Sic hæc res exiit, *talem euentum habuit*.

Finis Andromaches.

EVRI-

» Δεῖ σ᾽ ἐκκομίζειν. Ζηνὶ γὰρ δοκεῖ τάδε.
Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ.
» Πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
» Ψῆφος κέκρανται, κατθανεῖν τ᾽ ὀφείλεται.
Π. Ὦ πότνι᾽, ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε. ταῦτα δ᾽ ἀξίως
Σαυτῆς τε ποιεῖς, καὶ τέκνων τῶν ἐκ σέθεν.
Παύω δὲ λύπην, σοῦ κελευούσης, θεά.
Καὶ τόνδε θάψας εἶμι Πηλίου πτύχας,
Οὗπερ σὸν εἷλον χερσὶ κάλλιστον δέμας.
» Κᾆτ᾽ οὐ γαμεῖν δῆτ᾽ ἔκ τε γενναίων χρεών,
» Δοῦναί τ᾽ ἐς ἐσθλοὺς, ὅστις εὖ βου-
» λεύεται;
» Κακῶν δὲ λέκτρων μὴ ᾽πιθυμίαν ἔχειν,
» Μηδ᾽ εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις.
» Οὐ γὰρ ποτ᾽ ἂν πράξειαν ἐκ θεῶν
» κακῶς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Πολλαὶ μορφαὶ τῶν δαιμονίων.
» Πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί.
» Καὶ τὰ δοκηθέντ᾽, οὐκ ἐτελέσθη.
» Τῶν δ᾽ ἀδοκήτων πόρον εὗρε θεός.
» Τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

Εὐριπίδου Ἀνδρομάχη.

ΕΥΡΙ-

ΕΥΡΙΠΙΔΟΥ ΙΚΕΤΙΔΕΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἡ μὲν σκηνὴ, ἐν Ἐλευσῖνι. ὁ δὲ χορὸς, ἐξ Ἀργείων γυναικῶν, αἱ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκότων ἀριστέων. τὸ δὲ δρᾶμα, ἐγκώμιον Ἀθηναίων.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Αἴθρα.	Κῆρυξ.
Χορός.	Ἄγγελος.
Θησεύς.	Εὐάδνη.
Ἄδραστος.	Ἶφις.

Προλογίζει δὲ ἡ Αἴθρα.

EVRIPIDIS SVPPLICES.

ARGVMENTVM.

Scena quidem eſt in Eleuſine. Chorus autem ex Argiuis mulieribus, quæ matres erant interfectorum ad Thebas procerum. Ipſa fabula eſt encomium Athenienſium.

PERSONÆ HVIVS fabulæ ſunt hæ:

Æthra.	*Præco.*
Chorus.	*Nuncius.*
Theſeus.	*Euadne.*
Adraſtus.	*Iphis.*

Prologum autem agit Æthra.

EVRI-

Digitized by Google

EVRIPIDIS

SVPPLICES.

Æthra.

O Ceres tutelaris dea Eleuſinis terræ
Huius, & ſacerdotes qui tenetis templa Deæ,
Vt ego ſim beata *precor*, & Theſeᵘ filius meus,
Et ciuitas Athenienſis, & terra Pitthei:
In qua me educatam opulentis in ædibus
Æthram pater, dat Pandionis filio
Ægeo vxorem, Apollinis oraculis *admonitus*.
Iſtas enim intuens, hæc ſum precata,
Anus, quæ relictis ſedibus Argiuæ terræ,
Supplici cū oleæ ramo aduoluuntur meis genibus,
Cladem paſſæ grauem. nam ad portas
Cadmi, mortuis ſeptem liberis generoſis,
Orbæ ſunt, quos quondam Argiuorum rex
Adraſtus duxit, Oedipi hæreditatis
Partem volens occupare exuli Polynici
Genero: ſed cadauera interfecta *in* prælio
Iſtorum matres ſepelire volunt *in patria* terra.
Prohibent vero victores, neq; ſuſcipiendorum, *ac abſportandorum* facultatem *ipſis*
Dare volunt, contemnentes iura Deorum.
Commune vero onus cū his ſuſtinēs *impetrandi* opis
Adraſtus iſte, rigansque oculos lachrymis, [meæ
Iacet, bellumque, & infeliciſſimam
Gemens expeditionem, quam domo miſit.
Qui me hortatur, vt filio meo perſuadeam precibus,
Vt cadauerū recuperaror aut perſuadendo, aut haſtę
Robore fiat, & autor ſepulturæ:
Soli meo filio imponens hoc opus,
Et ciuitati Athenienſi. Sed pro terræ
Aratione ſacrifico, egreſſa ex ædibus meis
Ad hoc templum, vbi primum apparet
Horrens ſuper terram hanc frugum ſpica, *ſeges*.

Tenens

Digitized by Google

ΕΥΡΙΠΙΔΟΥ

ΙΚΕΤΙΔΕΣ.

ΙΑΜΒΟΙ.

Δήμητερ ἑστιοῦχ' Ἐλευσῖνος χθονὸς
Τῆσδ', οἵ τε ναοὺς ἔχετε πρόσπολοι θεᾶς,
Εὐδαιμονεῖν με. Θησέα τε παῖδ' ἐμὸν,
Πόλιν τ' Ἀθηνῶν, τήν τε Πιτθέως χθόνα,
Ἐν ᾗ με θρέψας ὀλβίοις ἐν δώμασιν
Αἴθραν πατὴρ, δίδωσι τῷ Πανδίονος
Αἰγεῖ δάμαρτα, Λοξίου μαντεύμασιν.
Εἰς τάσδε γὰρ βλέψασ', ἐπηυξάμην τάδε,
Γραῦς, αἳ λιποῦσαι δώματ' Ἀργείας χθονὸς,
Ἱκτῆρι θαλλῷ προσπίτνουσ' ἐμὸν γόνυ,
Πάθος παθοῦσαι δεινόν. ἀμφὶ γὰρ πύλας
Κάδμου, θανόντων ἑπτὰ γενναίων τέκνων,
Ἄπαιδές εἰσιν, οὕς ποτ' Ἀργείων ἄναξ
Ἄδραστος ἤγαγ', Οἰδίπου παγκληρίας
Μέρος κατασχεῖν φυγάδι Πολυνείκει θέλων
Γαμβρῷ. νεκροὺς δὲ τοὺς ὀλωλότας δορὶ
Θάψαι θέλουσι τῶνδε μητέρες, χθονί.
Εἴργουσι δ' οἱ κρατοῦντες, οὐδ' ἀναίρεσιν
Δοῦναι θέλουσι, νόμιμ' ἀτίζοντες θεῶν.
Κοινὸν δὲ φόρτον ταῖσδ' ἔχων χρείας ἐμῆς
Ἄδραστος, ὄμμα δάκρυσι τέγγων ὅδε,
Κεῖται, τό, τ' ἔγχος, τήν τε δυστυχεστάτην
Στένων στρατείαν, ἣν ἔπεμψεν ἐκ δόμων.
Ὅς μ' ἐξοτρύνει παῖδ' ἐμὸν πεῖσαι λιταῖς,
Νεκρῶν κομιστὴν, ἢ λόγοισιν, ἢ δορὸς
Ῥώμῃ γενέσθαι, καὶ τάφου μεταίτιον,
Μόνον τόδ' ἔργον προστιθεὶς ἐμῷ τέκνῳ,
Πόλει τ' Ἀθηνῶν. τυγχάνω δ' ὑπὲρ χθονὸς
Ἀρότου προθύουσ', ἐκ δόμων ἐλθοῦσ' ἐμῶν,
Πρὸς τόνδε σηκὸν, ἔνθα πρῶτον φαίνεται
Φρίξας ὑπὲρ γῆς τῆσδε κάρπιμος στάχυς.

Δεσμὸν δ' ἄδεσμον τόνδ' ἔχουσα φυλλάδος,
Μένω πρὸς ἁγναῖς ἐσχάραις δυοῖν θεαῖν,
Κόρης τε καὶ Δήμητρος, οἰκτείρουσα μὲν
Πολιὰς ἄπαιδας τάσδε μητέρας τέκνων,
Σέβουσα δ' ἱερὰ στέμματ'. οἴχεται δέ μοι
Κῆρυξ πρὸς ἄστυ, δεῦρο Θησέα καλῶν,
Ὡς ἢ τὸ τούτων λυπρὸν ἐξέλῃ χθονὸς,
Ἢ τάσδ' ἀνάγκας ἱκεσίους λύσῃ, θεοὺς
„ Ὅσιόν τι δράσας. πάντα γὰρ δι' ἀρσένων
„ Γυναιξὶ πράσσειν εἰκὸς, αἵ τινες σοφαί.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἱκετεύω σε γεραιὰ γεραρῶν ἐκ στομάτων,
Πρὸς γόνυ πίπτουσα τὸ σὸν,
Ἄνα μοι τέκνα λῦσαι φθιμένων
Νεκύων, οἳ καταλείπουσι μέλη,
Θανάτῳ λυσιμελεῖ,
Θηρσὶν ὀρείοισι βοράν,
Εσιδοῦσ' οἰκτρὰ μὲν ὄσσων
Δάκρυ' ἀμφὶ βλεφάροις,
Ῥυσὰ δὲ σαρκῶν πολιῶν
Καταδρύμματα χειρῶν. τί γὰρ, ἃ
Φθιμένους παῖδας ἐμοὺς οὔτε δόμοις
Προθέμαν, οὔτε τάφων
Χώματα γαίας ἐσορῶ.
Ἔτεκες καὶ σύ ποτ' ὦ πότνια κοῦρον
Φίλα ποιησαμένα λέκτρα πόσει σῷ.
Μετὰ νῦν δὸς ἐμοὶ σᾶς διανοίας.
Μετάδος δ' ὅσσον ἐπαλγῶ μελέα
Τῶν φθιμένων οὓς ἔτεκον. παράπει-
σον δὲ σὸν, ὃν λισσόμεθ' ἐλθεῖν,
Τέκνον, Ἰσμηνὸν, ἐμάν τ' εἰς χέρα θεῖναι
Νεκύων θαλερῶν σώματα λάϊνον τάφον.
Ὁσίως. οὐχ ὑπ' ἀνάγκας δὲ προπίπτου-
σα, προσαιτοῦσ' ἔμολον δεξιπύρους θεῶν
Θυμέλας. ἔχομεν δ' ἔνδικα. καὶ σοί
Τι πάρεστι σθένος, ὥστ' εὐτεκνία
Δυστυχίαν τὴν παρ' ἐμοὶ καθελεῖν.
Οἰκτρὰ δὲ πάσχουσ' ἱκετεύω
Τὸν ἐμὸν παῖδα τάλαιν' ἐν χερὶ θεῖναι
Νέκυ' ἀμφιβαλεῖν λυγρὰ μέλη παιδὸς γ' ἐμοῦ.

ΑΝ-

Tenens autem hũc manipulum frondis nõ vinctum,
Expectabo ad caſtos focos duarum Dearum,
Proſerpinæ, & Cereris, miſerans quidem
Canas iſtas matres orbatas liberis,
Venerãs vero ſacros *ſupplicũ* ramos lana velatos. Abiit
Ad vrbem præco, Theſeum huc vocaturus [aũt mihi
Vt aut auferat iſtam harum miſeriam ex terra,
Aut iſtam neceſſitatem ſupplicum ſoluat, erga deos
,, Rem aliquã piam faciens. Omnia .n. per maſculos
,, Mulieribus conuenit agere, quæ *ſunt* modeſtæ.

Chorus.

Supplico tibi anus ex venerando ore
Ad genua procidens tua,
Vt redimas mihi filiorum extinctorum
Cadauera, quæ relinquunt artus,
Morte ſoluente membra,
Feris montanis eſcam:
Intuens quidem miſerabiles oculorum
Lachrymas circa palpebras,
Rugoſas vero, *fœdaſq;* carniũ canarũ, *i. capitũ canorũ*
Lacerationes manuũ *vi factas.* q̃d enim *ego faciã*, quæ
Mortuos filios meos neq; domi
Curaui, neque ſepulchrorum
Tumulos terræ video?
Peperiſti tu quoq; quondam, ô veneranda, filium,
Faciens gratum thalamum tuo marito,
Impertias mihi nunc tuam mentem,
Impertias vero quantum doleo miſera
De mortuis quos peperi. perſua-
de vero tuum, cui ſumus ſupplices, vt veniat,
Filium, *ad* Iſmenum, vt in mea manu ponat
Iuuenilium cadauerũ corpora *ad* lapideũ ſepulchrum
Sancte: non aũt cõpulſa a neceſſitate *ad tua genua* acci-
dens, petitura venio *ad* recipientes ignem deorum
Aras. habemus autem iuſtam cauſam. & tibi
Adeſt quædam facultas, vt felicitate tui filii
Auferas infelicitatem meam.
Miſeranda vero *mala* quia patior, *te* ſupplex oro
Infelix *ego*, meum filium vt in manu *mea* ponas,
Vt amplectar miſera membra mortua mei filii.

ANTISTROPHICA.

Strophe.

1 Certamen hoc aliud venit luctuum, luctibus *perpe*
2 Succedens. *planctus* reſonant miniſtrorum manus.
3 Ite ô concentores mali,
4 Ite ô conſortes doloris *noſtri,*
5 *Ad* chorum, quem Pluto colit.
6 Per genas vnguem candidum *mittentes*
7 Cruentate, corpusque lacerum.
,, 8 Hic enim honor mortuis *tribuitur* a viuis.

Antiſtrophe.

1 Educit me hæc inſatiabilis voluptas luctuum
2 Ærumnoſa, vt ex marina rupe
3 Humida fluens gutta,
4 Nullum vnquam finem faciens luctuum.
,, 5 Nam propter mortuos filios
,, 6 Vehemens quidam in mulieribus
,, 7 Ad luctus inſitus eſt affectus: heu heu.
8 Vtinam mortua horum dolorum obliuiſcar.

Theſeus.

Quos luctus audiui, & percuſſiones pectorum,
Et lamentationes de mortuis, ex his templis
Sono exeunte? quam metus me ſuſpenſum reddit,
Ne mater, ad quam vado pedibus,
Quæ diu abfuit ab ædibus, habeat aliquid noui?
Eia, quæ res *eſt?* video noua procœmia ſermonum,
Matrem anum in ara ſedentem,
Et peregrinas ſimul mulieres, non vnum ſonum
Habentes luctuum: nam ex venerandis
Oculis mittunt miſerabiles lachrymas in terram:
Et raſuræ, ac veſtitus nō qualis eſt in pompis ſacrorum.
Quid hæc ſunt mater? tuum eſt indicare mihi,
Et meum audire expecto enim aliquid noui.

Æth. O fili, iſtæ mulieres *ſunt* matres filiorum,
Qui ad Cadmeas portas occubuerunt,
Septem ducum: & cum ramis ſupplicibus
Cuſtodiunt me, vt vides, vndique, fili.

The. Quis vero eſt iſte gemens miſerabiliter ad fores?

Æth. Adraſtus, vt aiunt, Argiuorum rex.

The. Hi vero pueri, *qui ſunt* circa iſtum, an huius *ſunt* filii?

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Ἀγὼν ὅδ' ἄλλος ἔρχεται γόων, γόων
Διάδοχος. ἀχοῦσι προσπόλων χέρες.
Ἴτ' ὦ ξυνῳδοὶ κακοὶ,
Ἴτ' ὦ ξυναλγηδόνες,
Χορὸν, τὸν ἀίδας σέβει.
Διὰ παρηίδος ὄνυχα λευκὸν
Αἱματοῦτε, χρῶτά τε φόνιον.
Τὰ γὰρ φθιτῶν τοῖς ὀρῶσι κόσμος.

Ἀντιστροφή.

Ἄπληστος ἅδε μ' ἐξάγει χάρις γόων
Πολύπονος ὡς ἐξ ἀλιβάτου πέτρας
Ὑγρὰ ῥέουσα σταγὼν,
Ἄπαυστος ἀεὶ γόων.
Τὸ γὰρ θανόντων τέκνων,
Ἐπίπονόν τι κατὰ γυναῖκας
Εἰς γόους πέφυκε πάθος. ἒ, ἔ.
Θανοῦσα τῶν ἀλγέων λαθοίμαν.

ΙΑΜΒΟΙ.

Τίνων γόους ἤκουσα, καὶ στέρνων κτύπον,
Νεκρῶν τε θρήνους, τῶνδ' ἀνακτόρων ἄπο
Ἠχοῦς ἰούσης; ὡς φόβος μ' ἀναπτεροῖ,
Μή μοί τι μήτηρ, ἣν μεταστείχω ποδὶ,
Χρονίαν ἀποῦσαν ἐκ δόμων, ἔχῃ νέον.
Ἔα τί χρῆμα; καινὰς εἰσβολὰς ὁρῶ λόγων,
Μητέρα γεραιὰν βωμίαν ἐφημένην,
Ξένας θ' ὁμοῦ γυναῖκας, οὐ ῥυθμὸν γ' ἕνα
Κακῶν ἐχούσας. ἔκ τε γὰρ γερασμίων
Ὄσσων ἐλαύνουσ' οἰκτρὸν εἰς γαῖαν δάκρυ,
Κουρᾷ δὲ, καὶ πεπλώματ' οὐ θεωρικά.
Τί ταῦτα μῆτερ; σὸν τὸ μηνύειν ἐμοὶ,
Ἡμῶν δ' ἀκούειν. προσδοκῶ τι γὰρ νέον.
Ὦ παῖ, γυναῖκες αἵδε μητέρες τέκνων,
Τῶν κατθανόντων ἀμφὶ Καδμείας πύλας,
Ἑπτὰ στρατηγῶν. ἱκεσίοις δὲ σὺν κλάδοις
Φρουροῦσί μ', ὡς δέδορκας, ἐν κύκλῳ, τέκνον.
Τίς δ' ὁ στενάζων οἰκτρὸν ἐν πύλαις ὅδε;
Ἄδραστος, ὡς λέγουσιν, Ἀργείων ἄναξ.
Οἱ δ' ἀμφὶ τόνδε παῖδες, ἦ τούτου τέκνα;

αἴ. Οὐκ, ἀλλὰ νεκρῶν τῶν ὀλωλότων χάριν.
θη. Τί γὰρ πρὸς ἡμᾶς ἦλθον ἱκεσίᾳ χερί;
αἴ. Οἶδ'. ἀλλὰ τῶνδε μῦθος οὑντεῦθεν, τέκνον.
θη. Σὲ, τὸν κατήρη χλανιδίοις, ἀνιστορῶ.
Λέγ' ἐκκαλύψας κρᾶτα, καὶ πάρες γόον.
„ Πέρας γὰρ οὐδὲν, μὴ διὰ γλώσσης
„ ἰόν.
ἄδ. Ὦ καλλίνικε γῆς Ἀθηναίων ἄναξ
Θησεῦ, σὸς ἱκέτης, καὶ πόλεως ἥκω σέθεν.
θη. Τί χρῆμα θηρῶν, καὶ τίνος χρείαν ἔχων;
ἄδ. Οἶσθ' ἣν στρατείαν ἐστράτευσ' ὀλεθρίαν;
θη. Οὐ γάρ τι σιγῇ διεπέρασας Ἑλλάδα.
ἄδ. Ἐνταῦθ' ἀπώλεσ' ἄνδρας Ἀργείων ἄκρους.
θη. Τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται.
ἄδ. Τούτους θανόντας ἦλθον ἐξαιτῶν πόλιν.
θη. Κήρυξιν Ἑρμοῦ πίσυνος, ὡς θάψῃς νεκρούς;
ἄδ. Κἄπειτά γ' οἱ κτανόντες οὐκ ἐῶσί με.
θη. Τί γὰρ λέγουσιν, ὅσια χρῄζοντος σέθεν;
ἄδ. Τί δ'; εὐτυχοῦντες οὐκ ἐπίστανται φέρειν.
θη. Ξύμβουλον οὖν μ' ἐπῆλθες; ἢ τίνος χάριν;
ἄδ. Κομίσαι σε Θησεῦ παῖδας Ἀργείων θέλων.
θη. Τὸ δ' Ἄργος ἡμῖν ποῦ 'στιν; ἢ κόμποι μάτην;
ἄδ. Σφαλέντες οἰχόμεσθα. πρὸς σὲ δ' ἥκομεν.
θη. Ἰδίᾳ δοκῆσάν σοι τόδ', ἢ πάσῃ πόλει;
ἄδ. Πάντες σ' ἱκνοῦνται Δαναΐδαι θάψαι νεκρούς.
θη. Ἐκ τοῦ δ' ἐλαύνεις ἑπτὰ πρὸς Θήβας λόχους;
ἄδ. Δισσοῖσι γαμβροῖς τήνδε πορσύνων χάριν.
θη. Τῷ δ' ἐξέδωκας παῖδας Ἀργείων, σέθεν;
ἄδ. Οὐκ ἐγγενῆ ξυνῆψα κηδείαν δόμοις.
θη. Ἀλλὰ ξένοις ἔδωκας Ἀργείας κόρας;
ἄδ. Τυδεῖ τε, Πολυνείκει τε τῷ Θηβαγενεῖ.
θη. Τίν' εἰς ἔρωτα τῆσδε κηδείας μολών;
ἄδ. Φοίβου μ' ὑπῆλθε δυστόπαστ' αἰνίγματα.
θη. Τί δ' εἶπ' Ἀπόλλων παρθένοις κραίνων γάμους;
ἄδ. Κάπρῳ με δοῦναι, καὶ λέοντι παῖδ' ἐμώ.
θη. Σὺ δ' ἐξελίσσεις πῶς θεοῦ θεσπίσματα;
ἄδ. Ἐλθόντε φυγάδε νυκτὸς εἰς ἐμὰς πύλας.
θη. Τίς καὶ τίς εἰπέ. δύο γὰρ ἐξαυδᾷς ἅμα.
ἄδ. Τυδεὺς μάχην ξυνῆψε, Πολυνείκης θ' ἅμα.
θη. Ἦ τοῖσδ' ἔδωκας, θηρσὶν ὡς, κόρας σέθεν;

. Non, ſed filii mortuorum, qui occubuerunt.
Cur vero ad nos venerunt ſupplici manu?
. Scio: ſed de his poſtea *fient* verba, fili.
Te obuolutum penulis interrogo.
Dic, retecto capite, & omitte luctum.
,, Finis enim nullus *rebus imponetur,* niſi per linguam
,, [illegible] eat, *ac declaretur quod petis.*
. O clare victoriis Attici ſoli rex
Theſeu, venio ſupplex tibi & vrbi tuæ.
e. Quam rem venans, aut quo opus habens?
. Scisne quam pernicioſam expeditionem feci?
e. Non enim tacite pertranſiiſti Græciam.
l. Ibi perdidi Argiuorum proceres.
e. Talia miſerum bellum facit.
l. Hos mortuos veni petiturus ab vrbe.
he. Fretus præconibus Mercurii, vt ſepelias mortuos?
d. Sed *eorum* interfectores non ſinunt me *hoc facere.*
e. Quid vero dicunt, cũ tu iuſta petas? [ſciunt ferre.
d. Quid vero te bene geſta *dicerenti victoriã moderate* ne-
he. Ergo veniſti conſulturus me, aut cuius gratia?
d. O Theſeu, cupiens recuperare filios Argiuorum.
he. Vbi vero eſt nobis illud Argos? an fruſtra gloriabatur?
d. Periimus *ſpe* fruſtrati. ad te igitur venimus, *cõfugimus.*
he. Vtrum hoc tuo priuato conſilio *fit*, an totius vrbis?
Ad. Oẽs Danaidæ te ſuppliciter orant, vt ſepelias mortuos.
he. Quare vero duxiſti ſeptem currus ad Thebas?
Ad. Duobus generis hoc præſtans officium.
The. Cui vero Argiuorum elocaſti filias tuas?
Ad. Non cum noſtra gente contraxi affinitatem domi.
The. An peregrinis dediſti Argiuas puellas?
Ad. Tydeo, & Polynici Thebano.
The. Quomodo in amorem huius affinitatis profectus?
Ad. Obſcura ænigmata Phœbi me induxerunt.
The. Quid vero dixit Apollo, parans puellis nuptias?
Ad. Vt darem meas filias apro, & leoni.
The. Quomodo vero tu explicaſti oracula dei?
Ad. Cum veniſſent exules nocte ad meam portam.
The. Quis, & quis, dic: duos enim dixiſti ſimul.
Ad. Tydeus & Polynices pugnauerunt inter ſe.
The. An his dediſti vt feris tuas filias?

Ad. Coniiciens *hanc eſſe* pugnam duarum ferarum.
Thes. Quomodo vero venerunt relictis finibus patriæ?
Ad. Tydeus quidem fugiens ſanguinē cognatū ex patria.
Thes. Filius vero Oedipi quomodo *venit* relictis Thebis?
Ad. Propter diras patris, ne interficeret fratrem.
Thes. Prudens dixiſti voluntarium hoc exilium.
Ad. Sed qui *domi* manebant, abſentes iniuria afficiebant.
Thes. Num frater ipſum fraudat patrimonio?
Ad. Hæc vt oſtenderem veni, & ſic perii.
Thes. Vateſne conſuluiſti, & vidiſti flammas hoſtiarum?
Ad. Heu mihi, vrges me qua re ego maxime impegi.
Thes. Non iuiſti *ad hoc bellum*, vt videtur, fauentibus diis.
Ad. Quid? Quinetiam iui inuito Amphiarao.
Thes. Sic deus facile auerſatus eſt te.
Ad. Iuuenum enim virorū tumultus percellebat me.
Thes. Audaciam *igitur* ſectatus es pro bono conſilio.
Ad. Quod profecto iam multos perdidit duces.
Sed ô fortiſſimum caput Græcorum,
Rex Athenienſium, erubeſco quidem
Procidens humi, amplecti tuum genu manu,
„ Canus vir, qui æque, *ac tu*, fui beatus hactenus:
Tamen neceſſe *eſt* cedere meæ calamitati.
Serua mortuos meos, & miſerans mea mala,
Et has matres mortuorum filiorum,
Quibus ſenectus cana venit ad orbitatem.
Suſtinuerunt autem venire huc, & hoſpitalem pedem
Ponere, vix mouentes ſenilia membra,
Tanquam legatæ, non ad ceremonias Cereris,
Sed vt mortuos ſepeliant: quas ipſas oportuit
Sepultas manibus filiorum cōſequi tēpeſtiuū funus.
„ Sapientis aūt eſt, diuitem aſpicere paupertatem.
„ Pauperem vero reſpicere ad diuites,
„ Imitantē *eos*, vt & ipſū *parandæ* pecuniæ amor capiat.
„ Et fortunatos timere miſerias.
„ Et poetam, ſi verſus ipſe pariat,
„ Gaudentem parere: niſi enim ita ſit affectus,
„ Non poterit, ſi domi malis afficiatur,
„ Delectare alios. Haud enim æquitatem *hoc* habet.
Fortaſſe vero dixeris: Pelopia terra, *à Peloponeſo* omiſſa,
Quomodo iniungis iſtum laborē Athenienſibus?

Eg

ἀδ. Μάχην γε δισσοῖν κνωδάλοιν ἀπεικάσας.
θη. Ἦλθον δὲ δὴ πῶς πατρίδος ἐκλιπόνθ' ὅρους;
ἀδ. Τυδεὺς μὲν, αἷμα συγγενὲς φεύγων χθονός.
θη. Ὁ δ' Οἰδίπου, τίνι τρόπῳ Θήβας λιπών;
ἀδ. Ἀραῖς πατρῴαις, μὴ κασίγνητον κτάνῃ.
θη. Σοφὴν ἔλεξας τήν γ' ἑκούσιον φυγήν.
ἀδ. Ἀλλ' οἱ μένοντες, τοὺς ἀπόντας ἠδίκουν.
θη. Ἦπου σφ' ἀδελφὸς χρημάτων νοσφίζεται;
ἀδ. Ταυτὶ διδάξων ἦλθον, εἶτ' ἀπωλόμην.
θη. Μάντεις δ' ἐπῆλθες, ἐμπύρων τ' εἶδες φλόγας;
ἀδ. Οἴμοι διώκεις μ', ᾗ μάλιστ' ἐγὼ σφάλην.
θη. Οὐκ ἦλθες, ὡς ἔοικεν, εὐνοίᾳ θεῶν.
ἀδ. Τί δέ; πλέον ἦλθον Ἀμφιάρεω πρὸς βίαν.
θη. Οὕτω τὸ θεῖον ῥᾳδίως σ' ἀπεστράφη.
ἀδ. Νέων γὰρ ἀνδρῶν θόρυβος ἐξέπλησσέ με.
θη. Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας.
ἀδ. Ὃ δή γε πολλοὺς ὤλεσε στρατηλάτας.
Ἀλλ' ὦ κρᾶθ', Ἑλλάδ' ἀλκιμώτατον κάρα,
Ἄναξ Ἀθηνῶν, ἐν μὲν αἰσχύναις ἔχω,
Πιτνῶν πρὸς οὖδας, γόνυ σὸν ἀμπίσχειν χερί,
„ Πολιὸς ἀνὴρ, εὐδαιμονῶν ἴσως πάρος.
Ὅμως δ' ἀνάγκη συμφοραῖς εἴκειν ἐμαῖς.
Σῶσον νεκρούς μοι, τἀμά τ' οἰκτείρας κακὰ,
Καὶ τῶν θανόντων τάσδε μητέρας τέκνων,
Αἷς γῆρας ἥκει πολιὸν εἰς ἀπαιδίαν.
Ἐλθεῖν δ' ἔτλησαν δεῦρο, καὶ ξένον πόδα
Θεῖναι μόλις γεραιὰ κινοῦσαι μέλη,
Πρεσβεύματ' οὐ Δήμητρος εἰς μυστήρια,
Ἀλλ' ὡς νεκροὺς θάψωσιν, ὡς αὐτὰς ἐχρῆν
Κείνων ταφείσας χερσὶν ὡραίων τυχεῖν.
„ Σοφὸν δὲ πενίαν τ' εἰσορᾶν τὸν ὄλβιον,
„ Πένητά τ' εἰς τοὺς πλουσίους ἀποβλέπειν,
„ Ζηλοῦνθ', ἵν' αὐτὸν χρημάτων ἔρως ἔχῃ,
„ Τά τ' οἰκτρὰ τοὺς μὴ δυστυχεῖς δεδοικέναι.
„ Τόν θ' ὑμνοποιὸν, αὐτὸς ἂν τίκτῃ μέλη,
„ Χαίροντα τίκτειν. ἢν δὲ μὴ πάσχῃ τόδε,
„ Οὔτοι δύναιτ' ἄν, οἴκοθέν γ' ἀτώμενος,
„ Τέρπειν ἂν ἄλλους. οὐδὲ γὰρ δίκην ἔχει.
Τάχ' οὖν ἂν εἴποις, Πελοπίαν παρεὶς χθόνα,
Πῶς ταῖς Ἀθήναις τόνδε προσφέρεις πόνον;

Ἐγὼ δίκαιός εἰμ' ἀφηγεῖσθαι τάδε.
Σπάρτη μὲν ἡ 'μὴ, καὶ πεποίκιλται τρόπους.
Τὰ δ' ἄλλα, μικρὰ, κἀσθενῆ. πόλις δὲ σὴ
Μόνη δύναιτ' ἂν τόνδ' ὑποστῆναι πόνον.
Τά τ' οἰκτρὰ γὰρ δέδορκε, καὶ νεανίαν
Ἔχει σε ποιμέν' ἐσθλόν. οὐ χρεία πόλεις
Πολλαὶ διώλοντ' ἐνδεεῖς στρατηλάτου.
Χο. Κἀγὼ τὸν αὐτὸν τῷδέ σοι λόγον λέγω
Θησεῦ, δι' οἴκτου τὰς ἐμὰς λαβεῖν τύχας.
Θη. Ἄλλοισι δὴ 'πόνησ' ἁμιλληθεὶς λόγῳ
„ Τοιῷδ'. ἔλεξε γάρ τις ὡς τὰ χείρονα
„ Πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων.
„ Ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω,
„ Πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς.
„ Εἰ μὴ γὰρ ἦν τόδ', οὐκ ἂν ἦμεν ἐν φάει.
„ Αἰνῶ δ', ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου,
„ Καὶ θηριώδους θεῶν διεσταθμήσατο.
„ Πρῶτα μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ' ἄγγελον
„ Γλῶσσαν λόγων δοὺς, ὥστε γιγνώσκειν ὄπα,
„ Τροφήν τε καρποῦ, τῇ τροφῇ τ' ἀπ' οὐρανοῦ
„ Σταγόνας ὑδρηλὰς, ὡς τά γ' ἐκ γαίας τρέφῃ,
„ Ἄρδῃ τε νηδύν. πρὸς δὲ τοῖσι, χείματος
„ Προβλήματ', αἶθον ἐξαμύνασθαι θεοῦ.
„ Πόντου τε ναυστολήμαθ', ὡς διαλλαγὰς
„ Ἔχοιμεν ἀλλήλοισιν, ὧν πένοιτο γῆ.
„ Ἃ δ' ἔστ' ἄσημα, κοὐ σαφῆ, γιγνώσκομεν
„ Εἰς πῦρ βλέποντες, καὶ κατὰ σπλάγχνων πτύχας
„ Μάντεις προσημαίνουσιν, οἰωνῶν τ' ἄπο.
„ Ἆρ' οὐ τρυφῶμεν, θεοῦ κατασκευὴν βίου
„ Δόντος τοιαύτην; οἷσιν οὐκ ἀρκεῖ τάδε;
„ Ἀλλ' ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
„ Ζητεῖ. τὸ γαῦρον δ' ἐν χερσὶ κεκτημένοι,
Δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.
Ἧς καὶ σὺ φαίνῃ δεκάδος, οὐ σοφὸς γεγώς,
Ὅστις κόρας μὲν, θεσφάτοις Φοίβου ζυγεὶς,
Ξένοισιν ὧδ' ἔδωκας ὡς ζώντων θεῶν.
„ Λαμπρὸν δὲ θολερῷ δῶμα συμμίξας τὸ σὸν,
„ Ἥλκωσας οἴκους. χρὴν γὰρ οὔτε σώματα
„ Ἄδικα δικαίοις τὸν σοφὸν συμμιγνύναι,
„ Εὐδαιμονοῦντας δ' εἰς φόβους κτᾶσθαι φίλους

„ Κοινὰς

Ego paratus ſum, vt æquum eſt, hæc declarare.
Sparta quidẽ mea *ꝑter alia*, variis etiã eſt ꝑdita morib⁹.
Reliquæ vero *vrbes ſunt* paruę, & imbecilles: ſed tua ci- [uitas
Sola poteſt ſuſtinere hunc laborem.
Vidit enim *noſtras* miſerias, & iuuenem
Habet te rectorem bonum: cuius defectu vrbes
Multæ perierunt, indigentes duce.
Cho. Et ego eundem, quem hic, tibi ſermonem dico,
Theſeu, vt miſericordia mouearis mearũ calamitatũ.
The. Laboraui iam certans cum aliis oratione
„ Tali. dixit enim quidam, quod mala
„ Plura ſint bonis apud homines:
„ Ego vero contrariam his ſententiam habeo,
„ Plura bona quam mala eſſe hominibus.
„ Niſi enim hoc eſſet, non eſſemus in *hac* luce.
„ Laudo autem *eum*, qui nobis vitam a confuſa,
„ Et ferina, *quiſquis ille fuerit* Deorum, diſcreuit.
„ Primum quidem indens mentẽ, deinde vero nũciam
„ Sermonis linguam dans, vt agnoſcamus vocem,
„ Et nutrimentum frugum, & frugibus de cælo
„ Stillas humidas, vt alant illa quæ naſcuntur ex terra,
„ Et rigent ventrem: præterea vero aduerſus hyemem
„ Munimenta *donans, aliaſq; veſtes* ad æſtum Dei *Solis*
„ Et maris nauigationem, vt commercia [arcendum.
„ Haberemus inter nos, *rerum*, quibus indiget terra.
„ Quę autem ſunt ignota & nõ perſpicua, cognoſcimus,
„ Intuentes in ignem, & per fibras extorum
„ Vates *futura* prædicunt, & ex auguriis *coniicimus*.
„ Nonne igitur petulãtes ſumus, cũ Deus apparatũ vitæ
„ Dederit talem? quibus hæc non ſufficiant?
„ Sed animus *noſter* plus poſſe quam Deus
„ Quærit: falſum autem in manibus habentes,
„ Videmur eſſe ſapientiores diis.
Quo in numero tu quoq; videris *eſſe* nõ ſapiẽs exiſtẽs,
Qui filias oraculis Phœbi conſtrictus,
Sic dediſti peregrinis, vt viuentibus diis.
„ Miſcens autem ſplendidam familiam tuam pollutæ,
„ Vulneraſti domos: oportet enim neque corpora
„ Iniuſta iuſtis miſcere iuſtum: [tiendum.
„ Et florẽtes comparare amicos ad terrorẽ *inimicis incu-*

„ Deus

Digitized by Google

,, Deus enim ducens communem fortunam,
,, Laborantis calamitatibus perdidit
,, Simul laborantem, quamuis nihil peccarit.
Ducens autem omnes Argiuos in expeditionem,
Vatibus *contra* dicentibus, oraculiſque præterea contemptis,
Per vim neglectis diis, perdidiſti ciuitatem,
,, A iuuenibus adductus, qui cum honore afficiuntur,
,, Gaudent, & augent bella ſine iure,
,, Corrumpentes ciues, alius quidem vt fiat imperator,
,, Alius vero vt *aliũ* cõtumelia afficiat nact° potẽtiã.
,, [illegible]us vero quæſtus gratia, non conſiderans
[illegible] populus aliquid detrimẽti accipiat, dũ hęc patitur.
,, Tres enim *ſunt* partes ciuium: alii quidem diuites,
,, Inutileſque, & ſemper plura expetunt.
,, Alii vero pauperes, & indigentes victu,
,, Vehementes, & tribuentes maiorem partẽm inuidiæ,
,, Emittunt malos aculeos in diuites,
,, Linguis malorum præſidum decepti.
,, Triũ vero partiũ illa, quę *eſt* in medio, ſeruat ciuitates,
,, Diſciplinam conſeruans, quã conſtituerit ciuitas.
Et deinde ego tibi auxiliator ero?
Quid honeſti dicens ad meos ciues?
Lætus abi: nam non recte deliberaſti
Ipſe, vt nos vrgeamus nimis fortunam.
Cho. Male fecit. In iuuenibus autem hominibus hoc
,, Ineſt. veniam igitur huic dare decet.
Sed venimus ô rex *ad te* vt *ad* medicum horũ *malorũ*.
Ad. Non elegi te iudicem meorum malorum:
Neque, ſi quid deprehendar non recte feciſſe,
Iſtorum punitorem, & obiurgatorem, ô rex,
Sed vt adiuuer. Si autem non vis hæc *facere*,
Neceſſe *eſt me* tuis *verbis* acquieſcere. Quid.n.agam?
Sed ô anus, ite viridem herbam
Frondium relinquentes hic *in* reditu:
Et Deos, & terram, & frugiferam Deam
Cererem facientes teſtes, & ſolis lumen,
Quod nihil profuerint nobis preces deorum. *Tua tamen mater, Theſeu, erat filia Pitthei,*
Qui erat filius Pelopis, & nos ex terra Pelopia

Poſſi-

,, Κοινὰς γὰρ ὁ θεὸς τὰς τύχας ἡγούμενος,
,, Τοῖς τοῦ νοσοῦντος πήμασιν διώλεσεν
,, Τὸν συννοσοῦντα, κοὐδὲν ἠδικηκότα.
Εἰς δὲ στρατείαν πάντας Ἀργείους ἄγων,
Μάντεων λεγόντων, θέσφατ' εἶτ' ἀτι-
μάσας.
Βίᾳ παρελθὼν θεοὺς, ἀπώλεσας πόλιν,
,, Νέοις παραχθείς. Οἵτινες τιμώμενοι
,, Χαίρουσι, πολέμους τ' αὐξάνουσ' ἄνευ δίκης,
,, Φθείροντες ἀστούς, ὁ μὲν ὅπως στρατηλατῇ,
,, Ὁ δ' ὡς ὑβρίζῃ δύναμιν εἰς χεῖρας λαβών,
,, Ἄλλος δὲ κέρδους οὕνεκ', οὐκ ἀποσκοπῶν
,, Τὸ πλῆθος εἴ τι βλάπτεται πάσχον τάδε.
,, Τρεῖς γὰρ πολιτῶν μερίδες. οἱ μὲν ὄλβιοι,
,, Ἀνωφελεῖς τε, πλειόνων τ' ἐρῶσ' ἀεί.
,, Οἱ δ' οὐκ ἔχοντες, καὶ σπανίζοντες βίου,
,, Δεινοί, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
,, Εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά,
,, Γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι.
,, Τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ, σώζει πόλεις,
,, Κόσμον φυλάσσουσ', ὅντιν' ἂν τάξῃ πόλις,
Κἄπειτ' ἐγώ σοι ξύμμαχος γενήσομαι;
Τί πρὸς πολίτας τοὺς ἐμοὺς λέγων καλόν;
Χαίρων ἴθι, μὴ οὐ γὰρ βεβούλευσαι καλῶς
Αὐτὸς, πιέζειν τὴν τύχην ἡμᾶς λίαν.
Χο. Ἥμαρτεν. Ἐν νέοισι δ' ἀνθρώποιν τόδε
,, Ἔνεστι. συγγνώμην δὲ τῷδ' ἔχειν χρεών.
Ἀλλ' ὡς ἰατρὸν τῶνδ' ἄναξ ἀφίγμεθα.
Ἀδ. Οὔτοι δικαστὴν εἱλόμην ἐμῶν κακῶν,
Οὐδ', εἴ τι πράξας μὴ καλῶς εὑρίσκομαι,
Τούτων κολαστὴν κἀπιτιμητὴν, ἄναξ,
Ἀλλ' ὡς ὀναίμην. εἰ δὲ μὴ βούλει τάδε,
Στέργειν ἀνάγκη τοῖσι σοῖς. τί γὰρ πάθω;
Ἄγ' ὦ γεραιαὶ, στείχετε γλαυκὴν χλόην
Αὐτοῦ λιποῦσαι φυλλάδος καταστροφῇ,
Θεούς τε, καὶ γῆν, τήν τε πυρφόρον θεὰν
Δήμητρα θέμεναι μάρτυρας, ἡλίου τε φῶς,
Ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ
θεῶν.
Ὃς Πέλοπος ἦν παῖς, Πελασγίας δ' ἡμεῖς χθονὸς

Ταὐτὸν

Digitized by Google

Ταυτὸν πεπραγόσιν αἱμαγέσι κεκτήμεθα.
Τί δρᾷς; προδώσεις ταῦτα, κἀκβαλεῖς χθονὸς
Γραῦς οὐ τυχούσας οὐδὲν, ὧν αὐτὰς ἐχρῆν;
,, Μὴ δῆτ'. Ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
,, Δοῦλος δὲ βωμοὺς θεῶν. πόλις δὲ πρὸς πόλιν
,, Ἔπτηξε, χειμασθεῖσα. τῶν γὰρ ἐν βροτοῖς,
,, Οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

Ἑξάμετρα.

αἰ. Βᾶθι τάλαιν' ἱερῶν δαπέδων ἀπὸ Περσεφονείας.
Βᾶθι, καὶ ἀντίασον, γονάτων ἐπὶ χεῖρα βαλοῦσα.
Τέκνων τεθνεώτων κόμισαι δέμας. ὦ μελέα 'γὼ,
Οὓς ὑπὸ τείχεσι Καδμείοισιν ἀπώλεσα κούρους.
Ἰώ μοι. λάβετε, φέρετε, πέμπετε.
Κρίνετε ταλαίνας χέρας γεραιάς.
Πρὸς γενειάδος ὦ φίλος, ὦ δοκιμώτατος Ἑλλάδι,
Ἄντομαι, ἀμφιπίτνουσα τὸ σὸν
Γόνυ, καὶ χέρα δειλαίαν.
Οἴκτισαι ἀμφὶ τέκνων μ' ἱκέταν,
Ἤ τιν' ἀλάταν, οἰκτρὸν ἰήλεμον, οἰκτρὸν ἱεῖσαν.
Μηδ' ἀτάφους, τέκνον, ἐν χθονὶ Κάδμου χάρματα θηρῶν,
Παῖδας ἐν ἡλικίᾳ τᾷ σᾷ καταδῇς ἱκετεύω,
Βλέψον ἐμῶν βλεφάρων ἐπιδάκρυον, ἃ περὶ σοῖσι
Γονύμασιν ὧδε πίτνω, τέκνοις τάφον ἐξανύσασα.

ΙΑΜΒΟΙ.

θη. Μῆτερ, τί κλαίεις, λέπτ' ἐπ' ὀμμάτων φάρη
Βαλοῦσα τῶν σῶν, ἆρα δυστήνους γόους
Κλύουσα τῶνδε; κἀμὲ γὰρ διῆλθέ τι.
Ἔπαιρε λευκὸν κρᾶτα, μὴ δακρυρρόει,
Σεμναῖσι Δηοῦς ἐσχάραις παρημένη.
αἰ. Αἶ, αἶ. Θη. τὰ τούτων οὐχὶ σοὶ
στενακτέον.
αἰ. Ὦ τλήμονες γυναῖκες. Θη. οὐ σὺ τῶνδ' ἔφυς;
αἰ. Εἴπω τι τέκνον, σοί τε καὶ πόλει καλόν;
θη. Ὡς πολλά γ' ἐστὶ κἀπὸ θηλειῶν σοφά.
αἰ. Ἀλλ' εἰς ὄκνον μοι μῦθος, ὃν κεύθω, φέρει.
θη. Αἰσχρόν γ' ἔλεξας, χρήστ' ἀποκρύπτειν φίλοις.
αἰ. Οὔτοι σιωπῶσ', εἶτα μέμψωμαί ποτε
Τὴν νῦν σιωπὴν, ὡς ἐσιγήθη κακῶς,
Οὐδ' ὡς ἀχρεῖον τὰς γυναῖκας εὖ λέγειν
Δείσασ', ἀφήσω τῷ φόβῳ τοὐμὸν καλόν.

Ἐγὼ

Poſſidemus eundem ſanguinem paternum tecum.
Quid agis? prodes hæc, & eiicies ex terra
Has anus nihil conſecutas *eorũ*, q̃ ipſas *cõſequi* decebat?
„ Nequaquam. habet enim refugium, fera quidẽ petrã,
„ Serui vero aras Deorum. ciuitas vero ad ciuitatem
„ Fugit iactata tempeſtatibus. rerũ enim humanarum
„ Nihil eſt perpetuo beatum.

Chorus.

Vade ô miſera a ſacro ſolo Proſerpinæ,
Vade, & occurre, genibus imponens manum,
Filiorumq; mortuorum recipe cadauera. ô me miſerã,
Quos iuuenes perdidi ſub mœnibus Cadmeis.
Hei mihi, prehendite, auferte, mittite:
Secernite, *diducite* miſeras manus ſeniles.
Per genam ô chariſſ. & præſtantiſſime in Græcia
Precor, cadens ad tua
Genua, & manum miſeram:
Miſerere pro liberis me ſupplicem,
Aut velut exulẽ edentem lugubre carmen, miſerabile.
Et fili, ne inſepultos in terra Cadmi ludibria ferarum
Filios in tua ætate videas, ſuppliciter oro.
Aſpice lachrymas in meis palpebris, quæ ad tua
Genua hic cado, ſepulturam liberis vt perficias.

Theſeus.

Mater, quid ploras, tenue peplum ſuper oculos
Tuos ponens? num miſerabilem querelam
Harum audiens? nam me quoq; permouit nonnihil.
Attolle canum caput, ne lachrymas funde,
Aſſidens ſanctis focis Cereris.

Æth. Heu heu. *The.* Iſtorum *mala* non ſunt tibi ingemiſcenda.
Æth. O miſeræ mulieres. *The.* Non tu ex illis nata es?
Æth. Dicam fili aliquid tibi, & vrbi honeſtum?
The. *Dic*, quia multa ſunt etiã a mulieribus ſapienter dicta.
Æth. Sed ſermo, quem celo, affert mihi verecundiam.
The. Turpiter dixiſti, bona celans amicos.
Æth. Non ſane tacens, deinde reprehendam aliquando
Præſens ſilentium, quod turpiter ſit tacitum:
Neque quod ſit inutile, mulieres aliquid boni dicere
Timens, amittam meum decus metu.

Ego

Ego vero te ô fili primum quidem deorum cultum
Conſiderare iubeo, ne offendas *hoc* neglecto.
Nam in hoc ſolo offendes, alioqui vir ſapiens
Præterea vero ſi non oporteret iniuſte afflictis
Audacter opem ferre, animo valde quieto eſſem.
Nunc vero & tibi hoc gloriam fert,
Et mihi hortari *te* non affert metum, ô fili,
Vt viros violentos, & qui impediunt mortuos,
Ne ſepulturæ debitã partem, & parentalia cõſequãtur,
Ad hanc *officii* neceſſitatem tu cõpellas manu.
Et qui totius Græciæ mores confundunt,
„ Compeſcas. Quod enim continet hominum vrbes
„ Hoc eſt, quando quis leges ſeruat accurate.
Dicet vero aliquis, quod ob ignauiam manuum,
Cum liceret tibi gloriæ coronã vrbi comparare,
Timens omiſeris. Et ſuis quidem agreſtis
Certamen attigiſti, tolerans laborem inglorium.
Vbi vero in galeam intuentem, & in aciem haſtæ
Oportebat laborare, ſis inuentus timidus.
Nequaquam meus exiſtens, ô fili, hæc facies.
Videsne, vt inops conſilii deriſa
A deriſoribus, tanquam Gorgonem aſpiciat
Tua patria? nam in laboribus *hæc vrbs* creſcit.
At ocioſæ vrbes obſcura *facinora* faciunt,
Obſcuras etiam *res* ſpectant, *obſcuraq; latent*, dum nimium timent.
Non ibis mortuis, & miſeris mulieribus,
O fili, opem laturus indigentibus?
Quia neq; timeo tibi iuſta de cauſa proficiſcenti,
Et Cadmi populum videns *iam* fortunatum,
Aliam fortunam aleæ ipſum adhuc experturum
„ Confido: nam deus omnia ſolet retro vertere.
Cho. O chariſſima mihi, & iſti recte dixiſti hoc,
Et mihi. duplexque gaudium hoc eſt.
The. Mea quidem verba, mater, *a me* dicta
Recte ſe habent aduerſus iſtum, & dixi
Sententiam, quibus offenderit conſiliis.
Video autem & ipſe hæc quæ me mones,
Quod meis moribus non ſit conſentaneum,
Fugere pericula. Nam multis rebus honeſte geſtis,

Elegi

Digitized by Google

Ἐγὼ δέ σ', ὦ παῖ, πρῶτα μὲν τὰ τῶν θεῶν
Σκοπεῖν κελεύω, μὴ σφαλῇς ἀτιμάσας.
Σφαλῇ γὰρ ἐν τούτῳ μόνῳ, τἄλλ' εὖ φρονῶν.
Πρὸς τοῖσδε δ', εἰ μὲν μὴ 'δικουμένοις ἐχρῆν
Τολμηρὸν εἶναι, κάρτ' ἂν εἶχον ἡσύχως.
Νυνὶ δὲ σοί τε τοῦτο τὴν τιμὴν φέρει,
Κἀμοὶ παραινεῖν οὐ φόβον φέρει τέκνον,
Ἄνδρας βιαίους, καὶ κατείργοντας νεκροὺς
Τάφου τε μοίρας, καὶ κτερισμάτων λαχεῖν,
Εἰς τήνδ' ἀνάγκην σῇ καταστῆναι χερὶ,
Νόμιμά τε πάσης συγχέοντας Ἑλλάδος
„ Παῦσαι. τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
„ Τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
Ἐρεῖ δὲ δή τις, ὡς ἀνανδρίᾳ χερῶν,
Πόλει παρόν σοι στέφανον εὐκλείας λαβεῖν,
Δείσας ἀπέστης. καὶ συὸς μὲν ἀγρίου
Ἀγῶνος ἥψω, φαῦλον ἀθλήσας πόνον.
Οὗ δ' εἰς κράνος βλέψαντα, καὶ λόγχης ἀκμὴν
Χρῆν ἐκπονῆσαι, δειλὸς ὢν ἐφηυρέθης.
Μὴ δῆτ' ἐμός γ' ὤν, ὦ τέκνον, δράσῃς τάδε.
Ὁρᾷς; ἄβουλος ὡς κεκερτομημένη
Τοῖς κερτομοῦσι Γοργὸν ὡς ἀναβλέπει
Σὴ πατρίς. ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
Αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσιν πόλεις,
Σκοτεινὰ καὶ βλέπουσιν εὐλαβού-
μεναι.
Οὐκ εἶ νεκροῖσι καὶ γυναιξὶν ἀθλίαις
Προσωφελήσων, ὦ τέκνον, κεχρημέναις;
Ὡς οὔτε ταρβῶ σὺν δίκῃ σ' ὁρμώμενον,
Κάδμου θ' ὁρῶσα λαὸν εὖ πεπραγότα,
Ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν
„ Πέποιθ'. Ὁ γὰρ θεὸς πάντ' ἀναστρέφει πάλιν.
χο. Ὦ φιλτάτη μοι, τῷδέ τ' εἴρηκας καλῶς,
Κἀμοί. διπλοῦν δὲ χάρμα γίγνεται τόδε.
θη. Ἐμοὶ λόγοι μὲν, μῆτερ, οἱ λελεγμένοι,
Ὀρθῶς ἔχουσ' εἰς τόνδε, κἀπεφηνάμην
Γνώμην, ὑφ' οἵων ἐσφάλη βουλευμάτων.
Ὁρῶ δὲ κἀγὼ ταῦθ' ἅπερ με νουθετεῖς,
Ὡς τοῖς ἐμοῖσιν οὐχὶ πρόσφορον τρόποις,
Φεύγειν τὰ δεινά. πολλὰ γὰρ δράσας καλὰ,

Ἔθος

Digitized by Google

Ἔθος τόδ᾽ εἰς Ἕλληνας ἐξελεξάμην,
Αἰεὶ κολαστὴς τῶν κακῶν καθεστάναι.
Οὔκουν ἀπαυδᾶν δυνατόν ἐστί μοι πόνους.
Τί γὰρ μ᾽ ἐροῦσιν οἵ γε δυσμενεῖς βροτῶν,
Ὅθ᾽ ἡ τεκοῦσα σοῦ, χ᾽ ὑπερρωδοῦσ᾽ ἐμοῦ
Πρώτη κελεύεις τόνδ᾽ ὑποστῆναι πόνον.
Δράσω τάδ᾽ εἶμι, καὶ νεκροὺς ἐκλύσομαι,
Λόγοισι πείθων. εἰ δὲ μὴ, βίᾳ δορός.
Ἤδη τόδ᾽ ἔσται, κοὐχὶ σὺν φθόνῳ θεῶν.
Δόξαι δὲ χρήζω καὶ πόλει πάσῃ τόδε.
Δόξει δ᾽ ἐμοῦ θέλοντος ἀλλὰ τοῦ λόγου
Προσδοὺς, ἔχοιμ᾽ ἂν δῆμον εὐμενέστερον.
Καὶ γὰρ κατέστησ᾽ αὐτὸν εἰς μοναρχίαν,
Ἐλευθερώσας τήνδ᾽ ἰσόψηφον πόλιν.
Λαβὼν δ᾽ Ἄδραστον δεῖγμα τῶν ἐμῶν λόγων,
Εἰς πλῆθος ἀστῶν εἶμι. καὶ πείσας τάδε,
Λεκτοὺς ἀθροίσας δεῦρ᾽ Ἀθηναίων κόρους,
Ἥξω. παρ᾽ ὅπλοις θ᾽ ἥμενος. πέμψω λόγους
Κρέοντι, νεκρῶν σώματ᾽ ἐξαιτούμενος.
Ἀλλ᾽ ὦ γεραιαὶ, σέμν᾽ ἀφαιρεῖτε στέφη
Μητρὸς, πρὸς οἴκους ὥς νιν Αἰγέως ἄγω,
„ Φίλην προσάψας χεῖρα. Τοῖς τεκοῦσι γὰρ,
„ Δύστηνος, ὅστις μὴ 'ντιδουλεύει τέκνων.
„ Κάλλιστον ἔρανον δοὺς γὰρ, ἀντιλάζυται
„ Παίδων παρ᾽ αὑτοῦ τοιάδ᾽, ἂν τοκεῦσι δῷ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

χο. 1 Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἐμὸν πέδον,
2 Ἐκλύετε τάδε γ᾽ ἐκλύετ᾽ ἄνακτος
3 Ὅσια περὶ θεοὺς, μεγάλα
3 Πελασγίᾳ, καὶ κατ᾽ Ἄργος.

Ἀντιστροφὴ α'.

1 Εἰ γὰρ ἐπὶ τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν
2 Ἱκόμενος, ἔτι ματέρος ἄγαλμα
3 Φόνιον ἐξέλοι, γᾶν δὲ φίλαν
4 Ἰνάχου θεῖτ᾽ ὀνήσας.

Στροφὴ β'.

„ 1 Καλὸν δ᾽ ἄγαλμα πόλεσιν, εὐσεβὴς πόνος.
„ 2 Χάριν τ᾽ ἔχει τὰν αἰωνίαν
„ 3 Τί μοι πόλις. κρανεῖ ποτ᾽ ἆρα φίλιά μοι

4 Τιμῶν

Elegi hunc morem inter Græcos,
Vt ſemper eſſem punitor malorum.
Non igitur recuſare poſſibile eſt mihi labores.
Quid enim de me dicerent mortales infenſi *mihi*,
Quando tu mater, & timens pro me,
Prima iubes me ſuſcipere hunc laborem?
Vado iſta facturus, & cadauera redimam,
Verbis *rem hoſtibus Adraſti* perſuaſurus, ſin minus, armorum vi.
Iam hoc erit, & quidem propiciis diis.
Hæc autem & a tota ciuitate decerni cupio.
Decernet autem me volente: ſed deliberandi
Facultatem dans, habebo populum magis æquum.
Ego enim conſtitui ipſum in principatu,
Liberã faciens hãc vrbẽ, & habẽtẽ æquale ius ſuffragii,
Aſſumpto aũt Adraſto *ad* fidẽ meorũ verborũ,
Ad multitudinẽ ipſorũ *Ath.* ibo, & cũ hęc ipſis ꝑſuaſeros,
Vbi lectos Athenienſium iuuenes collegero, huc
Veniam: & ſedens ad arma, mittam nuncios
Creonti, repetens corpora mortuorum.
Sed ô anus auferte ſacras coronas
A matrę: vt eam ducam ad domum Ægei.
„ Attingens charam manum. nam parentibus
„ Filius qui viciſſim non ſeruit, infelix eſt:
„ Pulcherrimo enim dono dato, viciſſim accipit
„ A ſuis liberis talia quæ dederit parentibus.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Argos equis alendis aptũ, ô meũ patrium ſolum,
2 Audiuiſtis hæc, audiuiſtis regis
3 Sancta erga deos, & magna
4 Regio Pelaſgorum, & circa Argos *ſita regio*.

Antiſtrophe I.

1 Vtinam vero ad metam meorum malorum, & vltra
2 Veniens, matris ſtatuam
3 Funeſtam tollat, & terram amicam
4 Inachi faciat *ope ſua* iuuans.

Strophe II.

„ 1 Præclarum monimentum eſt vrbibus pius labor,
„ 2 Et perpetuam gratiam habet,
„ 3 Cultor ciuitatis. perficiet ne igitur tãdẽ gratas *res* mihi,

4 Et mihi,& meis liberis recipiemus ſepulturas

Antiſtrophe II.

1 Succurre matri ciuitas,ſuccurre Palladis *arx*,
2 Ne polluantur leges hominum.
3 Tu colis iuſtitiam,& minus iniuſtitiæ
4 Tribuis ſemper: iniuſte afflictũ quẽlibet liberas.

Theſeus.

Habens ſemper hanc artem,ſeruis
Vrbi,& mihi variis in locis nuncians edicta.
Profectus igitur trans Aſopum & Iſmeni aquam,
Superbo Cadmeorum tyranno hæc dic,
Theſeus a te amãter repetit cadauera ad ſepulchrũ,
Habitans vicinam terram,petens conſequi,
Et facere amicum totum populum Athenienſem.
Et ſiquidem *poſtulatis* annuant,retrogradus
Veni.ſi vero parere nolint,hęc *erunt* ſecunda verba,
Iuuentutem meam ſcutiferam vt expectent.
Exercitus enim feſtinat,& luſtratur præſens,
Pulcher iſte circa templum,vbi fiunt pulchri chori.
Et quidem volens,& libens ſuſcepit
Ciuitas hunc laborem,poſtquam ſenſit me velle.
Ehem. quis iſte,*qui noſtris* ſermonibus interuenit?
Thebanus,vt videtur.non *enim* certe ſcio an *ſit*.
Præco,expecta,ſi *iſte* te liberet hoc labore,
Profectusque *huc*,occurrat meis conſiliis.

Præ. Quis *eſt* tyrannus terræ?,ad quẽ oportet me nunciare
Verba Creontis,qui imperat Thebis,
Eteocle interfecto apud ſeptemplices
Portas a manu fratris Polynicis?

The. Primum quidem cœpiſti orationem falſo hoſpes,
Quærens hic tyrannum:non enim regitur *hæc vrbs*
Ab vno viro,ſed eſt libera ciuitas,
Populus enim imperat ſucceſſione per vices
Annua, non diuitiis tribuens
Plurimum,ſed etiam pauper habet ius æquale.

Præ. Vnum quidem hoc nobis,vt in talorum ludo,das
Melius. ciuitas enim,a qua ego venio.
Regitur ab vno viro.non a *populi* turba,
Neque eſt qui eam verbis inanibus agitans,
Ad ſuam vtilitatem alius alio vertat.

Qui

Digitized by Google

4 Τί μοι, καὶ τέκνοισι ταφὰς ληψόμεθα;

Ἀντιστροφὴ β'.

1 Ἄμυνε ματρὶ πόλις, ἄμυνε Παλλάδος,
2 Νόμους βροτῶν μὴ μιαίνειν.
3 Σύ τοι σέβεις δίκαν. τὸ δ' ἧσσον ἀδικίᾳ
4 Νέμεις ἀεὶ, τὸν δυστυχῆ πάντα ῥύῃ.

ΙΑΜΒΟΙ.

Θη. Τέχνην μὲν αἰεὶ τήνδ' ἔχων, ὑπηρετεῖς
Πόλει τε, κἀμοὶ διαφέρων κηρύγματα.
Ἐλθὼν δ' ὑπέρ τ' Ἀσωπὸν, Ἰσμηνοῦ θ' ὕδωρ,
Σεμνῷ τυράννῳ φράζε Καδμείων τάδε,
Θησεύς σ' ἀπαιτεῖ πρὸς χάριν θάψαι νεκροὺς,
Συγγείτον' οἰκῶν γαῖαν, ἀξιῶν τυχεῖν,
Φίλον τε θέσθαι πάντ' Ἐρεχθειδῶν λεών.
Κἂν μὲν θέλωσ' αἰνέσαι, παλίσσυτος
Στεῖχ'. ἢν δ' ἀπιστῶσ', οἵδε δεύτεροι λόγοι,
Κῶμον δέχεσθαι τὸν ἐμὸν ἀσπιδηφόρον.
Στρατὸς δὲ θάσσει, κἀξετάζεται παρὼν,
Καλλίχορον ἀμφὶ σεμνὸν εὐτρεπὴς ὅδε.
Καὶ μὴν ἑκοῦσά τ', ἀσμένη τ' ἐδέξατο
Πόλις πόνον τόνδ', ὡς θέλοντά μ' ᾔσθετο.
Ἔα. λόγων τίς ἐμποδὼν ὅδ' ἔρχεται;
Καδμεῖος, ὡς ἔοικεν, οὐ σάφ' οἶδ' ὅτι
Κῆρυξ, ἐπίσχες, ἤν σ' ἀπαλλάξῃ πόνου,
Μολὼν δ' ὑπαντᾷ τοῖς ἐμοῖς βουλεύμασιν.
Κη. Τίς γῆς τύραννος; πρὸς τίν' ἀγγεῖλαί με χρὴ
Λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς,
Ἐτεοκλέους θανόντος ἀμφ' ἑπταστόμους
Πύλας, ἀδελφοῦ χειρὶ Πολυνείκους ὕπο.
Θη. Πρῶτον μὲν ἦρξω τοῦ λόγου ψευδῶς ξένε,
Ζητῶν τύραννον ἐνθάδ'. οὐ γὰρ ἄρχεται
Ἑνὸς πρὸς ἀνδρὸς, ἀλλ' ἐλευθέρα πόλις.
Δῆμος δ' ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
Ἐνιαυσίαισιν, οὐχὶ τῷ πλούτῳ διδοὺς
Τὸ πλεῖστον, ἀλλὰ χ' ὁ πένης ἔχων ἴσον.
Κη. Ἓν μὲν τόδ' ἡμῖν, ὥσπερ ἐν πεσσοῖς, δίδως
Κρεῖσσον. πόλις γὰρ, ἧς ἐγὼ πάρειμ' ἄπο,
Ἑνὸς πρὸς ἀνδρὸς, οὐκ ὄχλῳ κρατύνεται,
Οὐδ' ἔστιν, αὐτὴν ὅστις ἐκχαυνῶν λόγοις,
Πρὸς κέρδος ἴδιον ἄλλος ἄλλοσε στρέφει.

Digitized by Google

Ὁ δ' αὐτίχ' ἡδὺς, καὶ διδοὺς πολλὴν χάριν,
Εἰσαῦθις ἔβλαψ'. εἶτα διαβολαῖς νέαις
Κλέψας τὰ πρόσθε σφάλματ', ἐξέδυ δίκης.
,, Ἄλλως τε, Πῶς ἂν μὴ διορθεύων λόγους,
,, Ὀρθῶς δύναιτ' ἂν δῆμος εὐθύνειν πόλιν;
,, Ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
,, Κρείσσω δίδωσι γαπόνος δ' ἀνὴρ πένης,
,, Εἰ καὶ γένοιτο, κἀμαθὴς ἔργων ὕπο,
,, Οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν' ἀποβλέπειν.
,, Ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
,, Ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
,, Γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.
Θη. Κομψός γ' ὁ κῆρυξ, καὶ παρεργάτης λόγων.
Ἐπεὶ δ' ἀγῶνα καὶ σὺ τόνδ' ἠγωνίσω,
Ἄκου'. ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
,, Οὐδὲν τυράννου δυσμενέστερον πόλει,
,, Ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
,, Κοινοί, κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος
,, Αὐτὸς παρ' αὐτῷ. καὶ τόδ' οὐκέτ' ἔστ' ἴσον.
,, Γεγραμμένων δὲ τῶν νόμων, ὅ τ' ἀσθενὴς,
,, Ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει.
,, Ἔστιν δ' ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις,
,, Τὸν εὐτυχοῦντα, ταῦθ' ὅταν κλύῃ κακῶς.
,, Νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.
,, Τοὐλεύθερον δ' ἐκεῖνο, εἴ τις θέλει πόλει
,, Χρηστόν τι βούλευμ' εἰς μέσον φέρειν, ἔχων;
,, Καὶ ταῦθ' ὁ χρῄζων, λαμπρὸς ἔσθ'. ὁ μὴ θέλων,
,, Σιγᾷ. τί τούτων ἔστιν ἰσαίτερον πόλει;
,, Καὶ μὴν ὅπου γε δῆμος αὐθέντης χθονὸς,
,, Ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις.
,, Ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε.
,, Καὶ τοὺς ἀρίστους. οὓς ἂν ἡγῆται φρονεῖν,
,, Κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
,, Πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις,
,, Ὅταν τις, ὡς λειμῶνος ἠρινοῦ στάχυν,
,, Τόλμας ἀφαιρῇ, κἀπολωτίζῃ νέους;
,, Κτᾶσθαι δὲ πλοῦτον καὶ βίον, τί δεῖ τέκνοις,
,, Ὡς τῷ τυράννῳ πλείον' ἐκμοχθῇ βίον;
,, Ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
,, Τερπνὰς τυράννοις ἡδονάς, ὅταν θέλῃ.

,, Δα-

Qui enim iam eſt gratus,& dans magnam gratiam,
Rurſus lædit:deinde nouis calumniis
Tegens priora errata,effugit pœnam,
,, Alioqui,quomodo non recte proferens verba, *nec elo-*
,, Recte poſſet populus regere ciuitatem? [*quens,*
,, Tempus enim doctrinam,quam celeritas
,, Meliorem dat. labori enim deditus vir pauper,
,, Si etiã egeat,& ſit *rerum* imperitus ob opera,*quæ facit,*
,, Non poſſet ad publica *commoda* reſpicere.
,, Porro mala res eſt hæc præſtantioribus,
,, Quando improbus vir conſequitur dignitatem,
,, Detinens populum lingua,qui prius nihil fuit.
he. Bellus *eſt* iſte præco,& prodigus verborum.
Poſtquam autem tu quoque certaſti hoc certamen,
Audi:tu enim certamen inſtituiſti ſermonum.
,, Nihil eſt infeſtius ciuitati,quam tyrannus:
,, Vbi primum quidem non ſunt leges
,, Communes:vnus vero imperat,legem poſſidens
,, Ipſe apud ſe,& hoc *facere* non etiam tibi licet.
,, Scriptis vero legibus,imbecillis,
,, Et diues ius æquum habet.
,, Et licet imbecillibus accuſare
,, Potentem,quando hic male audit:
,, Et vincit minor potentem,habens iuſtam cauſam.
,, Illud etiam *eſt* liberum,ſi quis velit Reipub.
,, Bonum aliquod conſilium in mediũ ꝓferre, ꝙ habet.
,, Et qui hæc vult,clarus eſt,qui non vult,
,, Tacet:quid eſt æquabilius ciuitati quam hæc?
,, Et quidem vbi populus princeps eſt terræ,
,, Delectatur præſentibus ciuibus fortibus.
,, At vir tyrannus putat hoc ſibi inimicum,
,, Et præſtantiſſimos quos putat ſapere,
,, Interficit metuens *ſuæ* tyrannidi.
,, Quomodo igitur ciuitas poſſit eſſe firma,
,, Quando aliquis,ſicut ex prato verno ſpicam,
,, Aufert audaces ciues,& demetit iuuenes?
,, Quid igitur opus eſt liberis cõparare opes,& victũ,
,, *Eum*,qui tyranno maiorem facultatum partem parat?
,, Aut filias virgines in ædibus honeſte educare,
,, Iucundas tyranno voluptates *futuras*, quum voluerit,

Digitized by Google

,, Lachrymas vero parantibus *hæc allatura?* Nemo amplius,
Si meæ filiæ per vim *alicui* nubant.
Et hæc quidem ad hæc ſum eiaculatus, *i. reſpondi.*
Quid vero petitum ab hac terra iam venis?
Lachrymaturus enim veniſſes, ſi te nō miſiſſet ciuitas.
,, Cum ſuperuacanea loquaris: nam nuncium oportet
,, Dictis *iis*, q̄ quis *dici* iuſſerit, q̃ celerrime ex vrbe
,, Abire. poſthac igitur Creon in meam vrbem
Nuncium aliquem te minus loquacem mittat.
Cho. Heu heu, quam, quando fortuna dat malis [ſuturi.
,, Res ſecundas, ſunt inſolentes, quaſi ſemper felices ſint
Pra. Dicam iam: ac de diſputatis quidem
Tibi videantur hæc, *quæ dixiſti.* mihi vero ſecus.
Ego autem interdico & totus populus Thebanus,
Ne admittas Adraſtum in hanc terram.
Si aūt eſt in hac, vt antequam Dei *Phœbi* occidat iubar,
Solutis ſacris coronarum myſteriis,
Hinc *eum* expellas, neque tollas mortuos
Vi, qui nihil attingis ciuitatem Argiuorum.
Etſi mihi parueris, ſine fluctibus ciuitatem
Tuam gubernabis: ſin minus, magna procella
Belli erit nobis, & tibi, & ſociis.
Conſidera autem, & non iratus meis
Dictis, tanquam habens liberam ciuitatem,
Superbum reddas reſponſum paucioribus *prolatum.*
,, Spes enim eſt peſſima, quæ multas vrbes *bello*
,, Commiſit, efferens iracundiam extra modum.
,, Quum enim venit bellum ad ſuffragia ciuitatis,
,, Nullus amplius ſuam mortem reputat:
,, Sed hoc infortunium in alium auertit.
,, Si vero eſſet ante oculos mors in calculo ferendo,
,, Nunquam Græcia furens cupiditate belli periiſſet
,, Et duarum omnes homines rationum
,, Meliorem ſcimus, & bona & mala,
,, Quantoque pax melior ſit hominibus, quam bellum.
,, Quæ primum quidem eſt gratiſſima Muſis,
,, Pœniſq; inimica, & delectatur ꝓcreatione ſobolis,
,, Et gaudet diuitiis. Hæc *bona* dimittentes mali,
,, Bella ſuſcipimus, & inferiorem

Virum

Δάκρυα δ' ἑτοιμάζουσι. μὴ ζώην ἔτι,
Εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύεται.
Καὶ ταῦτα μὲν δὴ πρὸς τὰ σ' ἐξηκόντισα.
Ἥκεις δὲ δὴ τί τῆσδε γῆς κεχρημένος;
Κλαίων δ' ἂν ἦλθες, εἴ σε μὴ 'πεμψεν πόλις,
» Περισσὰ φωνῶν. τὸν γὰρ ἄγγελον χρεὼν
» Λέξανθ', ὅσ' ἂν τάξῃ τις, ὡς τάχος πάλιν
» Χωρεῖν. τὸ λοιπὸν δ' εἰς ἐμὴν πόλιν Κρέων
Ἧσσον λάλον σου πεμπέτω τιν' ἄγγελον.
Φεῦ, φεῦ. κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
» Καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ πράξοντες εὖ.
Λέγοιμ' ἂν ἤδη. τῶν μὲν ἠγωνισμένων,
Σοὶ μὲν δοκείτω ταῦτ'. ἐμοὶ δὲ, τἀναντία.
Ἐγὼ δ' ἀπαυδῶ, πᾶς τε Καδμεῖος λεὼς,
Ἄδραστον εἰς γῆν τήνδε μὴ παριέναι.
Εἰ δ' ἔστιν ἐν τῇ, πρὶν θεοῦ δῦναι σέλας,
Λύσαντα σεμνὰ στεμμάτων μυστήρια,
Τῆσδ' ἐξελαύνειν, μηδ' ἀναιρεῖσθαι νεκροὺς
Βίᾳ, προσήκοντ' οὐδὲν Ἀργείων πόλει.
Κἂν μὲν πίθῃ μοι, κυμάτων ἄτερ πόλιν
Σὴν ναυστολήσεις. εἰ δὲ μὴ, πολὺς κλύδων
Ἡμῖν τε, καὶ σοὶ, συμμάχοις τ' ἔσται δορός.
Σκέψαι δὲ καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος
Λόγοισιν, ὡς δὴ πόλιν ἐλευθέραν ἔχων,
Σφριγῶντ' ἀμείψῃ μῦθον ἐκ βραχιόνων.
» Ἐλπὶς γάρ ἐστι κάκιστον, ἣ πολλὰς πόλεις
» Συνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
» Ὅταν γὰρ ἔλθῃ πόλεμος εἰς ψῆφον πόλεως,
» Οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται.
» Τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει.
» Εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
» Οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλετο.
» Καίτοι δυοῖν γε πάντες ἄνθρωποι λόγοιν,
» Τὸν κρείσσον' ἴσμεν, καὶ τὰ χρηστὰ καὶ κακὰ,
» Ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς.
» Ἣ πρῶτα μὲν μούσαισι προσφιλεστάτη,
» Ποιναῖσι δ' ἐχθρὰ, τέρπεταί τ' εὐπαιδίᾳ,
» Χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ,
» Πολέμους ἀναιρούμεσθα, καὶ τὸν ἥσσονα

,, Ὀλλύμεθ' ἄνδρες ἄνδρα, καὶ πόλις πόλιν.
Σὺ δ' ἄνδρας ἐχθροὺς, καὶ θανόντας ὠφελεῖς,
Θάπτων, κομίζων θ' οὓς ὕβρεις ἀπώλεσαν.
Οὔτ' ἆρ' ἔτ' ὀρθῶς Καπανέως κεραύνιον
Δέμας καπνοῦται κλιμάκων ὀρθοστάτων,
Ἃς προσβαλὼν πύλαισιν, ὤμοσεν πόλιν
Πέρσειν, θεοῦ θέλοντος, ἤν τε μὴ θέλῃ.
Οὐδ' ἥρπασεν Χάρυβδις οἰωνοσκόπον,
Τέθριππον ἅρμα περιβαλοῦσα χάσματι.
Ἄλλοι τε κεῖνται πρὸς πύλαις λοχαγέται,
Πέτροις καταξανθέντες ὀστέων ῥαφάς.
Ἢ νῦν φρονεῖν ἄμεινον ἐξαύχει Διός,
Ἢ θεοὺς δικαίως τοὺς κακοὺς ἀπολλύναι.
,, Φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
,, Ἔπειτα τοκέας, πατρίδα θ', ἣν αὔξειν χρεὼν,
,, Καὶ μὴ κατᾶξαι σφαλερὸν, ἡγεμὼν θρασύς,
,, Νέος τε ναύτης ἥσυχος καιρῷ, σοφός.
,, Καὶ τοῦτό μοι τἀνδρεῖον, ἡ προμηθία.
,, Ἐξαρκέσειας ἦν Ζεὺς ὁ τιμωρούμενος.
Ὑμᾶς δ' ὑβρίζειν οὐκ ἐχρῆν τοιάνδ' ὕβριν.
Ἀδ. Ὦ παγκάκιστε. Θη. Σῖγ' Ἄδραστ' ἔχε στόμα,
Καὶ μὴ 'πίπροσθε τῶν ἐμῶν τοὺς σοὺς λόγους
Θῇς. οὐ γὰρ ἥκει πρὸς σὲ κηρύσσων ὅδε,
Ἀλλ' ὡς ἐμέ. ἡμᾶς κἀποκρίνασθαι χρεών.
Καὶ πρῶτα μέν σε πρὸς τὰ πρῶτ' ἀμείψομαι.
Οὐκ οἶδ' ἐγὼ Κρέοντα δεσπόζοντ' ἐμοῦ,
Οὐδὲ σθένοντα μεῖζον. ὥστ' ἀναγκάσαι
Δρᾶν τὰς Ἀθήνας ταῦτ'. ἄνω γὰρ ἂν ῥέοι
Τὰ πράγμαθ' οὕτως, εἰ 'πιταξόμεσθα δή.
Πόλεμον δὲ τοῦτον οὐκ ἐγὼ καθίσταμαι,
Ὃς οὐδὲ σὺν τοῖσδ' ἦλθον εἰς Κάδμου χθόνα.
Νεκροὺς δὲ τοὺς θανόντας, οὐ βλάπτων πόλιν,
Οὐδ' ἀνδροκμῆτας προσφέρων ἀγωνίας,
Θάψαι δικαιῶ, τὸν Πανελλήνων νόμον
Σώζων. τί τούτων ἐστὶν οὐ καλῶς ἔχον;
Εἰ γάρ τι καὶ πεπόνθατ' Ἀργείων ὕπο,
Τεθνᾶσιν. ἠμύνασθε πολεμίους καλῶς.
Αἰσχρῶς τ' ἐκείνοις χ' ἡ δίκη διοίχεται.
Ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς·
,, Ὅθεν δ' ἕκαστον εἰς τὸ σῶμ' ἀφίκετο,

,, Ει-

,, Virum viri redigimus in ſeruitutem, & vrbs vrbem.
Tu vero homines hoſtiles, mortuosq; iuuare vis,
Sepeliens, & curãs, quos *ſua ipſorum* iniuſtitia perdidit,
Non iam recte Capanei fulmine ictum
Corpus fumaret *in* ſcalis erectis,
Quas admouens portis, iurauit ſe vrbem
Deleturum, volente, & nolente Deo:
Neque *recte* rapuiſſet Charybdis augurem,
Quadriiugum currum circumplexa voragine.
Aliique duces iacent ad portas,
Contriti ſaxis oſſium ſuturas.
Aut nunc glorieris te plus ſapere quàm Iouem,
Aut deos iuſte perdere malos, *fatearis*.
,, Oportet igitur ſapiẽtes primum quidẽ amare liberos,
,, Deinde parentes, & patriam: quam oportet augere,
,, Et non frangere. Lubrica *res eſt*, dux *nimis* audax.
,, Gubernatorque nauis placidus pro tẽpore *eſt* ſapiens,
,, Et hæc mihi *videtur vera* fortitudo, prudentia.
,, Satis eſſe deberet Iupiter vindicans *impiorum ſcelera*.
Vos vero non oportebat iniuria tali *nos* afficere.
Ad. O peſſime. *The.* Tacite, Adraſte, comprime os,
Et non ante meos ſermones tuos
Ponas: non enim venit ad te iſte præco,
Sed ad me: *ergo* nos etiam oportet reſpondere.
Ac primum quidem ad prima tibi reſpondebo.
Non agnoſco ego Creontem dominum meum,
Neque plus poſſe *video*, vt cogat
Athenas iſta facere. Surſum enim fluerent
Res ita, ſi iam eius imperio ſubiiceremur.
Bellum autem hoc ego non incipio,
Qui neque cum iſtis in Cadmi terram iui.
Sed mortuorum cadauera, non lædens vrbem,
Neq; afferens certamina, in quibus occumbãt viri,
Sepelire iuſtum duco, communem Græcorum legem
Seruans. quid iſtorum non recte ſe habet?
Etenim ſi quid paſſi eſtis ab Argiuis, *illi iam*
Mortui ſunt, & vlti eſtis hoſtes præclare,
Et turpiter illis pœna perit, *i. fruſtra mortuis pæna iam*
Sinite iam terra tegi mortuos. [*irrogatur*.
,, Vnde enim vna quæq; *pars hominis* venit in corpus,

,, Eo rediit, ſpiritus quidem in ætherem,
,, Corpus vero in terram. Haud enim poſſidemus
,, Ipſum *nobis* proprium, niſi ad incolendam vitam.
,, Deinde oportet *terrã*, quæ *corpus* aluit, ipſum recipe-
Putas ne te malo afficere Argiuos, non ſepeliens mo- [tuos?
Nequaquam. Ad totam Græciam hoc pertinet.
Si fraudaris mortuos *iuſtis*, quæ debent conſequi.
Quis retinebit inſepultos? Afferet enĩ timiditatẽ
Fortibus, ſi talis ponatur lex.
Et mihi quidem veniſti minans atrocia verba.
Mortuos vero formidatis, ſi tegantur terra?
Quid ne accidat? ne effodiant terram
Veſtram ſepulti? an ne in cauernis terræ liberos
Gignant, a quibus veniat aliqua vltio?
,, Inepta certe *eſt* hæc expenſa linguæ.
,, Timere vanos & inanes metus,
,, Sed ô ſtulti cognoſcite hominum mala.
,, Noſtra vita *eſt* lucta: ſunt autem fortunati,
,, Alii quidem mortales ſtatim, alii vero poſtea, *alii* vero
,, Fortuna vero ludit, ab infortunato enim [iam.
,, Honore afficitur, qui eſt in ſecundis rebus
,, Beatus vero nunc, aurã *ſecundam* metuens relinquere,
,, Sublimẽ tollit *afflictũ* Cognitis igitur his oportet,
,, Iniuria affectos mediocri, non nimis iraſci,
Iniurias vero eas *hoſtibus facere*, quę nõ lędãt Rẽpub.
Quomodo igitur *hoc* erit? mortuorum corpora
Sepelire da nobis, qui *ſepultos* volumus videre.
Aut manifeſtá *sũt* q̃ poſtea *fiẽt. nã* ibo, & ſepeliã vi-
Nunquam enim efferetur inter Græcos,
Quod ad me, & vrbem Pandionis, *i. Athenas* veniens
Vetus deorum lex corrupta fuerit.
Cho. Confide. ſeruans enim lumen iuſtitiæ,
,, Effugies multos hominum *malos* ſermones.
Pra. Vis ne tecum colloquar paucis?
The. Dic, ſi quid vis: nec enim es taciturnus.
Pra. Nunquam ex agro *noſtro* filios Argiuorum auferes.
The. Nunc me quoq; viciſſim audi, ſi vis.
Pra. Audiã: etenim oportet *me tibi viciſsĩ dicẽdo* dare partẽ.
The. Sepeliam cadauera, auferens ex terra Thebana.
Pra. Eſt tibi prius periclitandum cum exercitu.

Tho.

„ Ἐνταῦθ' ἀπῆλθε, πνεῦμα μὲν πρὸς αἰθέρα,
„ Τὸ σῶμα δ' εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα
„ Ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον.
„ Κἄπειτα τὴν θρέψασαν αὐτὸ, δεῖ λαβεῖν.
Δοκεῖς κακουργεῖν Ἄργος, οὐ θάπτων νεκρούς;
Ἥκιστα πάσης Ἑλλάδος κοινὸν τόδε.
Εἰ τοὺς θανόντας νοσφίσας ὧν δεῖ λαχεῖν,
Ἀτάφους τις ἕξει; δειλίαν γὰρ εἰσφέρει
Τοῖς ἀλκίμοισιν, οὗτος ἢν τεθῇ νόμος.
Κἀμοὶ μὲν ἦλθες δείν' ἀπειλήσας ἔπη.
Νεκροὺς δὲ ταρβεῖτ', εἰ κρυβήσονται χθονί;
Τί μὴ γένηται; μὴ κατασκάψωσι γῆν
Ταφέντες ὑμῶν; ἢ τέκν' ἐν μυχῷ χθονὸς
Φύσωσιν, ἐξ ὧν εἶσι τις τιμωρία;
„ Σκαιόν γε τἀνάλωμα τῆς γλώσσης τόδε,
„ Φόβους πονηροὺς καὶ κενοὺς δεδοικέναι.
„ Ἀλλ' ὦ μάταιοι, γνῶτε τἀνθρώπων κακά.
„ Παλαίσμαθ' ἡμῶν ὁ βίος. Εὐτυχοῦσι δὲ,
„ Οἱ μὲν τάχ', οἱ δ' ἐσαῦθις, οἱ δ' ἤδη βροτῶν.
„ Τρυφᾷ δ' ὁ δαίμων πρός τε γὰρ τοῦ δυστυχοῦς,
„ Ὡς εὐτυχήσῃ, τίμιος γεραίρεται.
„ Ὁ δ' ὄλβιος νιν, πνεῦμα δειμαίνων λιπεῖν,
„ Ὑψηλὸν αἴρει. γνόντας οὖν χρεὼν τάδε,
„ Ἀδικουμένους τε, μέτρια μὴ θυμῷ φέρειν,
„ Ἀδικεῖν τε τοιαῦθ', οἷα μὴ βλάψαι πόλιν.
Πῶς οὖν ἂν εἴη; τοὺς ὀλωλότας νεκροὺς
Θάψαι δὸς ἡμῖν τοῖς θέλουσιν εὐσεβεῖν.
Ἢ δῆλα τἀνθένδ'. εἶμι, καὶ θάψω βίᾳ.
Οὐ γάρ ποτ' εἰς Ἕλληνας ἐξοισθήσεται,
Ὡς εἰς ἔμ' ἐλθὼν, καὶ πόλιν Πανδίονος
Νόμος παλαιὸς δαιμόνων, διεφθάρη.
χο. Θάρσει. τὸ γάρ τοι τῆς δίκης σώζων φάος,
„ Πολλοὺς ὑπεκφύγοις ἂν ἀνθρώπων λόγους.
κη. Βούλει συνάψω μῦθον ἐν βραχεῖ σέθεν;
θη. Λέγ', εἴ τι βούλει. καὶ γὰρ οὐ σιγηλὸς εἶ.
κη. Οὐκ ἄν ποτ' ἐκ γῆς παῖδας Ἀργείων λάβοις.
θη. Κἀμοῦ νυν ἀντάκουσον, εἰ βούλει πάλιν.
κη. Κλύοιμ' ἄν. οὐ γὰρ ἀλλὰ δεῖ δοῦναι μέρος.
θη. Θάψω νεκρούς, γῆς ἐξελὼν Ἀσωπίας.
κη. Ἐν ἀσπίσιν σοι πρῶτα κινδυνευτέον.

θη.

Digitized by Google

θη. Πολλοὺς ἔτλην δὴ χἀτέρους ἄλλους πόνους.
κη. Ἦ πᾶσιν οὖν σ' ἔφυσεν ἐξαρκεῖν πατήρ;
θη. Ὅσοι γ' ὑβρισταί. χρηστὰ δ' οὐ κολάζομεν.
κη. Πράσσειν σὺ πόλλ' εἴωθας, ἥ τε σὴ πόλις.
θη. Τοιγὰρ πονοῦσα πολλὰ, πόλλ' εὐδαιμονεῖ.
κη. Ἐλθ' ὥς σε λόγχη σπαρτὸς ἐν πόλει βλάβῃ.
θη. Τίς δ' ἐκ δράκοντος θοῦρος ἂν γένοιτ' Ἄρης;
κη. Γνώσῃ σὺ πάσχων. νῦν δ' ἔτ' εἶ νεανίας.
θη. Οὔτοι μ' ἐπαρεῖς, ὥστε θυμῶσαι φρένας,
Τοῖς σοῖσι κόμποις. ἀλλ' ἀποστέλλου χθονὸς,
Λόγους ματαίους, οὕσπερ ἤνεγκας, λαβών.
Περαίνομεν γὰρ οὐδέν. ὁρμᾶσθαι χρεὼν
Πάντ' ἄνδρ' ὁπλίτην, ἁρμάτων τ' ἐπεμβάτην,
Μοναμπύκων τε φάλαρα κινεῖσθαι στόμα,
Ἀφρῷ καταστάζοντα Καδμείαν χθόνα.
Χωρήσομαι γὰρ ἑπτὰ πρὸς Κάδμου πύλας
Αὐτός γε κῆρυξ. σοὶ δ' ἐπιστέλλω μένειν,
Αὐτὸς σίδηρον ὀξὺν ἐν χεροῖν ἔχων,
Ἄδραστε, κἀμοὶ μὴ ἀναμίγνυσθαι τύχας
Τὰς σάς. ἐγὼ γὰρ δαίμονος τοὐμοῦ μέτα
Στρατηλατήσω καινὸς ἐν καινῷ δορί.
Ἓν δεῖ μόνον μοι, τοὺς θεοὺς ἔχειν, ὅσοι
Δίκην σέβονται. ταῦτα γὰρ ξυνόνθ' ὁμοῦ
„ Νίκην δίδωσιν. Ἡ 'ρετὴ δ' οὐδὲν φέρει
„ Βροτοῖσιν, εἰ μὴ τὸν θεὸν χρῄζοντ' ἔχει.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ α'.

αἰ. 1 Ὦ μέλεαι μελέων ματέρες λοχαγῶν,
2 Ὥς μοι ὑφ' ἧπαρ δεῖμα χλωρὸν ταράσσει.
χο. 3 Τίν' αὐδὰν τάνδε προσφέρεις νέαν;

Σύστημα α'.

αἰ. 1 Στράτευμα πῇ Παλλάδος κριθήσεται.
χο. 2 Διὰ δορὸς εἶπας, ἢ λόγων ξυναλλαγαῖς;

Στροφὴ β'.

αἰ. 1 Γένοιτ' ἂν κέρδος. εἰ δ' ἀρείφατοι
2 Φόνοι, μάχαι, στερνοτυπεῖς γ' ἀνὰ τόπον
3 Πάλιν κτύποι φανήσονται.

Σύστημα β'.

χο. 1 Ὦ τάλαινα, τίνα λόγον,
2 Τίν' ἂν τῶνδ' αἰτίαν λάβοιμι;

Αἰκ-

The. Multos & alios labores iam ſuſtinui.
Pra. An vero pater *tuus* te genuit *ita*, vt omnibus ſufficias?
The. Quotquot *ſunt* improbi. probos enim nõ punim⁹.
Pra. Sæpe tu multa ſoles facere, & tua ciuitas. [beata.
The. Quia vero ſuſtinet multos labores, *ideo etiam* eſt valde
Pra. Veni, vt te haſta Thebanus in vrbe lædat.
The. Quid vero? ex dracone Mars impetuoſus exiſtet?
Pra. Tu experieris patiendo. nunc enim es ferox.
The. Haud me mouebis, vt iraſcar animo,
Tuis ſuperbis verbis. At ex *hoc* agro diſcede,
Referens illa inania verba quæ attuliſti.
Nihil enim efficimus *colloquendo*, mouere oportet
Omnes pedites, & inſcenſorem currus,
Et mouere phaleratorum equorum ora,
Spuma ſpargentia Cadmæam terram.
Proficiſcar enim ad ſeptem portas Cadmi
Ipſe præco: Tibi vero mando vt maneas,
Ipſe, tenens ferrum acutum in manibus
Adraſte, & mihi non affrices fortunam
Tuam: ego enim cum mea fortuna
Imperator ero inclytus cum inclyta haſta.
Vna re ſolum eſt mihi opus, habere deos, quotquot
Iuſtitiam colunt. Hæc enim ſi ſint ſimul,
Dant victoriam: nam virtus nihil prodeſt
Hominibus, niſi Deum fauentem habeat.

PERICOMMATA.

Strophe I.

Æt. 1 O miſeræ matres miſerorum ducum,
2 Vt mihi pallidus metus ſub hepate *mentem* turbat.
Ch. 3 Quam nouam vocem hanc edidiſti?

Syſtema I

Æt. 1 Exercitus quidem Palladis *ab vrbe* decernetur.
Ch. 2 Armisne *rem geſtũ iri* dixiſti, an verborũ tranſactione?

Strophe II.

Æt. 1 Efficietur aliquid boni. ſane Martiæ
2 Cædes, pugnæ, planctus in loco,
3 Et ſonitus iterum fient.

Syſtema II.

Ch. 1 O miſera, quam orationem,
2 Quam cauſam horum accipiam, *prætendam*?

Anti-

Digitized by Google

Antiſtrophe I.

Æt. 1 Sed fortunatū & illuſtrē *ducē, Theſeū* aliqua cœleſt.
2 Fortuna rurſus. hæc fiducia me circumdat.
Ch. 3 Iuſtos nimirum tu narras Deos.

Antiſyſtema I.

Æt. 1 Quinam enim alii diſpenſant calamitates?
Ch. 2 In multis Deos ab hominibus diſcrepare video.

Antiſtrophe II.

Æt. 1 Metu enim priſtino peris.
2 Vindicta vindictam euocauit, & cædes
3 Cædem. malum enim in mentibus

Antiſyſtema II.

1 Dii hominibus diſtribuunt,
2 Ipſi *rerū* oim fines. *& exitus in ſuis manibus* habentes.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Quo veniemus *in* pulchris turribus inſignes campos.
2 Relinquentes Deæ *Cereris* aquā, vbi sūt pulchri chori?
Æt. 3 Vtinam Deorum aliquis te faciat volantem.
Ch. 4 Vt veniam ad vrbem cinctam duobus fluuiis?
Æt. 5 Videbis amicorum *noſtrorum*, videbis animas.
6 Adhuc enim *hoc fieri eſt* fatale. Quod vero fatum
7 Manet fortem
8 Regem huius terræ?

Antiſtrophe.

Ch. 1 Inuocamus rurſus Deos antea inuocatos
„ 2 Hæc prima quippe metus eſt fiducia.
3 O Iupiter antiquæ matris *noſtræ*
4 Marite vitulę *i. filiæ* Inachi, *ſcil. Iûs in vitulā olim mutatæ*
5 Eſto auxiliator mihi, & vrbi huic propitius,
6 Tuum ſimulachrum, & tuam ſtatuam
7 Ex vrbe porto,
8 Contumelia affectam ad rogum, *i. aram.*

Nuncius.

Mulieres, venio habens multa bona nuncia,
Et ipſe ſeruatus, captus enim ſum in pugna,
Vbi mortui ſeptem manipuli ducum
Pugnauerunt ad flumen Dircæum)
Nunciaturus etiam victoriā Theſei: te vero a ſermone
Longo liberabo. Eram enim ſeruus Capanei,

Quem

Ἀντιστροφὴ α'.

ἡ. 1 Ἀλλὰ τὸν εὐτυχῆ, λαμπρὸν αὖ τις αἱρῇ
2 Μοῖρα πάλιν. τόδε μοι θράσος ἀμφιβαίνει.
ἡ. 3 Δικαίους δαίμονας σύ γ' ἐνέπεις.

Ἀντισύστημα α'.

ἡμ. 1 Τίνες γὰρ ἄλλοι νέμουσι συμφοράς;
χο. 2 Διάφορα πολλὰ θεῶν βροτοῖσιν εἰσορῶ.

Ἀντιστροφὴ β'.

αἰ. 1 Φόβος γὰρ τῷ πάρος διόλλυσαι.
2 Δίκα δίκαν ἐξεκάλεσε, καὶ φόνος
3 Φόνον. κακῶν δ' ἀνὰ ψυχὰς

Ἀντισύστημα β'.

1 Θεοὶ βροτοῖσι νέμουσιν,
2 Ἁπάντων τέρμ' ἔχοντες αὐτοί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

χο. 1 Τὰ καλλίπυργα πεδία πῶς ἱκοίμεθ' ἄν,
2 Καλλίχορον θεᾶς ὕδωρ λιποῦσαι;
αἰ. 3 Ποτανάν εἴ σέ τις θεῶν κτίσαι.
χο. 4 Διπόταμον ἵνα πόλιν μόλω;
αἰ. 5 Εἰδείης ἂν φίλων, εἰδείης ἂν ψυχάν.
6 Ἔτι ποτ' αἶσα. τίς ἄρα πότμος
7 Ἐπιμένει τὸν ἄλκιμον
8 Τῆσδε γῆς ἄνακτα;

Ἀντιστροφή.

χο. 1 Κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς.
„ 2 Ἀλλὰ φόβων πίστις ἅδε πρῶτα.
3 Ἰὼ Ζεῦ, τᾶς παλαιομάτορος
4 Παιδογόνε, πόριος Ἰνάχου,
5 Πόλει μοι ξύμμαχος γενοῦ τᾷδ' εὐμενής.
6 Τὸ σὸν ἄγαλμα, τὸ σὸν ἵδρυμα
7 Πόλεως ἐκκομίζομαι
8 Πρὸς πυρὰν ὑβρισθέν.

ΙΑΜΒΟΙ.

ἀγ. Γυναῖκες, ἥκω πόλλ' ἔχων λέγειν φίλα,
Αὐτός τε σωθείς (ἡρέθην γὰρ ἐν μάχῃ,
Ἣν οἱ θανόντες ἑπτὰ δεσποτῶν λόχοι
Ἠγωνίσαντο. ῥεῦμα Διρκαῖον πάρα)
Νίκην τε Θησέως ἀγγελῶν. λόγου δέ σε
Μακροῦ 'πονήσω. Καπανέως γὰρ ἦν λάτρις,

Ὃν

Digitized by Google

Ὃν Ζεὺς κεραυνῷ πυρπόλῳ καταιθαλοῖ.
χο. Ὦ φίλτατ', εἰ μὲν νόστον ἀγγέλλεις σέθεν,
Τήν τ' ἀμφὶ Θησέως πίστιν. εἰ δὲ καὶ στρατὸς
Σῶς ἐστ' Ἀθηνῶν, πάντ' ἂν ἀγγέλλοις φίλα.
ἀγ. Σῶς καὶ πεπραγμέν', ὡς Ἄδραστος ὤφελε
Πρᾶξαι ξὺν Ἀργείοισιν, οὓς ἀπ' Ἰνάχου
Στείλας ἐπεστράτευσε Καδμείων πόλιν.
χο. Πῶς γὰρ τροπαῖα Ζηνὸς Αἰγέως τόκος
Ἔστησεν, οἵ τε συμμετασχόντες δορός;
Λέξον. παρὼν γὰρ τοὺς ἀπόντας εὐφρανεῖς.
ἀγ. Λαμπρὰ μὲν ἀκτὶς, ἡλίου κανὼν σαφὴς,
Ἔβαλλε γαῖαν. ἀμφὶ δ' Ἠλέκτρας πύλας
Ἔστην θεατὴς, πύργον εὐαγῆ λαβών.
Ὁρῶ δὲ φῦλα τρία τριῶν στρατευμάτων,
Τευχεσφόρον μὲν λαὸν ἐκτείνοντ' ἄνω
Ἰσμήνιον πρὸς ὄχθον, ὡς μὲν ἦν λόγος,
Αὐτόν τ' ἄνακτα παῖδα κλεινὸν Αἰγέως,
Καὶ τοὺς σὺν αὐτῷ δεξιὸν τεταγμένους
Κέρας, παλαιᾶς Κεκροπίας οἰκήτορας.
Αὐτὸν δὲ Πάραλον ἐξωπλισμένον δορὶ,
Κρήνην παρ' αὐτὴν Ἄρεος ἱππότην ὄχον
Πρὸς κρασπέδοισι στρατοπέδου τεταγμένον.
Ἴσους ἀριθμόν. ἁρμάτων δ' ὀχήματα
Ἔνερθε σεμνοῦ μνήματος Ἀμφίονος.
Κάδμου δὲ λαὸς ἦστο πρόσθεν τειχέων,
Νεκροὺς ὄπισθεν θέμενος, ὧν ἔκειτ' ἀγών.
Ἱππεῦσι δ' ἱππεῖς ἦσαν ἀνθωπλισμένοι,
Τετραόροισί τ' ἀντί' ἅρμαθ' ἅρμασιν.
Κῆρυξ δὲ Θησέως εἶπεν εἰς πάντας τάδε,
Σιγᾶτε λαοὶ, σῖγα Καδμείων στίχες
Ἀκούσαθ'. ἡμεῖς ἥκομεν νεκροὺς μέτα-
θάψαι θέλοντες, τὸν Πανελλήνων νόμον
Σώζοντες, οὐδὲν δεόμενοι τεῖναι φόνον.
Κοὐδὲν Κρέων τοῖσδ' ἀντεκήρυξεν λόγοις,
Ἀλλ' ἧστ' ἐφ' ὅπλοις σῖγα. ποιμένες δ' ὄχων
Τετραόρων κατῆρχον ἐντεῦθεν μάχης,
Πέραν δὲ διελάσαντες ἀλλήλων ὄχους,
Παραιβάτας ἔστησαν εἰς τάξιν δορός.
Χ' οἱ μὲν σιδήρῳ διεμάχονθ', οἱ δ' ἔστρεφον
Πώλους ἐς ἀλκὴν αὖθις ἐς παραιβάτας.

Ἰδὼν

Quem Iupiter fulmine ignito combuſſit.
bo. O amice, bene quidem nuncias tuum reditum,
Et res Theſei. ſi vero etiam exercitus
Athenienſium eſt ſaluus, omnia nuntiaueris bona.
un. Saluus, & res acta eſt ſicut Adraſtus debuit
Agere cum Argiuis, quum ab Inacho *fluuio*
Deductis copiis bellũ intulit Cadmeorũ vrbi, *i. Thebis.*
The. Quomodo vero Iouis trophæa filius Ægei
Conſtituit, & eiusdem belli conſortes?
Dic. cum enim adfueris, exhilarabis eos q̃ nõ adfuerũt.
un. Clarus quidem radius, ſolis iubar coruſcum,
Percutiebat terram, ad portam vero Electram
Steti ſpectator, turrim ſacram nactus.
Video autem tres ordines trium exercituum,
Populum quidem armatũ *ordines* producentẽ ſuperne
Ad ripam Iſmeni, vt ferebatur,
Ipſumque regem inclytum filium Ægei,
Et cum eo collocatos in dextro
Cornu antiquæ Cecropiæ incolas, *i. Athenienſes,*
Et ipſum Paralum armatum haſta,
Apud ipſum fontem Martis equeſtrem currum
Ad extremas exercitus partes, *i. ad latera* collocatum.
Æquali numero. curruum vero vehicula
Infra ſacrum ſepulchrum Amphionis *erant.*
Populus vero Thebanus ſedebat ante mœnia,
Cum poſuiſſet retro cadauera, de quibus erat certamẽ,
Equites vero equitibus erant in armis oppoſiti.
Quadriiugisque *ſtabant* aduerſi currus curribus.
Præco autem Theſei hæc dixit coram omnibus:
Tacete populi, agmina Thebanorum tacite
Audite: nos venimus propter cadauera,
Volentes ſepelire, legem vniuerſæ Græciæ
Seruantes, non poſtulantes, vlciſci necem.
Ad hæc vero verba Creon nihil reſpondit,
Sed ſedit tacite in armis: at duces curruum
Quadriiugorum inde cœperunt pugnam.
Agentes autẽ currus viciſſim vltra ordines alii aliorũ,
Milites in curru pugnantes ſtatuerunt in armorũ acie.
Et alii quidem pugnabant ferro, alii vero vertebant
Equos ad pugnam rurſus aduerſus milites curules.

Cũ aũt vidiſſet Phorbas, q dux equorũ [illegible]
Erat, Athenienſibus *hoſtile* curruum agmen [illegible],
Qui etiam contra Cadmeum tuebantur equitem,
Commiſerunt pugnam: & vincebant, ac vincebant:
Videns autem hæc, & non audiens (illic enim eram
Vbi pugnabant currus, & curruum milites)
Quæ illic erant tunc multa mala, neſcio
Quid primum dicam: vtrum in cælum
Eleuatum puluerem, quam eſſet ingens:
An qui ferebantur ſurſum & deorſum,
Fluxus ſanguinis purpurei in loris,
Aliis quidem cadentibus, aliis vero fractis curribus,
In caput humi per vim præcipitantibus,
Et relinquentibus vitam ſimul cũ fractione curruum.
Vincentem autem equis vt vidit exercitum
Creon, inde clypeum arripiens manu,
Procedit, priuſquam ſui milites langueſcant animis.
Atqui exercitus Theſei non periit metu,
Sed ſtatim *obuiam* iuit correptis armis ſplendidis.
Et committentes prælium *per* totũ medium exercitũ,
Occidebant, *&* occidebantur, & adhortabantur
Se mutuis adhortationibus cum magno clamore,
Ad concurrendum. Erechthidis aũt *Cadmea* reſiſtebat
Manipulus. n. virorũ ex dẽtib. ſerpẽtis natorũ, [haſta.
Acer bellator erat. Inclinauit enim cornu
Siniſtrum noſtrum, ſed dextrum victum
Illorum fugit, eratque certamen æquale,
Et tunc erat laudandus dux:
Non enim ſolum *in* hac *parte* victrici, quæſtum fecit:
Sed *etiam* iuit ad *cornu* laborans ſui exercitus.
Rupit autem vocem, vt terra redderet ſonitum:
O filii, niſi ſuſtinueritis rigidam haſtam
Satorũ hãc virorũ, *i. Thebanorũ*, perierũt res Palladis, *i.*
Indidit aũt fiduciã toti exercitui Danaidũm. [*Ath.*
Ipſeque correpta Epidauria armatura
Formidabilis clauæ, huc, & illuc *eã* iactãs vibrabat,
Simul colla, & inſertum caput.
Galeæ demetens, & *claua* ligno detruncans.
Vixque tandem conuertit eos in fugam.
Ego autem exclamaui, & ſaltaui,

Digitized by Google

Ἰδὼν δὲ Φόρβας, ὃς μοναμπύκων ἄναξ
Ἦν, τοῖς Ἐρεχθείδαισιν ἁρμάτων ὄχοις,
Οἵ τ' αὖ τὸ Κάδμου διεφύλασσον ἱππικὸν,
Συνῆψαν ἀλκὴν, καὶ κράτουν, ἡσσῶντό τε.
Λεύσσων δὲ ταῦτα, κοὐ κλύων, ἐκεῖ γὰρ ἦν,
Ἔνθ' ἅρματ' ἠγωνίζεθ', οἵ τ' ἐπεμβάται,
Τἀκεῖ παρόντα πολλὰ πήματ', οὐκ ἔχω
Τί πρῶτον εἴπω, πότερα τὴν εἰς οὐρανὸν
Κόνιν προσαντέλλουσαν, ὡς πολλὴ παρῆν,
Ἢ τοὺς ἄνω τε καὶ κάτω φορουμένους
Ἱμᾶσιν αἵματός τε φοινίου ῥοάς;
Τῶν μὲν πιτνόντων, τῶν δὲ θραυσθέντων δίφρων
Εἰς κρᾶτα, πρὸς γῆν ἐκκυβιστώντων βίᾳ,
Πρὸς ἁρμάτων τ' ἀγαῖσι λειπόντων βίον.
Νικῶντα δ' ἵπποις ὡς ἐπείδετο στρατὸν
Κρέων γε, τοὐνθένδ' ἰτέαν λαβὼν χερὶ
Χωρεῖ, πρὶν ἐλθεῖν ξυμμάχοις δυσθυμίαν.
Καὶ μὴν τὰ Θησέως γ' οὐκ ὄκνῳ διεφθάρη,
Ἀλλ' ἵετ' εὐθὺς λάμπρ' ἀναρπάσας ὅπλα.
Καὶ συμπατάξαντες μέσον πάντα στρατὸν,
Ἔκτεινον, ἐκτείνοντο. καὶ παρηγγύων
Κέλευσμ' ἐν ἀλλήλοισι σὺν πολλῇ βοῇ
Θένε. κἀντέρειδε τοῖς Ἐρεχθείδαις δόρυ.
Λόχος δ' ὀδόντων ὄφεος ἐξηνδρωμένος,
Δεινὸς παλαιστὴς ἦν. ἔκλινε γὰρ κέρας
Τὸ λαιὸν ἡμῶν. δεξιὸν δ' ἡσσώμενον
Φεύγει τὸ κείνων. ἦν δ' ἀγὼν ἰσόρροπος.
Κἀν τῷδε, τὸν στρατηγὸν αἰνέσαι παρῆν.
Οὐ γὰρ τὸ νικῶν τοῦτ' ἐκέρδαινεν μόνον,
Ἀλλ' ᾤχετ' εἰς τὸ κάμνον οἰκείου στρατοῦ.
Ἔρρηξε δ' αὐδὴν, ὥσθ' ὑπηχῆσαι χθόνα.
Ὦ παῖδες, εἰ μὴ σχήσετε στερρὸν δόρυ
Σπαρτῶν τόδ' ἀνδρῶν, οἴχεται τὰ Παλλάδος.
Θάρσος δ' ἐνῶρσε παντὶ Δαναϊδῶν στρατῷ.
Αὐτός θ' ὅπλισμα τοὐπιδαύριον λαβὼν,
Δεινῆς κορύνης, διαφέρων ἐσφενδόνα,
Ὁμοῦ τραχήλους, κἀπικείμενον κάρα
Κυνέας θερίζων, κἀποκαυλίζων ξύλῳ.
Μόλις δέ πως ἔτρεψεν εἰς φυγὴν πόδα.
Ἐγὼ δ' ἀνηλάλαξα κἀνωρχησάμην,

Κἀκήρυσσε χεῖρας. οἱ δ' ἔτεινον εἰς πύλας.
Βοὴ δὲ καὶ κωκυτὸς ἦν ἀνὰ πτόλιν
Νέων, γερόντων, ἱερά τ' ἐξεπίμπλασαν
Φόβῳ. παρὸν δὲ τειχέων ἔσω μολεῖν,
Θησεὺς ἐπέσχεν. οὐ γὰρ ὡς πέρσων πόλιν
Μολεῖν ἔφασκεν, ἀλλ' ἀπαιτήσων νεκρούς.
„ Τοιόνδε τὸν στρατηγὸν αἱρεῖσθαι χρεὼν,
„ Ὃς ἔν τε τοῖς δεινοῖσιν ἐστὶν ἄλκιμος,
„ Μισεῖ θ' ὑβριστὴν λαόν. ὃς πράσσων καλῶς
„ Εἰς ἄκρα βῆναι κλιμάκων ἐνήλατα
„ Ζητῶν, ἀπώλεσ' ὄλβον, ᾧ χρῆσθαι παρῆν.
χο. Νῦν τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγὼ,
Θεοὺς νομίζω, καὶ δοκῶ τὰς συμφορὰς
Ἔχειν ἔλασσον, τῶνδε τισάντων δίκην.
ἀδ. Ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
„ Φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
„ Δρῶμέν τε τοιαῦθ', ἂν σὺ τυγχάνῃς θέλων.
Ἡμῖν γὰρ ἦν τότ' Ἄργος οὐχ ὑπόστατον,
Αὐτοί τε πολλοὶ καὶ νέοι βραχίοσιν,
Ἐτεοκλέους τε σύμβασιν ποιουμένου,
Μέτρια θέλοντος, οὐκ ἐχρήζομεν λαβεῖν.
Κἄπειτ' ἀπωλόμεσθ'. ὁ δ' αὖ τότ' εὐτυχὴς,
Λαβὼν πένης ὡς ἀρτίπλουτα χρήματα,
Ὕβριζ', ὑβρίζων τ' αὖθις ἀντανώλετο
„ Κάδμου κακόφρων λαός. Ὦ κενοὶ βροτῶν,
„ Οἳ τόξον ἐντείνοντες ὡς καιροῦ πέρα,
„ Καὶ πρὸς δίκης γε πολλὰ πάσχοντες κακὰ,
„ Φίλοις μὲν οὐ πείθεσθε, τοῖς δὲ πράγμασιν.
„ Πόλεις τ' ἔχουσαι διὰ λόγου κάμψαι κακὰ,
„ Φόνῳ καθαιρεῖσθ', οὐ λόγῳ τὰ πράγματα.
Ἀτὰρ τί ταῦτα; κεῖνο βούλομαι μαθεῖν,
Πῶς ἐξεσώθης; εἶτα τἄλλ' ἐρήσομαι.
ἀγ. Ἐπεὶ ταραγμὸς πόλιν ἐκίνησεν δορὶ,
Πύλας διῆλθον, ᾗπερ εἰσῄει στρατός.
χο. Ὧν δ' οὕνεκ' ἀγὼν ἦν, νεκροὺς κο-
μίζετε;
ἀγ. Ὡς οἵγε κλεινοῖς ἑπτ' ἐφέστασαν δόμοις.
χο. Πῶς φῄς; ὁ δ' ἄλλος ποῦ κεκμηκότων ὄχλος;
ἀγ. Τάφῳ δέδονται πρὸς Κιθαιρῶνος πτυχαῖς.
χο. Τοὐκεῖθεν ἢ τοὐνθένδε; τίς δ' ἔθαψέ νιν;

Digitized by Google

Et complosi manibus. Illi vero tẽdebãt ad portas.
Clamor autem, & vlulatus erat in vrbe
Iuuenum, & ſenum, & implebant templa
Metu. cum autem poſſet irruere in vrbem
Theſeus, repreſſit *ſuos:* non enim expugnatum vrbem
Dicebat ſe veniſſe, ſed repetitum cadauera.
,, Talem oportet eligere copiarum ducem,
,, Qui & in periculis ſit fortis,
,, Et oderit populum inſolentem: qui in ſecundis rebus
,, In ſummos ſcalarum gradus clauis munitos ſcandere
,, Quærẽs, perdidit ſuam felicitatẽ, qua frui poterat.
Cho. Nunc videns ego hanc inſperatam diem,
Iudico eſſe Deos, & puto calamitates meas
Minores eſſe, cum iſti dederint pœnas.
Ad. O Iupiter, quid nam miſeros homines
,, Dicunt ſapere? ex te enim pendemus,
,, Et talia facimus, quæcunque tu vis.
Nobis enim erat tunc dolor non ferendus,
Ipſique *eramus* multi & iuuenes brachiis,
Et Eteocle agente de compoſitione,
Ac petente moderata, non voluimus accipere:
Et deinde periimus. Ille vero tunc fortunatus,
Sicut pauper accipiens recens partas opes,
Erat inſolens: & inſolens rurſus periit
,, Stultus populus Cadmi. O ſtulti homines
,, Qui extendentes arcum vltra quam conuenit:
,, Et iuſte mala multa paſſi,
,, Amicis quidem non obtemperatis, ſed rebus ipſis.
,, Vosq; ciuitates cum poſſitis oratione declinare mala,
,, Cæde, non verbis moleſtias amolimini.
Sed quid hæc? Illud volo ſcire,
Quomodo ſis ſeruatus: deinde alia interrogabo.
Nun. Poſtquam tumultus vrbem commouit haſta,
Tranſii per portam qua intrabat exercitus.
Cho. Quorum vero cauſa certamen erat, *an Theſeus*, cada-
uera recepit? [ſunt conditi.
Nun. *Recepit.* quia illi ſeptem *defuncti duces* in inclytas arcas
Cho. Quomodo dicis? vbi vero *eſt* reliqua defũctorũ turba?
Nun. Sepulturæ mandati ſunt ad Cithæronis valles.
Cho. Illinc, an hinc? quis vero ſepeliit eos?

Nun. Theſeus, vbi eſt vmbroſa petra Eleutheris.
Cho. Quos vero non ſepeliit, vbi reliquit mortuos?
Nun. Hic prope. prope enim eſt quicquid feſtinatur.
Cho. An ſerui tulerunt eos ægre ex ipſa cæde?
Nun. Nullus ſeruus acceſſit ad hunc laborem:
Dixiſſes, ſi affuiſſes, quod *Theſeus* amaſſet mortuos.
Cho. Abluitne ipſorum miſerorum cruenta cadauera?
Nun. Quin etiam ſtrauit toros, & texit corpora.
Cho. Graue quidẽ erat geſtamẽ, & turpitudinẽ *aliquã* habẽs.
„ Quid tamen turpia *dicis* hominibus cõmunia mala?
Nun. Heu, quanto cum eis maluiſſem mori?
Cho. Fruſtra ploras, & iſtis elicis lachrymas.
Nun. Video quidem, ſed ipſæ me docent plorare.
Sed age, tollo manus occurrens mortuis,
Effundoque carmen inferorum lugubre,
Compellans amicos, quibus amiſſis miſer
„ Deploro ſolitudinem. Hũc enim ſolũ mortalibus
„ Non licet ſumptum factum recipere,
„ Animam humanam *ſemel amiſſam*. pecuniæ vero pa-
„ randæ, *amiſſaq; recuperanda*, ſunt rationes.

ANTISTROPHICA.

Strophe.

Ch. 1 Partim quidem læta, partim vero triſtia *contigerunt*.
2 Vrbi enim gloria,
3 Et ducibus belli
4 Duplicatur honor.
5 Mihi vero mortua membra liberorum videre
6 Acerbum, ſed tamen *erit* pulchrũ ſpectaculũ, ſi videro
7 Inſperatum diem,
8 Conſpicata maximum omnium dolorem.

Antiſtrophe.

1 Innuptam me huc vſque perpetuo
2 Longæuus ſenex pater
3 Debuerat *ad hunc vſque* diem ſeruare.
4 Quid enim mihi opus erat liberis?
5 Non enim exiſtimo me paſſuram fuiſſe hoc
6 Ingens malum, ſi a nuptiis abſtinuiſſem:
7 Nunc vero video maniſeſtiſſimum
8 Malum, chariſſimis liberis orbari.

Sed

Θησεύς, σκιάδης ἔνθ' Ἐλευθερὶς πέτρα.
Οὓς δ' οὐκ ἔθαψε, ποῦ νεκροὺς ἥκει λιπών;
Ἐγγύς. πέλας γὰρ πᾶν ὅ, τι σπουδάζεται.
Ἦ πού πικρῶς νιν θέραπες ἦγον ἐκ φόνου;
Οὐδεὶς ἐπέστη τῷδε δοῦλος ὢν πόνῳ.
Φαίης ἄν, εἰ παρῆσθ', ὅτ' ἠγάπα νεκρούς.
Ἔνιψεν αὐτὸς τῶν ταλαιπώρων σφαγάς;
Κἄστρωσέ γ' εὐνάς, κἀκάλυψε σώματα.
Δεινὸν μὲν ἦν βάσταγμα, κ' αἰσχύνην ἔχον.
Τί δ' αἰσχρὸν ἀνθρώποισι τἀλλήλων κακά;
Οἴμοι. πόσῳ σφιν συνθανεῖν ἂν ἤθελον.
Ἄκραντ' ὀδύρῃ, τάσδε τ' ἐξάγεις δάκρυ.
Δοκῶ μέν. αὗταί γ' εἰσὶν αἱ διδάσκαλοι.
Ἀλλ' εἶεν. αἴρω χεῖρ', ἀπαντήσας νεκροῖς.
Ἅιδου τε μολπὰς ἐκχέω δακρυρρόους,
Φίλους προσαυδῶν, ὧν λελειμμένος τάλας,
,, Ἔρημα κλαίω. τοῦτο γὰρ μόνον βροτοῖς
,, Οὐκ ἔστι τἀνάλωμ' ἀναλωθὲν λαβεῖν,
,, Ψυχὴ βροτεία. χρημάτων δ' εἰσὶν πόροι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

1 Τὰ μὲν εὖ, τὰ δὲ δυστυχῆ.
2 Πόλει μὲν εὐδοξία,
3 Καὶ στρατηλάταις δορὸς
4 Διπλάζεται τιμή.
5 Ἐμοὶ δὲ τῶν παίδων μὲν εἰσιδεῖν μέλη,
6 Πικρόν. καλὸν θέαμα δ' εἴπερ ὄψομαι,
7 Τὰν ἄελπτον ἡμέραν,
8 Ἰδοῦσα πάντων μέγιστον ἄλγος.

Ἀντιστροφή.

1 Ἄγαμόν μ' ἔτι δεῦρ' ἀεὶ
2 Χρόνος, παλαιὸς πατήρ,
3 Ὤφελ' ἁμέρα κτίσαι.
4 Τί γάρ με δεῖ παίδων;
5 Τὸ μὲν γὰρ οὐκ ἤλπιζον ἂν πεπονθέναι
6 Πάθος περισσόν, εἰ γάμων ἀπεζύγην.
7 Νῦν δ' ὁρῶ σαφέστατον
8 Κακόν, τέκνων φιλτάτων στερεῖσα.

Digitized by Google

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀλλὰ τέκν' ἤδη τάσδε λεύσσω
Τῶν οἰχομένων παίδων μελέα,
Πῶς ἂν ὀλοίμην σὺν τοῖσδε τέκνοις,
Κοινὸν ἐς ᾅδην καταβᾶσα;

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Στεναγμὸν ὦ ματέρες
Τῶν κατὰ χθονὸς νεκρῶν
Ἀΰσατ', ἀπύσατ', ἀντίφων' ἐμῶν
Στεναγμάτων κλύουσαι.
χο. Ὦ παῖδες, ὦ πικρὸν φίλων
Προσηγόρημα ματέρων,
Προσαυδῶ σε τὸν θανόντα.
ἀδ. Ἰὼ, ἰὼ τῶν γ' ἐμῶν κακῶν ἐγώ.
χο. Αἲ, αἶ. ἐπάθομεν ὦ
Τὰ κύντατ' ἄλγη κακῶν.
ἀδ. Ὦ πόλις Ἀργεία, τὸν ἐμὸν πότμον οὐκ ἐσορᾶτε;
χο. Ὁρῶσι κἀμὲ δῆτα τὰν τάλαι-
ναν, τέκνων ἄπαιδα.

Ἀντιστροφή.

ἀδ. Προσάγετ' ὦ δυσπότμων
Σώμαθ' αἱματοσταγῆ,
Σφαγέντα τ' οὐκ ἄξι', ὑπ' οὐκ ἀξίων,
Ἐν οἷς ἀγὼν ἐκράνθη.
Δόθ' ὡς περιπτυχαῖσι δὴ
Χέρας προσαρμόσας ἐμοῖς
Ἐν ἀγκῶσι τέκνα θῶμαι.
χο. Ἔχεις, ἔχεις. Αδ. πημάτων γ' ἅλις βάρος.
χο. Αἲ, αἴ. τοῖς τεκοῦσι δ' οὐ λέγεις. Αδ. ἀΐετέ μου.
χο. Στένεις ἐπ' ἀμφοῖν ἄχη.
ἀδ. Εἴθε με Καδμείων ἔναρον στίχες ἐν κονίαισιν.
χο. Ἐμὸν δὲ μή ποτ' ἐζύγη δέμας
Εἰς λέκτ' ἀνδρὸς εὐναί.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἀδ. Ἴδετε κακῶν πέλαγος, ὦ ματέρες
Τάλαιναι τέκνων. Χο. κατὰ μὲν ὄνυξιν
Ηλοκίσμεθ', ἀμφὶ δὲ σποδὸν
Κάρα κεχύμεθα.
ἀδ. Ἰὼ, ἰώ μοί μοι.

Κατὰ

Digitized by Google

Sed hæc nunc video corpora
Mortuorum filiorum, ô me miſeram,
Quomodo peream cum iſtis liberis,
Communem ad Plutonem deſcendens?

ANTISTROPHICA.

Strophe.

Gemitum ô matres
De mortuis ſub terram *ituris*,
Edite, reſonate, viciſſim reſponſa meorum
Gemituum audientes.
Ch. O filii, ô acerba chararum
Matrum appellatio:
Alloquor te mortuum:
Ad. Hei mihi, hei mihi propter mea mala.
Ch. Ah, ah, paſſæ ſumus ô
Fœdiſſimos malorum dolores.
Ad. O ciuitas Argiua, non videtis meum fatum?
Ch Vident & me profecto miſe-
ram, orbatam liberis.

Antiſtrophe.

Ad. O afferte miſero
Corpora cruenta,
Interfecta non digne, neque a dignis,
In quibus finitum eſt certamen:
Date vt complexibus iam
Manus applicans, meis
In brachiis ponam liberos.
Ch. Habes, habes. *Ad.* Satis *magnum* onus dolorum.
Ch. Heu, heu, parentibus vero non dicis. *Ad.* Audite me.
Ch Graues vtrorumque cauſa gemitus edis.
Ad Vtinam me copiæ Thebanæ occidiſſent in puluere.
Ch Vtinam vero meum corpus nunquã iunctum fuiſſet
In viri alicuius cubile.

MONOSTROPHICA.

Ad. Videte pelagus malorum ô matres
Miſeræ filiorum. *Cho.* Vnguibus quidem
Laceratæ ſumus, cinerem vero circum
Caput fudimus.
Ad. Heu, heu mihi, mihi.

Solum

Solum terræ detrahat me,
Et procella dilaceret,
Ignisque flamma
Iouis incidat capiti.

Cho. Triſtes vidiſti nuptias,
Et funeſtum oraculum Phœbi *ſecutus*.
Nuptum dediſti filias viris: luctuoſa *enim*
OEdipodæ domum
Relinquens venit Erinnys *infeſta tibi*.

Theſeus.

Cũ eſſem te interrogaturꝰ, cũ apud exercitũ ꝓfunderes
Luctus, *hoc* omittam, illos quidem relinquens
Sermones de tuis rebus. Nũc vero Adraſtũ interrogo.
Vnde nam illi præſtantes fortitudine
Mortales nati ſunt? dicas, tanquam ſapientior
Iuuenibus iſtis inter ciues: peritus enim es *rerum*.
Vidi enim maiora ipſorum, quam vt dici poſſit verbis,
Facinora, quibus ſperabant ſe expugnaturos vrbẽ.
Illud tamen vnum te non interrogabo, ne deridear,
Cum quo horum quisq; ſit congreſſus in pugna,
Aut cuius hoſtium haſta acceperit vulnus.
Communes enim ſunt iſti ſermones & audientium
Et dicentium, ſi quis ſtans in pugna
Multis haſtis euntibus ante oculos
Clare narrare velit, quis ſit fortis.
„ Non poſſem iſta interrogare,
„ Neq; credere illis, qui audent dicere *res huiuſmodi*.
„ Vix enim aliquis ipſa neceſſaria videre
„ Poteſt, *in acie* ſtans hoſtibus oppoſitus.

Ad. Audi ergo nunc: non enim inuito mihi
Das laudem: volo ego
De amicis vera & iuſta dicere.
Videsne illũ ſplendidũ, per quẽ volauit *Iouis* telũ?
Iſte eſt Capaneus, cui amplæ quidem erant fortunæ,
Minime vero diuitiis inſolens erat. animos vero
Nequaquam maiores gerebat, quã vir pauper, [ſcebat,
Fugiẽs *eum*, quicunq; *ſplendidis* menſis nimis intume-
„ Frugalẽ victũ cõtemnẽs. nõ eni in vẽtris ingluuie
„ Probitatẽ *poſitam* eſſe, ſed mediocria ſufficere dicebat.
Eratque verus amicus, & præſentibus amicus,

Et

Digitized by Google

Καί με πέδον γᾶς ἕλοι,
Διὰ δὲ θύελλα σπάσειε,
Πυρός τε φλογμὸς
Ὁ Διός, ἐν κάρᾳ πέσοι.
Πικροὺς εἶδες γάμους.
Πικρὰν δὲ Φοίβου φάτιν
Ἔγημας. ἁ πολύστονος
Οἰδιπόδα δώματα
Λιποῦσ' ἦλθ' Ἐρινύς.

ΙΑΜΒΟΙ.

η. Μέλλων σ' ἐρωτᾶν, ἡνίκ' ἐξήντλεις στρατῷ
Γόους, ἀφήσω, τοὺς ἐκεῖ μὲν ἐκλιπὼν
Εἰς τὰ σά γε μύθους. νῦν δ' Ἄδραστον ἱστορῶ.
Πόθεν ποθ' οἵδε διαπρεπεῖς εὐψυχίᾳ
Θνητῶν ἔφυσαν; εἰπέ γ', ὡς σοφώτερος
Νέοισιν ἀστῶν τῶνδ'. ἐπιστήμων γὰρ εἶ.
Εἶδον γὰρ αὐτῶν κρείσσον', ἢ λέξαι λόγῳ,
Τολμήμαθ', οἷς ἤλπιζον αἱρήσειν πόλιν.
Ἓν δ' οὐκ ἐρήσομαί σε, μὴ γέλωτ' ὄφλω,
Ὅτῳ ξυνέστη τῶνδ' ἕκαστος ἐν μάχῃ,
Ἢ τραῦμα λόγχης πολεμίων ἐδέξατο.
Κενοὶ γὰρ οὗτοι τῶν τ' ἀκουόντων λόγοι,
Καὶ τοῦ λέγοντος, ὅστις ἐν μάχῃ βεβὼς,
Λόγχης ἰούσης πρόσθεν ὀμμάτων πυκνῆς,
Σαφῶς ἀπήγγειλ' ὅστις ἐστὶν ἀγαθός.
" Οὐκ ἂν δυναίμην οὔτ' ἐρωτῆσαι τάδε,
" Οὔτ' ἂν πιθοίμην τοῖσι τολμῶσιν λέγειν.
" Μόλις γὰρ ἄν τις αὐτὰ τἀναγκαῖ' ὁρᾶν
" Δύναιτ' ἄν, ἑστὼς πολεμίοις ἐναντίος.
ἀδ. Ἄκουε δή νυν. καὶ γὰρ οὐκ ἄκοντί μοι
Δίδως ἔπαινον, ὧν ἔγωγε βούλομαι
Φίλων ἀληθῆ καὶ δίκαι' εἰπεῖν πέρι.
Ὁρᾷς τὸν ἁβρὸν, οὗ βέλος διέπτατο;
Καπανεὺς ὅδ' ἐστίν. ᾧ βίος μὲν ἦν πολύς,
Ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν. φρόνημα δὲ
Οὐδέν τι μεῖζον εἶχεν, ἢ πένης ἀνήρ,
Φεύγων, τραπέζαις ὅστις ἐξογκοῖτ' ἄγαν,
Τἀρκοῦντ' ἀτίζων. οὐ γὰρ ἐν γαστρὸς βορᾷ
Τὸ χρηστὸν εἶναι. μέτρια δ' ἐξαρκεῖν ἔφη.
Φίλος τ' ἀληθὴς ἦν, φίλοις παροῦσί τε,

Digitized by Google

Καὶ μὴ παροῦσιν, ὧν ἀριθμὸς οὐ πολύς.
Ἀψευδὲς ἦθος, εὐπροσήγορον στόμα,
Ἄκραντον οὐδὲν οὔτ' ἐς οἰκέτας ἔχων,
Οὔτ' εἰς πολίτας. Τὸν δὲ δεύτερον λέγω,
Ἐτέοκλον, ἄλλην χρηστότητ' ἠσκηκότα.
Νεανίας ἦν, τῷ βίῳ μὲν ἐνδεής,
Πλείστας δὲ τιμὰς ἔσχεν Ἀργείᾳ χθονί.
Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
Οὐκ εἰσεδέξατ' οἶκον, ὥστε τοὺς τρόπους
Δούλους παρασχεῖν, χρημάτων ζευχθεὶς ὕπο.
Τοὺς τ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν
„ Ἤχθαιρ'. Ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
„ Κακῶς κλύουσα διὰ κυβερνήτην κακόν.
Ὁ δ' αὖ τρίτος τῶνδ' Ἱππομέδων, τοιόσδ' ἔφυ,
Παῖς ὤν, ἐτόλμησ' εὐθὺς οὐ πρὸς ἡδονὰς
Μουσῶν τραπέσθαι, πρὸς τὸ μαλθακὸν βίου,
Ἀγροὺς δὲ ναίων, σκληρὰ τῇ φύσει διδούς,
Ἔχαιρε πρὸς τἀνδρεῖον, ἔς τ' ἄγρας ἰών,
Ἵπποις τε χαίρων, τόξα τ' ἐντείνων χεροῖν,
Πόλει παρασχεῖν σῶμα χρήσιμον θέλων.
Ὁ τῆς κυναγοῦ δ' ἄλλος Ἀταλάντης γόνος,
Παῖς Παρθενοπαῖος, εἶδος ἐξοχώτατος,
Ἀρκὰς μὲν ἦν. ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοάς,
Παιδεύεται κατ' Ἄργος. ἐκτραφεὶς δ' ἐκεῖ,
Πρῶτον μέν, ὡς χρὴ τοὺς μετοικοῦντας ξένους,
Λυπηρὸς οὐκ ἦν, οὐδ' ἐπίφθονος πόλει,
Οὐδ' ἐξεριστὴς τῶν λόγων, ὅθεν βαρὺς
Μάλιστ' ἂν εἴη δημότης τε, καὶ ξένος.
Λόχοις δ' ἐνεστώς, ὥσπερ Ἀργεῖος γεγώς,
Ἤμυνε χώρᾳ. χ' ὁπότ' εὖ πράσσοι πόλις,
Ἔχαιρε. λυπρῶς δ' ἔφερ', εἴ τι δυστυχεῖ.
Πολλοὺς δ' ἐραστάς, κἀπὸ θηλειῶν ὅσας
Ἔχων, ἐφρούρει μηδὲν ἐξαμαρτάνειν.
Τυδέως δ' ἔπαινον ἐν βραχεῖ θήσω μέγαν.
Οὐκ ἐν λόγοις ἦν λαμπρός, ἀλλ' ἐν ἀσπίδι
Δεινὸς σοφιστής, πολλά τ' ἐξευρεῖν σοφά.
Γνώμῃ δ' ἀδελφοῦ Μελεάγρου λελειμμένος,
Ἴσον παρέσχεν ὄνομα διὰ τέχνης δορός,
Εὑρὼν ἀκριβῆ μουσικὴν ἐν ἀσπίδι,
Φιλότιμον ἦθος, πλούσιον. φρόνημα δὲ

Et abſentibus, quorum non *eſt* magnus numerus:
Mores non fucati, & come os,
Nihil dicebat, quod nō expleret, neq; erga ſeruos,
Neq; erga ciues. Secundum vero dico,
Eteoclum, qui exercuit bonitatem:
Iuuenis erat, pauper quidem fortunis:
Plurimos vero honores habuit *in* Argiuo agro.
Amicis verò aurum *ipſi* ſæpe dono offerentibus,
Non recepit in ædes, vt mores
Præberet ſeruiles, victus a pecunia.
Ipſoſque delinquentes, non Rempub.
„ Oderat: quia non *eſt* culpanda ciuitas,
„ Male audiens propter gubernatorem malum.
Tertius vero horum Hippomedon, talis fuit:
Statim a puero auſus eſt non ad voluptatem
Muſarum ſe conuertere, & ad mollem vitam:
Sed habitans ruri, exercens vitam duram,
Gaudebat ad fortia *facinora*, & ad venationes vadens,
Et gaudens equis, & tendens arcum manibus,
Reipub. corpus vtile præbere volens.
Alius vero, filius venatricis Atalantæ,
Puer Perthenopæus, forma præſtantiſſimus
Arcas quidem erat: profectus vero ad Inachi fluenta,
Educatur Argis, & illic educatus
Primum quidem, vt conuenit inquilinos viros *facere*,
Nemini erat moleſtus, neque inuiſus Reipub.
Neque litigator verbis, vnde grauis
Eſt maxime ciuis, & hoſpes.
Et collocatus in acie, tanquam eſſet natus Argiuus,
Defendebat agrum: & quando ciuitas rē bene gerebat,
Gaudebat, acerbe vero ferebat, ſi quā cladē accipiebat.
Multos autem amatores, multasq; fœminas *amaſias*
Habens, cauebat ne quid peccaret.
Tydei vero laudem breuiter dicam magnam.
Non in verbis erat clarus: ſed in armis,
Aſtutus, & acer ad inuenienda multa ſtratagemata.
Inferior autem prudentia Meleagro fratre,
Æquale nomen arte bellica præſtitit,
Inueniens accuratam Muſicam in clypeo:
Gloriæ cupida natura, & diues. vigor autem animi

Erat

Erat in ipſis factis, non in dicendo par.
Ex his dictis ne mirare
Theſeu, hos auſos eſſe oppetere mortẽ ante turres.
„ Educatio enim non ſordida: *ſed liberalis* pudorẽ affert.
„ Erubeſcit enim vir, qui *res* honeſtas exercuit,
„ Ignauus fieri quilibet. fortitudo vero
„ Doceri poteſt, ſiquidem & infans docetur *ea*
„ Dicere & audire, quorum notitiam non habet.
„ Quæ vero didicit aliquis, ea ſeruare ſolet
„ Ad ſenectam. Sic *igitur* bene inſtituite liberos.

Syſtema.

Cho. O fili, educaui te infelicem,
Geſtaui ſub hepate,
Suſtinens dolores in partu:
Et nunc Pluto meum
Habet laborem miſeræ:
Ego enim *mea* ſenectutis nutritorem non habeo,
Miſera, quæ peperi filium.

Adraſtus.

Porro generoſum Oiclei filium, *Amphiaraum*
Dii viuum abreptum in abditos terræ ſinus,
Cum ipſis quadrigis laudant clare.
Oedipique filium, Polynicen dico,
Nos laudantes, non mentiemur: [*i. Thebis*,
Erat enim mihi hoſpes, priusquã relicta Cadmi vrbe,
Exilio ſpontaneus, *vltro*, traiiceret ad Argos.
Sed ſcis quid velim *te* facere de iſtis?
The. Non ſcio, niſi vnum *hoc*, me tuis obtemperaturũ eſſe [verbis.
Ad. Percuſſum quidem igne Iouis Capanea.
The. Vis ſepelire ſeorſim tanquam ſacrum cadauer?
Ad. Certe. omnes vero alios in vno rogo.
The. Vbi vero facies huic monumentũ *ab aliis* ſeparatum?
Ad. Hic, faciens monimentum iuxta iſtos miſeros.
The. Hic autem labor curæ iam erit ſeruis,
Nobis vero iſti: procedant igitur onera cadauerũ.
Ad. Ite ô miſeræ matres filiorum propre.
The. Nequaquam Adraſte dicis hoc vtile.
Ad. Quomodo? non conuenit attingi a matribus liberos?
The. Peribunt, ſi videant iſtos *adeo* deformatos.
„ Aſpectus enim cadauerũ eſt acerbus etiã cũ lucro.

Quid

Ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις ἴσον.
Ἐκ τῶνδε μὴ θαύμαζε τῶν εἰρημένων,
Θησεῦ, πρὸ πύργων τούσδε τολμῆσαι θανεῖν.
» Τὸ γὰρ τραφῆναι μὴ κακῶς, αἰδῶ φέρει.
» Αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ,
» Κακὸς γενέσθαι πᾶς τις. ἡ δ' εὐανδρία
» Διδακτὸς, εἴπερ καὶ βρέφος διδάσκεται
» Λέγειν, ἀκούειν θ' ὧν μάθησιν οὐκ ἔχει.
» Ἃ δ' ἂν μάθοι τις, ταῦτα σώζεσθαι φιλεῖ
» Πρὸς γῆρας. οὕτω παῖδας εὖ παιδεύετε.

Σύστημα.

χο. Ἰὼ τέκνον, δυστυχῆ σ' ἔτρεφον,
Ἔφερον ὑφ' ἥπατος,
Πόνους ἐνεγκοῦσ' ἐν ὠδῖσι.
Καὶ νῦν ἅδας τὸν ἐμὸν
Ἔχει μόχθον ἀθλίας,
Ἐγὼ δὲ γηροβοσκὸν οὐκ ἔχω,
Τεκοῦσα τάλαινα παῖδα.

ΙΑΜΒΟΙ.

ἀδ. Καὶ μὴν τὸν Οἰκλέους γε γενναῖον τόκον,
Θεοὶ ζῶντ' ἀναρπάσαντες εἰς μυχοὺς χθονὸς,
Αὐτοῖς τεθρίπποις, εὐλογοῦσιν ἐμφανῶς.
Τὸν Οἰδίπου τε παῖδα, Πολυνείκην λέγω,
Ἡμεῖς ἐπαινέσαντες, οὐ ψευδοίμεθ' ἄν.
Ξένος γὰρ ἦν μοι, πρὶν λιπὼν Κάδμου πόλιν
Φυγῇ πρὸς Ἄργος διαβαλεῖν αὐθαίρετος.
Ἀλλ' οἶσθ' ὃ δρᾶσαι βούλομαι τούτων πέρι;
θη. Οὐκ οἶδα, πλὴν ἕν, σοῖσι πείθεσθαι λόγοις.
ἀδ. Τὸν μὲν Διὸς πληγέντα Καπανέα πυρί.
θη. Ἦ χωρὶς, ἱερὸν ὡς νεκρὸν, θάψαι θέλεις;
ἀδ. Ναί. τοὺς δέ γ' ἄλλους πάντας ἐν μιᾷ πυρᾷ.
θη. Ποῦ δῆτα θήσεις μνῆμα τῷδε χωρίσας.
ἀδ. Αὐτοῦ, παρ' οἴκους τούσδε συμπήξας τάφον.
θη. Αὐτὸς μὲν ἤδη δμωσὶν ἂν μέλοι πόνος,
Ἡμῖν δέ γ' οἵδε. στειχέτω δ' ἄχθη νεκρῶν.
ἀδ. Ἴτ', ὦ τάλαιναι μητέρες τέκνων πέλας.
θη. Ἥκιστ' Ἄδραστε τοῦτο πρόσφορον λέγεις.
ἀδ. Πῶς; τὰς τεκούσας οὐ χρεὼν ψαῦσαι τέκνων;
θη. Ὄλοιντ' ἰδοῦσαι τούσδ' ἂν ἠλλοιωμένους.
» Πικραὶ γὰρ ὄψεις κ' ἅμα τῶν πέλας νεκρῶν.

Τί

Τί δῆτα λύπην τήνδε προσθεῖναι θέλεις;
Ἀδ. Νικᾷς. μένειν χρὴ τλημόνως. λέγει γὰρ εὖ
Θησεύς. ὅταν δὲ τούσδε προσθῶμεν πυρί,
„ Ὀστᾶ προσάξεσθ'. Ὦ ταλαίπωροι βροτοί,
„ Τί κτᾶσθε λόγχας, καὶ κατ' ἀλλήλων φόνους
„ Τίθεσθε; παύσασθ'. ἀλλὰ λήξαντες πόνων,
„ Ἄστη φυλάσσετ', ἥσυχοι μεθ' ἡσύχων.
„ Σμικρὸν τὸ χρῆμα τοῦ βίου. τοῦτον δὲ χρὴ
„ Ὡς ῥᾷστα, καὶ μὴ σὺν πόνοις διεκπερᾶν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Οὐκέτ' εὔτεκνος, οὐκέτ' εὔπαις,
2 Οὐδ' εὐτυχίας μέτεστιν μοι
3 Κουροτόκοις ἐν Ἀργείαις.
4 Οὐδ' Ἄρτεμις λοχία
5 Προσφθέγξαιτ' ἂν τὰς ἀτέκνους.
6 Δυσαίων δ' ὁ βίος.
7 Πλαγκτὰ δ' ὡσεί τις νεφέλα,
8 Πνευμάτων ὑπὸ δυσχειμέρων ἀΐσσω.

Ἀντιστροφή.

1 Ἑπτὰ ματέρες, ἑπτὰ κούρους
2 Ἐγεινάμεθ' αἱ ταλαίπωροι,
3 Κλεινοτάτους ἐν Ἀργείοις.
4 Καὶ νῦν ἄπαις, ἄτεκνος
5 Γηράσκω δυστανότατος,
6 Οὔτ' ἐν τοῖς φθιμένοις,
7 Οὔτ' ἐν ζῶσιν ἀριθμουμένη,
8 Χωρὶς δή τινα τῶνδ' ἔχουσα μοῖραν.

Ἐπῳδός.

1 Ὑπολελειμμένα μοι δάκρυα
2 Μελέα, παιδὸς ἐν οἴκοις
3 Κεῖται μνήματα, πένθιμοι
4 Κουραί, καὶ στέφανοι κόμας,
5 Ἀοιδαί, τὰς χρυσοκόμας
6 Ἀπόλλων οὐκ ἐνδέχεται.
7 Γόοισι δ' ὀρθρευομένα,
8 Δάκρυσι νοτερὸν ἀεὶ πέπλων
9 Πρὸς στέρνῳ πτύχα τέγξω.

ΑΝΑΠΑΙΣΤΟΙ.

Καὶ μὴν θαλάμας τάσδ' ἐσορῶ δὴ

Καπα-

Quid igitur dolorem iſtis addere vis?
Vincis: oportet manere patienter: dicit enim rectè
Theſeus. quum autem iſtos impoſuerimus igni,
,, Oſſa conuehetis. ô miſeri mortales.
,, Quid comparatis haſtas, & mutuas cædes
,, Facitis? ceſſate. Quin vos deſinentes a laboribus,
,, Seruate vrbes quieti cum quietis.
,, Res breuis eſt vita, & eam conuenit
,, Tranſigere quam facillime, & nõ accerſitis laboribus.

EPODICA.

Strophe.

1 Nõ *ſum* amplius beata liberis, nõ amplius ꝓle felix.
2 Neque ſum particeps felicitatis
3 Inter matres Argiuas.
4 Neque Diana, quæ adeſt parturientibus,
5 Salutet nos amiſſis liberis.
6 Miſera autem erit vita.
7 Sicut autem errans nubes,
8 A ſæuis ventis impellor.

Antiſtrophe.

1 Septem matres, ſeptem liberos
2 Peperimus miſeræ
3 Præſtantiſſimos inter Argiuos.
4 Et nunc ſine liberis, ſine filiis
5 Seneſco miſerrima,
6 Nec inter mortuos,
7 Nec inter viuos numerata,
8 Seorſim ab his ſuſtinens quandam ſortem:

Epodus.

1 Sunt mihi reliquæ lachrymæ
2 Miſeræ, in domo filii
3 Iacent monumenta, lugubres
4 Tonſuræ & coronæ comæ.
5 Cantus, quos auricomus
6 Apollo non recipit.
7 Et excitata mane luctibus,
8 Lachrymis ſemper humidam peplorum
9 Laciniam madefaciam ad pectus.

Atqui thalamos hoſce iam video

Capanei nunc, ſacrumque tumulum,
Extraque atria
Theſei monumenta dicata mortuis,
Et inclytam coniugem mortui
Huius fulmine, Euadnem prope,
Quam rex Iphis filiam genuit.
Quidnam ſtat *ad* ſublimem petram,
Quæ ſuperat hanc domum,
Hanc ingreſſa viam?

ANTISTROPHICA

Strophe.

Eu. 1 Quam lucem, quem ſplendorem *orbi ſol afferens*
2 Curru vehebatur infelix, *ac infauſtus nobis?*
3 Lunaque per cælum *quam ferebat*
4 Facem, vbi celeres Nymphæ
5 Equitant per obſcuram *noctem*,
6 Quando nuptiarum
7 Mearum ciuitas Argiua
8 Cantulenas felicitatis
9 Magnifice cecinit, & mariti *mei*
10 Armati Capanei, *bellatoris acerrimi?*
11 Acceſſi currens ex meis
12 Ædibus furens,
13 Ignis flammam occupatura, & in ſepulchrum
14 Itura
15 Idem, apud Plutonem finitura laborioſam
16 Vitam, æuique *grauiſſimos* dolores.
17 Mors enim *eſt* dulciſſima,
18 Commori morientibus amicis,
19 Si modo Deus iſta perficiat.

Cho. Sed videsne hunc, ſupra cuius portam ſtas,
Rogum, Iouis theſaurum? illic eſt tuus
Maritus domitus face fulminis.

Antiſtrophe.

Eu. 1 Video certe *vitæ* finem, *ad*
2 Quem acceſſi. fortuna vero mihi
3 Coit pede, *meum iam contingit pedem*. ſed
4 Honeſti nominis gratia
5 Hinc ruam,
6 Hac a rupe

7 Saltans

Digitized by Google

Καπανέως ἤδη, τύμβον θ' ἱερὸν,
Μελάθρων τ' ἐκτὸς
Θησέως ἀναθήματα νεκροῖς,
Κλεινήν τ' ἄλοχον τοῦ καταφθιμένου
Τοῦδε κεραυνῷ πέλας Εὐάδνην,
Ἣν Ἶφις ἄναξ παῖδα φυτεύει.
Τί ποτ' αἰθερίαν ἕστηκε πέτραν,
Ἢ τῶνδε δόμων ὑπερακρίζει,
Τήνδ' ἐμβαίνουσα κέλευθον;

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Εὐα. 1 Τί φέγγος, τίν' αἴγλαν
2 Ἐδιφρεύετο πάλας;
3 Σελάνα τε κατ' αἰθέρα
4 Λαμπάδ', ἵν' ὠκύθοαι νύμφαι
5 Ἱππεύουσι δι' ὀρφναίας,
6 Ἡνίκα γάμων
7 Τῶν ἐμῶν πόλις Ἄργους
8 Ἀοιδὰς εὐδαιμονίας
9 Ἐπύργωσε, καὶ γαμέτα
10 Χαλκοτευχοῦς τε Καπανέως;
11 Προσέβαν δρομὰς ἐξ ἐμῶν
12 Οἴκων ἐκβακχευσαμένα,
13 Πυρὸς φῶς καθέξουσα, τάφον τε
14 Βατεύουσα τὸν
15 Αὐτὸν ἐς Ἀΐδαν καταλύσουσ' ἔμμοχθον
16 Βίοτον, αἰῶνός τε πόνους.
„ 17 Ἥδιστος γάρ τοι θάνατος,
„ 18 Συνθνήσκειν θνήσκουσι φίλοις,
„ 19 Εἰ δαίμων τάδε δὴ κραίνοι.

Χο. Καὶ μὴν ὁρᾷς τήνδ', ἧς ἐφέστηκας πέλας,
Πυρὰν, Διὸς θησαυρόν; ἔνθεν ἐστὶ σὸς
Πόσις, δαμασθεὶς λαμπάσιν κεραυνίοις.

Ἀντιστροφή.

Εὐα. 1 Ὁρῶ δὴ τελευτὰν
2 Ἵν' ἕστακα. τύχα δέ μοι
3 Ξυνάπτει ποδός. ἀλλὰ τῆς
4 Εὐκλείας χάριν
5 Ἔνθεν ὁρμάσω,
6 Τᾶσδ' ἀπὸ πέτρας

Πηδήσασα πυρὸς ἔσω.
Σῶμά τ' αἴθοπι φλογμῷ
Πόσει συμμίξασα φίλον,
Χρῶτα χρωτὶ πέλας θεμένα,
Περσεφονείας ἥξω θαλάμους,
Σὲ τὸν θανόντ' οὔ ποτ' ἐμᾷ
Προδοῦσα ψυχᾷ κατὰ γᾶς.
Ἴτω φῶς, γάμοι τε.
Εἴθε τινὲς εὐναὶ δικαίων ὑμεναίων
Ἐν Ἄργει φανῶσι τέκνοισιν.
Ὁ σὸς δ' εὐναῖος γαμέτας
Συντηχθεὶς αὔραις ἀδόλοις,
Γενναίας ἀλόχου ψυχάς.

ΙΑΜΒΟΙ.

Χο. Καὶ μὴν ὅδ' αὐτὸς σὸς πατὴρ βαίνει πέλας
Γεραιὸς Ἶφις, εἰς νεωτέρους λόγους,
Οὓς οὐ κατειδὼς πρόσθεν, ἀλγήσει κλύων.
Ἶφ. Ὦ δυστάλαινα, δυστάλας δ' ἐγὼ γέρων,
Ἥκω. διπλοῦν πένθος γε δαιμόνιον ἔχων.
Τὸν μὲν θανόντα παῖδα Καδμείων δορὶ
Ἐτέοκλον εἰς τὴν πατρίδα ναυσθλώσων νεκρὸν,
Ζητῶν τ' ἐμὴν παῖδ', ἣ δόμων ἐξώπιος
Βέβηκε πηδήσασα, Καπανέως δάμαρ,
Θανεῖν ἐρῶσα σὺν πόσει. χρόνον μὲν οὖν
Τὸν πρόσθ' ἐφρουρεῖτ' ἐν δόμοις. ἐπεὶ δ' ἐγὼ
Φυλακὰς ἀνῆκα, τοῖς παρεστῶσιν κακοῖς
Βέβηκεν. ἀλλὰ τῇδέ νιν δοξάζομεν
Μάλιστ' εἶναι. φράζετ' εἰ κατείδετε.
Εὐ. Τί τούσδ' ἐρωτᾷς; ἥδ' ἐγὼ πέτρας ἔπι
Ὄρνις τις ὡσεὶ, Καπανέως ὑπὲρ πυρᾶς
Δύστηνον αἰώρημα κουφίζω πάτερ.
Ἶφ. Τέκνον, τίς αὔρα; τίς στόλος, τίνος χάριν
Δόμων γ' ὑπερβᾶσ' ἦλθες εἰς τήνδε χθόνα;
Εὐ. Ὀργὴν λάβοις ἂν τῶν ἐμῶν βουλευμάτων,
Κλύων ἀκοῦσαι δ' οὔ σε βούλομαι, πάτερ.
Ἶφ. Τί δ' οὐ δίκαιον πατέρα τὸν σὸν εἰδέναι;
Εὐ. Κριτὴς ἂν εἴης οὐ σοφὸς γνώμης ἐμῆς.
Ἶφ. Σκευῇ δὲ τῇδε τοῦ χάριν κοσμεῖς δέμας;
Εὐ. Θέλει τι κλεινὸν οὗτος ὁ στόλος, πάτερ.
Ἶφ. Ὡς οὐκ ἐπ' ἀνδρὶ πενθίμῳ πρέπεις σ' ὁρᾶν.

Εὐ.

Saltans in ignem.
Corpuſque ardente flamma
Marito commiſcens charum, &
Corpus *meum* prope corpus *mariti* ponens, *in*
Proſerpinæ deſcendam thalamos,
Te mortuum nunquam meâ
Prodens animâ ſub terra.
Valeat lux, nuptiæque.
Vtinam aliqui lecti iuſtarum nuptiarum
Argis appareant liberis *Euadne tuis*.
Tuus enim *legitimi* lecti maritus
Contabeſcens *amoris* aura ſincera,
Cum coniuge generoſum animũ *habens obiit*.

Chorus.

Atqui ecce ipſe tuus pater accedit prope
Ad nouum ſermonem, ſenex Iphis,
Quem cum non audierit prius, iam audiens dolebit.

Iph. O miſera: & ego miſer ſenex,
Venio habens duplicem luctum diuinitus.
Filium enim interfectum Thebana lancea
Eteoclum, in patriam reuecturus mortuum,
Et quærens meam filiam, quæ extra domum
Egreſſa eſt ſaltu, vxor Capanei,
Mori cupiens cum marito. tempore quidem
Superiore cuſtodiebatur domi. poſtea vero quam ego
Cuſtodiam remiſi. propter præſentia mala
Exceſſit. ſed hic ipſam coniicimus
Maxime eſſe, dicite an ſciatis.

Eua. Quid iſtas interrogas? ecce ego in ſaxo
Sicut quædam auis, ſupra rogum Capanei,
Infelix *corporis* onus penſile leuo, *libroq;* pater.

Iph. Filia, quænam aura? quę claſſis? cuius *rei* gratia
Domo relicta veniſti in hanc terram?

Eua. Impetum perciperes meorum conſiliorum,
Audiens, ſed non volo te audire pater, *quid ad hæc me impulerit.*

Iph. Quid vero, nõ eſt iuſtum patrẽ tuum ſcire? [

Eua. Eſſes iudex non ſapiens meæ voluntatis.

Iph. Hoc vero cultu cuius *rei* cauſa ornas corpus?

Eua. Iſte ornatus poſtulat aliquid eximium pater.

Iph. *At* vt ob virum, cuius mors lugetur, nõ decet *ſic ornatam* te videre.

Eua. Ad quandam enim rem nouam ſumus paratæ.
Iph. Cur vero prope ſepulchrum,& rogum ſtas?
Eua. Huc enim iam præclaram victoriam adeptura ven.
Iph. Quam victoriã adepturaꝰ hoc ex te audire cupio. uia
Eua. *Vincam* omnes mulieres,quas videt ſol.
Iph. Operibus Mineruæ,an mentis prudentia?
Eua. Fortitudine. cum marito enim mortua iacebo.
Iph. Quid ais?quid ſignificas hoc ænigmate inepto?
Eua. Deſiliam in hunc Capanei mortui rogum.
Iph. O filia, nequaquam dicas hunc ſermonẽ apud vulgus.
Eua. Hoc ipſum volo cunctos Argiuos ſcire.
Iph. Sed ne ego quidem parebo tibi facienti hæc. [nu.
Eua. Simile *eſt*,ſiquidẽ nõ poteris me prĕhẽdere rapiẽs ma-
Iamque demittitur corpus,tibi quidẽ nõ gratũ:
Nobis vero & iſti marito,qui ſimul comburetur.
Cho. O mulier atrox facinus feciſti.
Iph. Perii miſer, ó Argiuæ puellæ.
Cho. Heu,heu,hæc horrenda paſſus,
Videbis miſer audaciſſimam rem.
Iph. Neminem alium inuenietis *me* miſeriorem.
Cho. O miſer cepiſti
Senex fortunæ Oedipi
Partem,& tu miſera mea ciuitas.
Iph. Hei mihi,quare non licet hoc hominibus
„ Bis fieri iuuenes,& rurſus ſenes:
„ Nam in ædibus quidem ſi quid non rectè ſe habeat, *id*
„ Poſterioribus ſententiis emendamus:
„ Vitam vero non licet:ſi autem eſſemus iuuenes
„ Bis,& ſenes,ſi quis peccauiſſet, *id nos*
„ Duplicis vitæ compotes facti corrigeremus.
Ego enim videns alios procreare liberos,
Cupiebam etiam liberos, & *eorum* peribam deſiderio
Si vero eo veniſſem,& fuiſſem expertus liberos,
Et quale ſit patrem priuari liberis,
Nunquam veniſſem in hoc malum,in quod nũc veni.
Qui cum plantarim,& genuerim iuuenem
Fortiſſimum,poſtea nunc eo priuor.
Eia,quid igitur oportet me miſerum facere?
Ire domum?at *ibi* ſolitudinem videbo
Multarum ædium,& deſperationem meæ vitæ.

An

Ευά. Εἰς γάρ τι πρᾶγμα νεοχμὸν ἐξωρμώμεθα.
Ιφ. Κἄπειτα τύμβου καὶ πυρᾶς φαίνῃ πέλας;
Ευά. Ἐνταῦθα γὰρ δὴ καλλίνικος ἔρχομαι.
Ιφ. Νικῶσα νίκην τίνα, μαθεῖν χρῄζω σέθεν.
Ευά. Πάσας γυναῖκας, ἃς δέδορκεν ἥλιος.
Ιφ. Ἔργοις Ἀθάνας, ἢ φρενῶν εὐβουλίας;
Ευά. Ἀρετῇ. πόσει γὰρ συνθανοῦσα κείσομαι.
Ιφ. Τί φής; τί τοῦτ' αἴνιγμα σημαίνεις σαθρόν;
Ευά. Ἀΐσσω θανόντος Καπανέως τήνδ' εἰς πυράν.
Ιφ. Ὦ θύγατερ, οὐ μὴ μῦθον ἐπὶ πολλοὺς ἐρεῖς.
Ευά. Τοῦτ' αὐτὸ χρῄζω πάντας Ἀργείους μαθεῖν.
Ιφ. Ἀλλ' οὐδέ τοι σοὶ πείσομαι δρώσῃ τάδε.
Ευά. Ὅμοιον. οὐ γὰρ μὴ κίχῃς μ' ἑλὼν χερί.
Καὶ δὴ παρεῖται σῶμα, σοὶ μὲν οὐ φίλον,
Ἡμῖν δὲ, καὶ τῷ συμπυρουμένῳ πόσει.
Χο. Ἰὼ γύναι, δεινὸν ἔργον ἐξειργάσω.
Ιφ. Ἀπωλόμην δύστηνος, Ἀργείων κόραι.
Χο. Ἒ, ἒ, σχέτλια τάδε παθὼν,
Τὸ πάντολμον ἔργον ὄψει τάλας.
Ιφ. Οὐκ ἄν τιν' εὕροιτ' ἄλλον ἀθλιώτερον.
Χο. Ἰὼ τάλας μετέλαχες
Τύχας Οἰδιπόδα, γέρον,
Μέρος, καὶ σὺ πόλις ἐμὰ τλάμων.
Ιφ. Οἴμοι. τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε,
„ Νέους δὶς εἶναι, καὶ γέροντας αὖ πάλιν;
„ Ἀλλ' ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχῃ,
„ Γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα.
„ Αἰῶνα δ' οὐκ ἔξεστιν. εἰ δ' ἦμεν νέοι
„ Δὶς, καὶ γέροντες, εἴ τις ἐξημάρτανεν,
„ Διπλοῦ βίου λαχόντες, ἐξορθούμεθ' ἄν.
Ἐγὼ γὰρ ἄλλους εἰσορῶν τεκνουμένους,
Παίδων τ' ἐραστὴς ἦν, πόθῳ τ' ἀπωλλύμην.
Εἰ δ' εἰς τόδ' ἦλθον, κἀξεπειράθην τέκνων,
Οἷον στέρεσθαι πατέρα γίγνεται τέκνων,
Οὐκ ἄν ποτ' εἰς τόδ' ἦλθον, εἰς ὃ νῦν, κακόν.
Ὅστις φυτεύσας, καὶ νεανίαν τεκὼν
Ἄριστον, εἶτα τοῦδε νῦν στερίσκομαι.
Εἶεν. τί δὴ χρὴ τὸν ταλαίπωρόν με δρᾶν;
Στείχειν πρὸς οἴκους; κἆτ' ἐρημίαν ἴδω
Πολλῶν μελάθρων, ἀπορίαν τ' ἐμῷ βίῳ;

Ἢ πρὸς μέλαθρα τοῦδε Καπανέως μόλω;
Ἥδιστα, πρίν γε δή ποτ' ἦν παῖς ἥδε
μοι.
Ἀλλ' οὐκέτ' ἔστιν. ἥ γ' ἐμὴν γενειάδα
Προσήγετ' αἰεὶ στόματι, καὶ κάρα τόδε
„ Κατεῖχε χειρί. Πατρὶ δ' οὐδὲν ἥδιον
„ Γέροντι θυγατρός. ἀρσένων δὲ μείζονες
„ Ψυχαί, γλυκεῖαι δ' ἧσσον εἰς θωπεύματα.
Οὐχ ὡς τάχιστα δῆτά μ' ἄξετ' εἰς δόμους,
Σκότῳ δὲ δώσετ'. ἔνθ' ἀσιτίαις ἐμὸν
Δέμας γεραιὸν συντακεὶς ἀποφθερῶ;
Τί μ' ὠφελήσει παιδὸς ὀστέων θιγεῖν;
„ Ὦ δυσπάλαιστον γῆρας, ὡς μισῶ σ' ἔχων.
„ Μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον,
„ Νώτοισι, καὶ στρωμναῖσι, καὶ μαγγανεύμασιν
„ Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.
„ Οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι πόλιν,
„ Θανόντας ἔῤῥειν, κἀκποδὼν εἶναι νέοις.

ΑΝΑΠΑΙΣΤΟΙ.

ἡμι. Ἰώ· τάδε δὴ παίδων, καὶ δὴ φθιμένων
Ὀστᾶ φέρετε, λάβετ' ἀμφίπολοι
Γραίας ἀμενοῦς (οὐ γὰρ ἔνεστιν
Ῥώμη παίδων ὑπὸ πένθους.
Πολλοῦ δὲ χρόνου ζώσας μέτα δὴ)
Καταλειβομένας τ' ἄλγεσι πολλοῖς.
„ Τί γὰρ ἂν μεῖζον τοῦδ' ἔτι θνατοῖς
„ Πάθος ἐξεύροις,
„ Ἢ τέκνα θανόντ' ἐσιδέσθαι;

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

παῖς. Φέρω φέρω
Τάλαινα μᾶτερ ἐκ πυρὸς πατρὸς μέλη,
Βάρος μὲν οὐκ ἀβαρὲς, ἀλγέων ὕπερ.
Ἐν δ' ὀλίγῳ τἀμὰ πάντα συνθείς.
ἡμι. Ἰὼ, ἰώ.
Πᾶ δάκρυα φέρεις φίλα
Ματρὶ, τῶν ὀλωλότων,
Σποδοῦ τε πλῆθος ὀλίγον ἀντὶ σωμάτων
Εὐδοκίμων δή ποτ' ἐν Μυκήναις;
παῖς. Ἐγὼ δ' ἔρημος, ἀθλίου πατρὸς τάλας,
Ἔρημον οἶκον ὀρφανεύσομαι, λαβὼν

Οὐ

Digitized by Google

An vadam ad domum huius Capanei,
Gratiſſimam quidem *mihi* quondam, dum ſuperſtes
eſſet hæc mea filia?
Sed iam non eſt amplius. quæ meas genas
Admouebat ſemper ori, & hoc caput
„ Tenebat manu. Nihil enim dulcius *eſt* patri
„ Seni quam filia. maſculorum enim *ſunt* generoſiores
„ Animi, ſed minus dulces ad blanditias.
Non quam celerrime igitur abducetis me domum,
Tenebriſque tradetis, vbi inedia meum
Corpus ſenile conſumptum perdam?
Quid me iuuabit contingere oſſa filiæ?
„ O ineluctabilis ſenectus, quam te odi,
„ Odi etiam quotquot volunt extendere vitam
„ Vehiculis, & lectis, & incantationibus,
„ Auertentes *vitæ* curſum, ne moriantur.
„ Quos oportebat, quia nihil iuuabant Rempub.
„ Mortuos perire, & e medio ſublatos cedere iunioribus.

Semichorus.

Io. iam hæc filiorum, & *igne* iam conſumptorum
Oſſa auferte, prehendite famulæ
Anum infirmam (nullum enim ineſt
Robur, propter luctum filiorum.
Longum enim tempus *hunc luctum* iam ſeruas)
Liqueſcentemque multis doloribus.
„ Quod enim hominibus maius hoc
„ Malum inuenias,
„ Quam intueri mortuos liberos?

MONOSTROPHICA.

Puer. Fero, fero,
O miſera mater, ex rogo membra patris,
Pondus quidem non leue propter dolores,
In exiguo vero *loculo* mea omnia componens.
Semi. Hei, hei.
Quo geſtas charas lachrymas
Matri mortuorum,
Exiguamque copiam cineris pro corporibus
Eorum, qui fuerunt olim clari Mycenis?
Puer. Ego vero miſer orbatus miſero patre,
Accipiens deſertam domum viuam orbus

Non

Non in manibus patris, qui *me* genuit.

Semi. Heu, heu. vbi vero eſt labor meorum filiorum?
Vbi nocturnorum gaudiorum gratia?
Et educatio materna, & inſomnes oculorũ impenſæ?
Et dulces oris *ad os* applicationes? *i. oſculationes.*

Puer. Abierunt, nõ amplius mater tibi ſunt ſuperſtites libe-
Abierunt. æther habet eos iã [ri. *O mater.*
Conſumptos *in* cinere ignis,
Et volantes confecerunt *iter ad* Plutonem.
Pater, tu quidem audis filiorum tuorum ſermones.
Num miles aliquando militabo *propter* [fili.
Necem tuam? *vt eam vlciſcar?* **Iph.** Vtinã vero hoc fiat
Vt aliquando volente Deo mihi fiat vindicta
Paterna, *i. de tuo patre Capaneo.* nõdum hoc malũ dor-

Puer. Ah, ah. Luctuum ſatis *ſuper* fortuna. [mit.
Satis dolorum adeſt mihi.
Conſiſtam, vbi accipiet me voluptas
Græcorum ducum, æneis armis,
Extincti patris vindicem?
Adhuc ô pater, te coram aſpicere mihi videor,
Tuum iucundum oſculũ ad *meas* genas applicantem.
Verborum vero ſolatium tuorum
In aerem ſublime fertur.
Reliquiſti autem matri luctus duorum.
Teque nunquam paterni dolores relinquent.

Iph. Habeo tantum onus, quantum me perdidit.
Age circa vbera ſubiiciam cineres.

Puer. Lamentator audiens hunc ſermonem
Triſtiſſimum, attigit meum cor.
O fili, abis, non amplius charam,
Charam effigiem videbo tuæ matris.

Theſeus.

Adraſte, & mulieres ex Argiuo genere,
Videtis iſtos pueros, gerentes in manibus
Corpora fortiſſimorum parentum, quos recepi?
His ego te & ciuitas donamus:
Vos autem oportet recordantes horum gratiam
Seruare, cum videatis quæ nacti ſitis ex me.
Obs porro hæc eadẽ verba, *&* *mandata* monẽdi cauſa
Vt honore afficiatis hãc vrbẽ ſem p. filius filiorũ [dixi.

Denuo-

Οὐ πατρὸς ἐν χερσὶ, τοῦ τεκόντος.
μητ. Ἰὼ, ἰώ. ποῦ δὲ πόνος ἐμῶν τέκνων;
Ποῦ νυχευμάτων χάρις;
Τροφαί τε ματρὸς, ἄϋπνά τ' ὀμμάτων τέλη,
Καὶ φίλιαι προσβολαὶ προσώπων;
παῖς. Βεβᾶσιν, οὐκ ἔτ' εἰσί σοι μᾶτερ τέκνα.
Βεβᾶσιν. αἰθὴρ ἔχει νιν ἤδη,
Πυρὸς τετακότας σποδῷ.
Ποτανοὶ δ' ἤνυσαν τὸν ἀΐδαν.
Πάτερ, σὺ μὲν τῶν σῶν κλύεις τέκνων λόγους.
Ἆρ' ἀσπιδοῦχος ἔτι ποτ' ἀντιτείσομαι
Σὸν φόνον; ἰφ. εἰ γὰρ γένοιτο τέκνον.
Ὅταν θεοῦ θέλοντος, ἔλθοι μοι δίκα
Πατρῷος. οὔπω κακὸν τόδ' εὕδει.
παῖς. Αἶ, αἶ. γόων ἅλις τύχας,
Ἅλις ἀλγέων πάρεστί μοι.
Στάσαι. ποῦ με δέξεται γάνος
Χαλκέοισιν ὅπλοις Δαναϊδῶν στρατηλάταν,
Τοῦ φθιμένου πατρὸς ἐκδικάζειν;
Ἔτ' εἰσορᾶν σε πάτερ ἐπ' ὀμμάτων δοκῶ,
Φίλον φίλημα παρὰ γένυν τιθέντα σόν.
Λόγων δὲ παρακέλευσμα σῶν,
Ἀέρι φερόμενον οἴχεται.
Δυοῖν δ' ἄχη, ματέρι τ' ἔλιπες,
Σέ τ' οὔποτ' ἄλγη πατρῷα λείψει.
ἰφ. Ἔχω τοσόνδε βάρος, ὅσον μ' ἀπώλεσεν.
Φέρ', ἀμφὶ μαστὸν ὑποβάλω σποδόν.
παῖς. Ἔκλαυσα, τόδε κλύων ἔπος
Στυγνότατον. ἔθιγέ μου φρενῶν.
ἰφ. Ὦ τέκνον, ἔβας. οὐκέτι φίλον
Φίλον ἄγαλμ' ὄψομαι σῆς ματρός.

ΙΑΜΒΟΙ.

θη. Ἄδραστε, καὶ γυναῖκες Ἀργεῖαι γένος,
Ὁρᾶτε παῖδας τούσδ' ἔχοντας ἐν χεροῖν
Πατέρων ἀρίστων σώμαθ', ὧν ἀνειλόμην;
Τούτοις ἐγώ σε καὶ πόλις δωρούμεθα.
Ὑμᾶς δὲ τῶνδε χρὴ χάριν μεμνημένους,
Σώζειν, ὁρῶντας, ὧν ἐκύρσατ' ἐξ ἐμοῦ.
Πᾶσιν θ' ὑπεῖπον τοῖσδε τοὺς αὐτοὺς λόγους,
Τιμᾶν πόλιν τήνδ' ἐκ τέκνων ἀεὶ τέκνοις

Μνη-

Μνήμην παραγγέλλοντες, ὧν ἐκύρσατε.
Ζεὺς δὲ ξυνίστωρ, οἵ τ' ἐν οὐρανῷ θεοὶ,
Οἵων ὑφ' ἡμῶν στείχετ' ἠξιωμένοι.
ἄδ. Θησεῦ, ξυνίσμεν πάνθ', ὅσ' Ἀργείαν χθόνα
Δέδρακας ἐσθλὰ, δεομένην εὐεργετῶν,
Χάριν τ' ἀγήρω γ' ἕξομεν· γεν-
ναῖα γὰρ
Παθόντες, ὑμᾶς ἀντιδρᾶν ὀφείλομεν.
θη. Τί δῆτ' ἔθ' ὑμῖν ἄλλ' ὑπουργῆσαί με χρή;
ἄδ. Χαῖρ'. ἄξιος γὰρ καὶ σὺ, καὶ πόλις σέθεν.
θη. Ἔσται τάδ'. ἀλλὰ καὶ σὺ τῶν αὐτῶν τύχοις.
ἀθη. Ἄκουε Θησεῦ τούσδ' Ἀθηναίας λόγους,
Ἃ χρή σε δρᾶσαι, δρῶντα δ' ὠφελεῖν
τάδε.
Μὴ δῷς τάδ' ὀστᾶ τοῖσδ' ἐς Ἀργείαν χθόνα
Παισὶν κομίζειν, ῥαδίως οὕτω μεθείς.
Ἀλλ' ἀντὶ τῶν σῶν, καὶ πόλεως μοχθημάτων,
Πρῶτον λάβ' ὅρκον. τόνδε δ' ὀμνύναι χρεὼν
Ἄδραστον οὗτος κύριος τύραννος ὤν,
Πάσης ὑπὲρ γῆς Δαναϊδῶν ὁρκωμοτεῖν.
Ὁ δ' ὅρκος ἔσται, μή ποτ' Ἀργείους χθόνα
Εἰς τήνδ' ἐποίσειν πολέμιον παντευχίαν,
Ἄλλων τ' ἰόντων ἐμποδὼν θήσειν δόρυ.
Ἢν δ' ὅρκον ἐκλιπόντες ἔλθωσιν πόλιν,
Κακῶς ὀλέσθαι πρόστρεπ' Ἀργείων χθόνα.
Ἐν ᾧ δὲ τέμνειν χρὴ σφάγιά σ', ἄκουέ μου.
Ἔστι τρίπους σοι χαλκόπους εἴσω δόμων,
Ὃν Ἰλίου ποτ' ἐξαναστήσας βάθρα,
Σπουδὴν ἐπ' ἄλλην Ἡρακλῆς ὁρμώμενος,
Στῆσαί γ' ἐφεῖτο πυθικὴν πρὸς ἐσχάραν.
Ἐν τῷδε λαιμοὺς τρεῖς τριῶν μήλων τεμὼν
Ἔγγραψον ὅρκους τρίποδος ἐν κοίλῳ κύτει.
Κἄπειτα σώζειν θεῷ δὸς, ᾧ Δελφῶν μέλει,
Μνημεῖά θ' ὅρκων, μαρτύρημά θ' Ἑλλάδι.
Ἧι δ' ἂν διοίξῃς σφάγια, καὶ τρώσῃς
φόνον,
Ὀξύστομον μάχαιραν ἐς γαίας μυχοὺς
Κρύψον, παρ' αὐτὰς ἑπτὰ πυρκαϊὰς νεκρῶν.
Φόβον γὰρ αὐτοῖς, ἤν ποτ' ἔλθωσιν πόλιν,
Δειχθεῖσα θήσει, καὶ κακὸν νόστον πάλιν.

Δράσας

Denunciantes memoriam *eorum*, quæ adepti eſtis.
Iupiter autem teſtis ſit, & Dii in cælo,
Quali beneficio a nobis affecti abeatis.
Ad. Theſeu, ſcimus omnia, quibus Argiuorum agrum
Affeciſti, beneficia, rogantem afficiens beneficio.
Habebimus aũt non ſeneſcentem gratiã, nam pręclara
Cum acceperimus *beneficia*, vobis parem gratiam referre debemus.
The. Quid vero aliud oportet me vobis præſtare?
Ad. Saluus ſis: dignus enim es tu & tua vrbs.
The. Sint iſta, ſed tu quoque eadem conſequaris.
Min. Audi Theſeu hæc Mineruæ verba.
Quid oporteat te facere, facientemque iuuare *res* iſtas, *i. huic Reipub prodeſſe*.
Ne des hæc oſſa iſtis in Argiuum agrum
Pueris ferre, ſic facile dimittens *eos*,
Sed pro tuis & vrbis laboribus,
Recipe primum iuramentum. Oportet aũt iurare hũc
Adraſtum: hic *enim* rex ſummã rerũ poteſtatẽ habens,
Pro vniuerſa terra Danaidum iurabit,
Hoc autem erit iuſiurandum: nunquã Argiuos terrã
In hanc adducturos hoſtilem exercitum:
Et aliis venientibus, repugnaturos armis.
Si vero violato iuramento venerint cõtra *hãc* vrbem,
Vt Argiuorum ager male pereat precare.
In quo vero *loco* oporteat te hoſtias cędere, audi *ex* me.
Eſt tibi tripos æneis pedibus præditus intra domum,
Quem quondam Ilii ſedibus euerſis
Ad aliud negotium Hercules feſtinans,
Mandauit ſtatui ad aram Pythicam.
In hoc ſecans tria guttura trium ouium,
Inſcribe iuſiurandum in caua ſuperficie tripodis,
Deinde des ſeruandum Deo, qui Delphis præſidet,
Vt ſit & monimentum fœderis, & teſtimoniũ Græcię,
Quo autem *gladio* hoſtias, *i. hoſtiarum guttur* aperueris, & *eas* feriens peregeris cædem,
Illum acutum gladium in terræ receſſus
Abde iuxta ipſos ſeptem rogos mortuorum:
Metũ enim ipſis, ſi quando venerint *aduerſus hãc* vrbẽ,
Oſtenſus incutiet, & infelicem reditum *faciet*.

Per-

Peractis autem iſtis, mitte extra terram mortuos:
Lucum etiam, vbi ipſorum corpora purificentur igne,
Concede ad ipſum triuium Deæ Iſthmiæ.
Tibi quidem hæc dixi: ſed Argiuorum dico filiis.
Adulti capietis Iſmeni vrbem, *i. Thebas*,
Vlciſcentes necem parentum mortuorum.
Tuque Ægialeu pro patre dux
Iuuenis conſtitutus, & ab Ætolis veniens filius
Tydei, quem nominauit Diomedem pater.
Sed non oportet inuidere iuuenes genis pubeſcentes,
Et bene armatum Danaidûm exercitum ruere
Aduerſus ſeptem turres Cadmeorum, *i. Thebanorum*.
Vbi enim creueritis, venietis acerbi ipſis
Tanquam catuli leonum, expugnatores vrbis.
Non fiet aliter. epigoni verò per Græciam
Vocati facietis poſteris cantilenas.
Talem exercitum Deo duce *vobiſcum eo* ducetis.

The. Domina Minerua, parebo verbis tuis.
Tu enim me dirigis, vt non errem.
Et iſtum iuramento deuinciam, tantum tu me
Dirigas. nam te propicia vrbi
Exiſtente, in poſterum tuto habitabimus.

Chorus.

Eamus Adraſte, iuſiurandum demus
Iſti viro, & vrbi: digna enim nobis
Laborauerunt, vt colantur. *digni ſunt, qui pro laboribus ante noſtra cauſa ſuſceptis, ac toleratis, a nobis pie colantur.*

Finis Supplicum.

EVR.

Ἀράσας δὲ ταῦτα, πέμπε γῆς ἔξω νεκρούς.
Τεμοῦσα δ', ἵν' αὐτῶν σώμαθ' ἡγνίσθη πυρί,
Μὴ τῆς παρ' αὐτὴν τριόδου ἰσθμίας θεοῦ.
Σοὶ μὲν τάδ' εἶπον, παισὶ δ' Ἀργείων λέγω.
Πορθήσεθ' ἡβήσαντες Ἰσμηνοῦ πόλιν,
Πατέρων θανόντων ἐκδικάζοντες φόνον.
Σύ τ' ἀντὶ πατρὸς Αἰγιαλεῦ στρατηλάτης
Νέος καταστὰς, παῖς τ' ἀπ' Αἰτωλῶν μολὼν
Τυδέως, ὃν ὠνόμαζε Διομήδην πατήρ.
Ἀλλ' οὐ φθάνειν χρὴ συσκιάζοντας γένυν,
Καὶ χαλκοπληθῆ Δαναϊδῶν ὁρμᾶν στρατὸν,
Ἑπτάστομον πύργωμα Καδμείων ἔπι.
Πικροὶ γὰρ αὐτοῖς ἥξετ', ἐκτεθραμμένοι
Σκύμνοι λεόντων, πόλεος ἐκπορθήτορες.
Κοὐκ ἔστιν ἄλλως. ἔκγονοι δ' ἀν' Ἑλλάδα
Κληθέντες, ᾠδὰς ὑστέροισι θήσετε.
Τοῖον στράτευμα σὺν θεῷ πορεύσετε.
Θη. Δέσποιν' Ἀθάνα, πείσομαι λόγοισι σοῖς.
Σὺ γάρ μ' ἀνορθοῖς, ὥστε μὴ 'ξαμαρτάνειν.
Καὶ τόνδ' ἐν ὅρκοις ζεύξομαι. μόνον σύ με
Εἰς ὀρθὸν ἵστη. σοῦ γὰρ εὐμενοῦς πόλει
Οὔσης, τὸ λοιπὸν ἀσφαλῶς οἰκήσομεν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Στείχωμεν Ἄδραστ'. ὅρκια δῶμεν
Τῷδ' ἀνδρὶ. πόλει τ'. ἄξια δ' ἡμῖν
Προμεμοχθήκασι σέβεσθαι.

* * * * * * * *
* * * * * * * *

Εὐριπίδου Ἱκέτιδες.

ΕΥΡΙ.

ΕΥΡΙΠΙΔΟΥ

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

ARGVMEN-

Græcorum claſſis ad Troiam proficiſcens in Aulide detinebatur, quod nullus ventus nauigationem daret. Calchas vates reſpondit, Iphigeniam Agamemnonis filiam Dianæ immolandam: ita fore, vt ventus exſpiret. Agamemnon domum mittit, accerſitq; Iphigeniam, Achilli eam locaturum prætendens. Mater Clytæmneſtra vna

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Ἀγαμέμνων.	Ἰφιγένεια.
Πρεσβύτης.	Ἀχιλλεύς.
Χορός.	Θεράπων.
Μενέλαος.	Ἄγγελος.
Κλυταιμνήστρα.	

Προλογίζει δὲ ὁ Ἀγαμέμνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ὦ Πρέσβυ, δόμων τῶνδε πάροιθεν στεῖχε. Πρ. [illegible]
Τί δὲ καινουργεῖς Ἀγάμεμνον ἄναξ;
ἀγα. Πεύσῃ. Πρ. σπεύδω.
Μάλα τὸ γῆράς τοὐμὸν ἄϋπνον,
Καὶ ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεστιν.
ἀγα. Τίς ποτ' ἄρ' ἀστὴρ ὅδε πορθμεύει;
πρε. Σείριος, ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ἀΐσσων ἔτι μεσσήρης.
ἀγα. Οὔκουν φθόγγος γ' οὔτ' ὀρνίθων,
Οὔτε θαλάσσης. σιγαὶ δ' ἀνέμων
Τόνδε κατ' Εὔριπον ἔχουσιν.

Digitized by Google

EVRIPIDIS
IPHIGENIA
IN AVLIDE.

TVM XYLANDRI.

** venit. Sed re comperta, acriter cum marito expoſtulat, Achillem quoq; ſibi adſtipulantem habens. Iphigenia autem perſuadet vtriq;, vt ipſam pro ſalute Græciæ ſinant immolari. Diana vero eam cum eſſet mactanda abripit, inq; locum eius ceruum ſuppõnit. Scena Tragœdiæ eſt in Aulide. Chorus conſtat Aulidenſibus mulieribus.*

PERSONÆ HVIVS
fabulæ ſunt hæ:

Agamemnon.	*Iphigenia.*
Senex.	*Achilles.*
Chorus.	*Miniſter.*
Menelaus.	*Nuncius.*
Clytæmneſtra.	

Prologum autem agit Agamemnon.

Agamemnon.

O Senex ante hãc domũ procede. *Sen.* Procedo.
Quid vero noui moliris rex Agamemnon?
Aga. Audies. *Sen.* Feſtino.
Admodum *enim* ſenectus mea inſomnis *eſt, & vigil,*
Et acumen adeſt in oculis.
Aga. Quæ ſtella hæc vehitur cælo?
Sen. Sirius prope ſeptemplicem
Pleiada ruens, in medio ſublimis adhuc.
Aga. Non igitur eſt ſonitus neque auium,
Neque maris, & ſilentia ventorum
Iſtum Euripum continent *tranquillum.*

Sen. Quid vero tu extra tentorium proruis
Agamemnon rex?
Adhuc enim quies, *& ſomnus eſt* hic in Aulide,
Et *ſunt* immotæ cuſtodiæ murorum.
Abeamus intro. *Aga.* Felicem duco te ſenex.
„ Felicem enim duco mortalium quicunque ſine periculo
„ Vitam tranſegit ignotus, *&* inglorius:
„ Minus vero felices duco illos, qui ſunt in honoribus.
Sen. Atqui decus hîc *eſt* vitæ.
Aga. Hoc vero decus eſt lubricum.
„ Et gloriæ cupiditas
„ Dulcis quidem *eſt*, ſed dolore afficit cum adeſt.
Aliquando enim Deorum cultus non rite perfectus euertit vitam.
Aliquando vero hominum ſententiæ variæ,
Et moleſtæ *mortalium animos* exacerabant.
Sen. Non laudo iſta *in* viro principe.
„ Non ad omnia bona genuit te
„ O Agamemnon, Atreus:
„ Oportet enim te gaudere, & dolere.
„ Es enim mortalis: &, etiamſi tu non velis, *tamen*
„ Deorum numen ſic volet.
Tu vero lucernæ lumen aperiens,
Epiſtolam ſcribis
Hanc, quam adhuc geris in manibus:
Et eaſdem literas rurſus confundis,
Et obſignas, & ſolius poſtea, *denuo reſignas.*
Abiiciſque tædam humi, largas
Lachrymas effundens.
Et nulla inopia conſilii indiges, [quid laboras?
Ne inſanias: *ob mœrorem, inopiamq́ue conſilii fere inſanis.*
Quid noui, quid noui tibi adeſt ô rex?
Age, communica ſermonem nobiſcum.
Dices enim viro bono, & fideli.
Nam tuæ coniugi quondam Tyndareus me
Miſit dotem, *i. pro dotis parte,*
Iuſtumque ſponſæ comitem *&* curatorem.

Agamemnon.

Fuerunt Ledæ Theſtiadi tres virgines,
Phœbe, & Clytæmneſtra mea coniunx,

Digitized by Google

ε. Τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀΐσσεις
Ἀγάμεμνον ἄναξ;
Ἔτι δ' ἡσυχία τῇδε κατ' αὖλιν,
Καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
Στείχωμεν εἴσω. Αγα. ζηλῶ σε, γέρον.
„ Ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
„ Βίον ἐξεπέρασ' ἀγνὼς, ἀκλεής.
„ Τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.
ρε. Καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίου.
μα. Τοῦτο δέ γ' ἐστὶ τὸ καλὸν, σφαλερόν.
„ Καὶ τὸ φιλότιμον
„ Γλυκὺ μὲν, λυπεῖ δὲ προσιστάμενον.
Τοτὲ μὲν, τὰ θεῶν οὐκ ὀρθωθέν-
τ' ἀνέτρεψε βίον,
Τοτὲ δ' ἀνθρώπων γνῶμαι πολλαὶ
Καὶ δυσάρεστοι διέκναισαν.
ρέ. Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως.
„ Οὐκ ἐπὶ πᾶσι σ' ἐφύτευσ' ἀγαθοῖς,
„ Ἀγάμεμνον, Ἀτρεύς.
„ Δεῖ δέ σε χαίρειν, καὶ λυπεῖσθαι.
„ Θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
„ Τὰ θεῶν οὕτω βουλόμεν' ἔσται.
Σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας,
Δέλτον τε γράφεις
Τήνδ', ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
Καὶ ταυτὰ πάλιν γράμματα συγχεῖς,
Καὶ σφραγίζεις, λύεις τ' ὀπίσω,
Ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
Κατὰ δάκρυ χέων.
Καὶ τῶν ἀπόρων οὐδενὸς ἐνδεῖς
Μὴ οὐ μαίνεσθαι. τί πονεῖς;
Τί νέον, τί νέον περὶ σοὶ βασιλεῦ
Φέρε κοίνωσον μῦθον ἐς ἡμᾶς.
Πρὸς δ' ἄνδρ' ἀγαθὸν, πιστόν τε φράσεις.
Σῇ γάρ μ' ἀλόχῳ τότε Τυνδάρεως
Πέμπει φερνὴν,
Συννυμφοκόμον τε δίκαιον.

ΙΑΜΒΟΙ.

γα. Ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη, Κλυταιμνήστρα τ' ἐμὴ ξυνάορος,

Ἑλένη τε, ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι,
Μνηστῆρες ἦλθον, Ἑλλάδος νεανίαι.
Δειναὶ δ' ἀπειλαὶ, καὶ κατ' ἀλλήλων φόνος
Ξυνίσταθ', ὅστις μὴ λάβοι τὴν παρθένον.
Τὸ πρᾶγμα δ' ἀπόρως εἶχε Τυνδάρεῳ πατρὶ,
Δοῦναί τε, μὴ δοῦναί τε, τῆς τύχης ὅπως
Ἅψαιτ' ἄριστα. καί νιν εἰσῆλθεν τάδε,
Ὅρκους συνάψαι, δεξιάς τε συμβαλεῖν
Μνηστῆρας ἀλλήλοισι, καὶ δι' ἐμπύρων
Σπονδὰς καθεῖναι, κἀπαράσασθαι τάδε,
Ὅτου γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
Τούτῳ συναμύνειν, εἴ τις ἐκ δόμων λαβὼν
Οἴχοιτο. τόν τ' ἔχοντ' ἀπωθοίη λέχους,
Κἀπιστρατεύειν, καὶ κατασκάπτειν πόλιν.
Ἕλλην' ὁμοίως, βάρβαρόν θ', ὅπλων μέτα.
Ἐπεὶ δ' ἐπιστώθησαν, εὖ δέ πως γέρων
Ὑπῆλθεν αὐτοὺς Τυνδάρεως πυκνῇ φρενὶ,
Δίδωσιν ἑλέσθαι θυγατρὶ μνηστήρων ἕνα,
Ὅτου πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
Ἡ δ' εἵλεθ', ὥς γε μή ποτ' ὤφελεν λαβεῖν,
Μενέλαον. ἐλθὼν δ' ἐκ Φρυγῶν ὁ τὰς θεὰς
Κρίνας ὅδ', ὡς ὁ μῦθος ἀνθρώπων ἔχει,
Λακεδαίμον' ἀνθηρὸς μὲν εἱμάτων στολῇ,
Χρυσῷ τε λαμπρὸς, βαρβάρῳ χλιδήματι,
Ἐρῶν ἐρῶσαν ᾤχετ' ἐξαναρπάσας
Ἑλένην, πρὸς Ἴδης βούσταθμ' ἔκδημον λαβών.
Μενέλαος οὖν κατ' Ἑλλάδ' οἰστρήσας μόνος
Ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται,
Ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
Τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορὶ,
Τεύχη λαβόντες στενόπορ' Αὐλίδος βάθρα.
Ἥκουσι τῆσδε, ναυσίν. ἀσπίσιν θ' ὁμοῦ,
Ἵπποις τε. πολλοῖς θ' ἅρμασίν τ' ἠσκημένοι.
Κἀμὲ στρατηγεῖν, κᾆτα Μενέλεω
χάριν,
Εἵλοντο, σύγγονόν γε. τἀξίωμα δὲ
Ἄλλος τις ὤφελ' ἀντ' ἐμοῦ λαβεῖν τόδε.
Ἠθροισμένου δὲ καὶ ξυνεστῶτος στρατοῦ,
Ἥμεσθ', ἀπλοίᾳ χρώμενοι κατ' Αὐλίδα.
Κάλχας δ' ὁ μάντις ἀπορίᾳ κεχρημένος,

Ανει-

Et Helena: huius præſtantes opibus
Proci fuerunt, adoleſcentes Græciæ.
Atroces vero minæ, & mutuæ cædes
Parabãtur *ab eo* quiſquis nõ cõſecutus fuiſſet virginẽ.
Hæc igitur res dubium habebat patrẽ Tyndareũ,
Daret, an non daret, & quomodo fortunam
Optime attingeret: & hoc ei venit in mentem,
Vt iuſiurandũ mutuo darent, & dextras coniungerent
Proci inter ſe, & per ardentes victimas
Libationes demitterẽt, dirisq; votis ſe aſtrĩgerẽt, *ſe,*
Cui vxor obtigiſſet Tyndaris puella,
Huic ſimul opitulaturos eſſe, ſi quis ex domo capiens
Abiret, & depulſuros a lecto habentem, [*eam*
Et aduerſus illum militaturos, & euerſuros vrbem,
Græcam pariter, & barbaram, manu armata.
Poſtquam aũt *mutuo* fidem dederũt, tunc aſtute ſenex
Tyndareus eos fefellit callido conſilio,
Conceſſit *enim* filiæ vt eligeret vnum ex procis,
Ad quemcunque grati Veneris flatus *eam* ferrent.
Illa vero elegit (vtinã autẽ ipſe nunq̃ duxiſſet *eam*)
Menelaum. veniens autem ex Phrygibus dearum
Iſte iudex, vt habet ſermo hominum,
Lacedæmona, florens ornatu veſtium.
Et auro ſplendens, barbarico luxu,
Amans amantem abiit abreptam vehens
Helenam, in Idæ bouilia procul a patria ducens.
Menelaus igitur in Græcia incitatus œſtro, deſertus *a*
Teſtatur vetus iuſiurandũ Tyndareo datũ, [*coniuge*
Quod oporteat opem ferre iniuria affectis.
Hinc igitur Græci ruentes ad bellum,
Armis correptis *in* anguſtas Aulidis ſedes
Huius veniunt, nauibus, & clypeis ſimul,
Ac equis, & multis curribus inſtructi.
Et me Imperatorem, *primum quidem mei*, deinde vero
Menelai gratia,
Elegerunt, fratrem *ipſius*, dignitatem vero
Hanc vtinam aliquis alius nactus eſſet pro me.
Collecto autem, & congregato exercitu,
Sedemus, cum non poſſimus nauigare, in Aulide.
Calchas vero vates cum valde angeretur animo.

Reſpondit: Iphigeniam, quam genui ego,
Mactandam Dianæ habitanti hoc ſolum:
Sic aũt futuram nauigationẽ, & euerſionẽ Phryg.
Mactantibus *Iphigeniã:* nõ mactantib. vero nõ fore.
Hæc autem audiens ego, claro præconio
Iuſſi Talthybium dimittere totum exercitum,
Vt nunquam paſſurus meam filiam occîdi.
Donec tandem me frater omnem admouens rationẽ
Perſuaſit ſuſtinere atrocia. & in epiſtolæ plicis
Scribens miſi ad meam vxorem,
Vt mittat filiam tanquam nupturam Achilli:
Amplificans dignitatem viri,
Et dicens quod non velit nauigare cum Achiuis,
Niſi a nobis veniat connubium in Phthiam.
Hanc enim perſuaſionem habui ad coniugem meam,
Falſas prætexens pro puella nuptias.
Soli vero ex Græcis ſcimus, quomodo ſe habeant hæc,
Calchas, Vlyſſes, & Menelaus. Sed quæ non recte
Tunc decreui, rurſus retracto bene ſcribens
In his literis, quas in vmbra noctis
Soluentem & colligantem vidiſti me ſenex,
Sed eia vade, accipiens hanc epiſtolam,
Ad Argos. Sed quæ occultat epiſtola in plicis,
Verbis exponam tibi omnia, quæ in *ea ſunt* ſcripta.
Es enim fidelis coniugi & meæ familiæ.

Has mitto tibi præter priores
Literas, ô Ledæ germen.

Sen. Dic & ſignifica, vt etiam lingua
Conſentientia tuis literis dicam.

Aga. Ne mittas tuam filiam ad
Sinuoſam alam Eubœę
Aulidem, quæ non obruitur fluctibus, *i. tranquillam*
Nam in aliud tempus
Filiæ Hymenæos dilatos celebrabimus.

Sen. Et quomodo Achilles fruſtratus coniugio,
Non valde incandeſcens incitabit iram
Aduerſus te, & tuam coniugem?
Hoc etiam eſt periculoſum, dicas quid velis.

Aga. Nomen, non rem præbens. Achilles

Nos

Ἀνεῖλεν, Ἰφιγένειαν, ἣν ἔσπειρ᾽ ἐγὼ,
Ἀρτέμιδι θῦσαι, τῇ τόδ᾽ οἰκούσῃ πέδον,
Καὶ πλοῦν τ᾽ ἔσεσθαι, καὶ κατασκαφὰς Φρυγῶν,
Θύσασι, μὴ θύσασι δ᾽, οὐκ εἶναι τάδε.
Κλύων δ᾽ ἐγὼ ταῦτ᾽, ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ᾽ ἀφιέναι στρατὸν,
Ὡς οὔποτ᾽ ἂν τλὰς θυγατέρα κτανεῖν ἐμήν.
Οὗ δή μ᾽ ἀδελφὸς πάντα προσφέρων λόγον
Ἔπεισε, τλῆναι δεινά. κἀν δέλτου πτυχαῖς
Γράψας, ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν,
Πέμπειν Ἀχιλλεῖ θυγατέρ᾽ ὡς γαμουμένην.
Τό, τ᾽ ἀξίωμα τἀνδρὸς ἐκγαυρούμενος,
Συμπλεῖν τ᾽ Ἀχαιοῖς τοὔνεκ᾽ οὐ θέλοι λέγων,
Εἰ μὴ παρ᾽ ἡμῶν εἶσιν εἰς Φθίαν λέχος.
Πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ᾽ ἐμὴν,
Ψευδῆ συνάψας ἀντὶ παρθένου γάμον.
Μόνοι δ᾽ Ἀχαιῶν ἴσμεν ὡς ἔχει τάδε,
Κάλχας, Ὀδυσσεύς, Μενέλεως θ᾽. ἃ δ᾽ οὐ καλῶς
Ἔγνων τότ᾽, αὖθις μεταγράφω καλῶς πάλιν
Εἰς τήνδε δέλτον, ἣν κατ᾽ εὐφρόνης σκιὰν
Λύοντα, καὶ συνδοῦντά μ᾽ εἰσεῖδες, γέρον.
Ἀλλ᾽ εἶα χώρει, τάσδ᾽ ἐπιστολὰς λαβὼν,
Πρὸς Ἄργος. ἃ δὲ κέκευθε δέλτος ἐν πτυχαῖς,
Λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα.
Πιστὸς γὰρ ἀλόχῳ, τοῖς τ᾽ ἐμοῖς δόμοισιν εἶ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Πέμπω σοι πρὸς ταῖς πρόσθεν
Δέλτοις ὦ Λήδας ἔρνος.
πρε. Λέγε, καὶ σήμαιν᾽, ἵνα καὶ γλώσσῃ
Σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.
ἀγα. Μὴ στέλλειν τὰν σὰν ἶνιν πρὸς
Τὰν κολπώδη πτέρυγ᾽ Εὐβοίας,
Αὖλιν ἀκλύσταν.
Εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
Παιδὸς δαίσομεν ὑμεναίους.
πρε. Καὶ πῶς Ἀχιλλεὺς λέκτρ᾽ ἀμπλακὼν,
Οὐ μέγα φυσῶν θυμὸν ἐπαρεῖ
Σοί, σῇ τ᾽ ἀλόχῳ;
Τόδε καὶ δεινὸν, σήμαιν᾽ ὅ, τι φῄς.
ἀγα. Ὄνομ᾽ οὐκ ἔργον παρέχων Ἀχιλλεὺς,

Οὐκ οἶδε γάμους, οὐδ' ἔσθ' ὃ πράσσομεν,
Οὐδ' ὅτι κείνῳ παῖδ' ἐπέφημεν
Νυμφείους εἰς ἀγκώνων
Εὐνὰς ἐκδώσειν λέκτροις.

πρε. Δεινά γε τολμᾷς Ἀγάμεμνον ἄναξ,
Ὃς τῷ τῆς θεᾶς σὴν παῖδ' ἄλοχον
Φάσκων, ἦγες σφάγιον Δαναοῖς.

ἀγα. Οἴ μοι, γνώμας ἐξέσταν.
Αἰ, αἶ, πίπτω δ' εἰς ἄταν.
Ἀλλ' ἴθ' ἐρέσσων σὸν πόδα, γήρᾳ
Μηδὲν ὑπείκων.

πρε. Σπεύδω βασιλεῦ.

ἀγα. Μὴ νῦν μήτ' ἀλσώδεις ἵζου
Κρήνας, μήθ' ὕπνῳ θελχθῇς.

πρε. Εὔφημα θρόει.

ἀγα. Πάντῃ δὲ πόρον σχιστὸν ἀμείβων
Λεῦσσε, φυλάσσων μή τις σε λάθῃ
Τροχαλοῖσιν ὄχοις παραμειψαμένη
Παῖδα κομίζουσ' ἐνθάδ' ἀπήνη
Δαναῶν πρὸς ναῦς.

πρε. Ἔσται. Αγα. κλήθρων δ' ἐξόρμα.
Ἢν γάρ νιν πομπαῖς ἀντήσῃς,
Πάλιν ἐξόρμασον τοὺς χαλινούς,
Ἐπὶ Κυκλώπων ἱεὶς θυμέλας.

πρε. Πιστὸς δὲ, φράσας τάδε, πῶς ἔσομαι,
Λέγε, παιδί σέθεν, τῇ σῇ τ' ἀλόχῳ;

ἀγα. Σφραγῖδα φύλασσ', ἣν ἐπὶ δέλτῳ
Τήνδε κομίζεις.
Ἴθι. λευκαίνει τόδε φῶς ἤδη
Λάμπουσ' ἠώς,
Πῦρ τε τεθρίππων τῶν ἀελίου.
Σύλλαβε μόχθων.
„ Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδείς,
„ Οὐδ' εὐδαίμων.
„ Οὔπω γὰρ ἔφυ τις ἄλυπος.

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'.

χο. Ἔμολον ἀμφὶ παρακτίαν
Ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων

Κέλσ

Non nouit nuptias, neque quid agamus,
Neque quod illi filiam promiſerim
Nuptiales in complexuum
Congreſſus me daturum lectis.

Sen. Atrocia certe audes rex Agamemnon.
Sic deæ, tuam filiam ſponſam
Dicens, ducebas victimam pro Danais?

Aga. Hei mihi, mente excidi. *mentis non ſum compos,*
Heu heu. incido enim in calamitatem.
Sed vade agitans tuum pedem, ſenectæ
Nihil cedens.

Sen. Propero rex.

Aga. Ne nunc, ne nemoribus cinctos, *ac opacos* conſideas
Fontes, neque demulcearis ſomno. [*iuxta*

Sen. Bona verba quæſo.

Aga. Vbique vero præteriens biuiam viam,
Vide, obſeruans ne forte te lateat
Velocibus rotis præteruecta,
Filiam *meam* portans huc rheda,
Danaorum ad naues.

Sen. Fiet. **Aga.** Ex ſeptis igitur ocius exi.
Nam ſi eius comitatui occurras,
Retro flectes fræna,
Mittens ad ſolum Cyclopum.

Sen. Quomodo autem credetur mihi dicenti hæc
Filiæ tuæ, & tuæ coniugi, dic?

Aga. Serua ſigillum, quod ſupra literas
Has portas.
Vade. hoc *enim* lumen iam candefacit
Aurora fulgens,
Et ignis curruum Solis,
Adiuua *me in his* laboribus.
,, Nemo enim mortalium *eſt* ad finem vſque beatus,
,, Neque felix.
,, Nullus enim adhuc natus eſt omnis doloris expers.

EPODICA.

Strophe I.

Ch. 1 Veni ad littoralem
2 Arenam maritimæ Aulidis,
3 Per fluctus Euripi

4 Naui-

Nauigans, anguſtam
Chalcidem, vrbem meam relin-
quens, altricem aquarum vicinarum mari,
Inclytæ Arethuſæ:
Vt videam exercitum Achiuorum,
Et remos qui naues promouent Achiuorum
Semideorum, quomodo ad Troi-
am remis mille nauium
Flauum Menelaum
Noſtri mariti
Sequuntur, & nobilem Agamemnonem,
Vt veniant ad Helenam,
Ab Eurota in quo naſcuntur arundines,
Quam abduxit Paris paſtor:
Munus Veneris:
Quando ad rorem fontanum,
Cum Iunone & Pallade litem, litem
De forma Venus habuit.

Antiſtrophe I.

Per nemus multorum ſacrificiorum Di-
anæ veni conſpicuam
Genam meam rubefaciens
Pudore iuuenili,
Clypei munimentum, & tentoria
Armifera Danaorum vo-
lens & equorum turmas videre,
Vidi autem duos Aiaces cohabitantes,
Oilei, & Telamonis filium,
Coronam *decusq;* Salaminis,
Et Proteſilaum, in ſedibus
Delectantes ſe teſſerarum figu-
ris multiplicibus.
Et Palamedem, quem genuit filius Nep-
tuni, & Diomedem volup-
tatibus diſci gaudentem.
Et iuxta Merionem Martis
Ramum, miraculum hominibus.
Et a montibus inſularibus *profectum*
Laertis filium, & ſimul Ni-
reum formoſiſſimum Græcorum.

Epe-

Κέλσασα στενόπορθμον
Χαλκίδα, πόλιν ἐμὰν προλιποῦ-
σ' ἀγχιάλων ὑδάτων τροφὸν,
Τᾶς κλεινᾶς Ἀρεθούσας,
Ἀχαιῶν στρατιὰν ὡς ἰδοίμ' ἄν,
Ἀχαιῶν τε πλάτας ναυσιπόρους
Ἡμιθέων. ὡς ἐπὶ Τροί-
αν ἐλάταις χιλιόναυσιν,
Τὸν ξανθὸν Μενέλαον
Ἁμέτεροι πόσεις
Ἐνέπουσ', Ἀγαμέμνονά τ' εὐπατρίδαν
Στέλλειν ἐπὶ τὰν Ἑλέναν
Ἀπ' Εὐρώτα δονακοτρόφου,
Πάρις ὁ βουκόλος ἂν ἔλαβεν,
Δῶρον τᾶς Ἀφροδίτας,
Ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρᾳ Παλλάδι τ' ἔριν ἔριν
Μορφᾶς ἁ Κύπρις ἔχει.

Ἀντιστροφὴ α'.

Πολύθυτον δὲ δι' ἄλσος Ἀρ-
τέμιδος ἤλυθον ὀρομέναν
Φοινίσσουσα παρηΐδ' ἐμὰν
Αἰσχύνᾳ νεοθαλεῖ,
Ἀσπίδος ἔρυμα, καὶ κλισίας
Ὁπλοφόρους Δαναῶν θέλου-
σ' ἵππων ὄχλον τ' ἰδέσθαι,
Κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω,
Τὸν Οἰλέως, Τελαμῶνός τε γόνον,
Τῆς Σαλαμῖνος στέφανον.
Πρωτεσίλαόν τ', ἐπὶ θάκοις
Πεσσῶν ἡδομένους μορ-
φαῖσι πολυπλόκοις.
Παλαμήδεά θ', ὃν τέκε παῖς ὁ Ποσει-
δᾶνος. Διομήδεά θ', ἡ-
δοναῖς δίσκου κεχαρημένον.
Παρὰ δὲ Μηριόνην Ἄρεος
Ὄζον, θαῦμα βροτοῖσι,
Τὸν ἀπὸ νησαίων τ' ὀρέων
Λαέρτα τόκον. ἅμα δὲ Νι-
ρέα κάλλιστον Ἀχαιῶν,

Ἐπρ.

Ἐπῳδὸς. α'.

1 Τὸν ἰσάνεμόν τε ποδοῖν
2 Λαιψηροδρόμον Ἀχιλῆα,
3 Τὸν ἁ Θέτις τέκε, καὶ
4 Χείρων ἐξεπόνασεν,
5 Εἶδον αἰγιαλοῖσι
6 Παρά τε κροκάλαις
7 Δρόμον ἔχοντα σὺν ὅπλοις.
8 Ἅμιλλαν δ' ἐπόνει ποδοῖν
9 Πρὸς ἅρμα τέτρωρον
10 Ἑλίσσων περὶ νίκας.
11 Ὁ δὲ διφρηλάτας βοᾶτ' Εὔ-
12 μηλος Φερητιάδας,
13 Ὧι καλλίστους εἰδόμαν
14 Χρυσοδαιδάλτους στομίοισι πώλους
15 Κέντρῳ θεινομένους. τοὺς
16 Μὲν μέσους ζυγίους λευ-
17 κοστίκτῳ τριχὶ βαλιοὺς,
18 Τοὺς δ' ἔξω σειροφόρους
19 Ἀντήρεις καμπτοῖσι δρόμων
20 Πυῤῥότριχας, μονό-
21 χαλα δ' ὑπὸ σφυρὰ
22 Ποικιλοδέρμονας.
23 Οἷς παρεπάλλετο
24 Πηλείδας σὺν ὅπλοις παρ' ἄντυγα,
25 Καὶ σύριγγας ἁρματείους.

Στροφὴ β'.

1 Ναῶν δ' εἰς ἀριθμὸν ἤλυθον,
2 Καὶ θέαν ἀθέσφατον,
3 Τὰν γυναικείαν ὄψιν ὀμμάτων
4 Ὡς πλήσαιμι μείλινον ἁδονάν.
5 Καὶ κέρας μὲν ἦν
6 Δεξιὸν πλάτας ἔχων
7 Φθιώτας ὁ Μυρμιδόνων Ἄρης,
8 Πεντήκοντα ναυσὶ θουρίαις.
9 Χρυσέαις δ' εἰκόσιν
10 Κατ' ἄκραν Νηρῇδες ἕστασαν θεαὶ,
11 Πρύμναις σῆμ' Ἀχιλλείου στρατοῦ.

Ἀντιστροφὴ β'.

1 Ἀργείων δὲ ταῖσδ' ἰσήρετμοι

Νᾶες

Digitized by Google

Epodus I.

Et parem vento pedibus
Celeriter currentem Achillem,
Quem genuit Thetis, &
Chiron inſtituit,
Vidi *in* littore,
Et ad arenas
Curſum habentem, *i. currentem* cum armis,
Et faciebat certamen pedibus
Cum curru quadriiugo
Agitans *corpus* pro victoria.
Auriga vero clamabat Eu-
melus Pheretiades,
Cui vidi pulcherrimos
Equos frænis auro varie ornatis inſignes
Stimulo impelli,
Medios quidem iugales al-
Bis maculis diſtincta coma varios,
Illos vero, qui extra *iugum*, catenas ferebant,
Obliquos flexibus curſuum
Ruffis conſpicuos pilis, & ſolidas
Vngulas habentes ſub cruribus,
Varia pelle, *varioq; colore* præditos.
Iuxta quos ſaltabat
Pelides armatus, iuxta rotarum orbem,
Et fiſtulas, *i. modiolos*, curules.

Strophe II.

Nauium autem ad *ingentem* numerum veni,
Et ſpectaculum inenarrabile,
Muliebrem viſum oculorum
Vt implerem dulci voluptate,
Et cornu quidem erat
Dextrum remi tenens, *i. dextrum claſſis cornu tenebat.*
Phthioticus Myrmidonum exercitus,
Quinquaginta nauibus impetuoſis *vectus.*
Aureis vero ſimulachris *ſculpta*
In ſumma *nauium parte* ſtabant Nereides Deæ,
In puppibus, ſignum exercitus Achillei.

Antiſtrophe II.

Argiuorum vero iſtas paribus inſtructæ remis

2 Naues

Naues ſtabant prope.
Quarum dux Meciſtei
Erat filius, quem educat pater Talaus,
Et Capanei filius
Sthenelus. Ex Attica vero ducens
Sexaginta naues Theſei
Filius, deinceps habebat ſtationem, Deam
Palladem in equeſtribus
Alatis curribus habens collocatam,
Fauſtumque ſignum nautis.

Strophe III.

Et exercitum Bœotorum, marinas
Naues quinquaginta vidi,
Ornatas ſignis.
His autem Cadmus erat
Aureum draconem tenens
In nauium roſtris.
Leitus vero terrigena
Dux erat naualis exercitus,
Ex terra autem Phocenſi *venerat*.
Locris vero, *i Locrorum v. nomine, nauibus* his *numero* pares ducens
Naues Oilei filius, claram
Throniada vrbem relinquens *venerat*.

Antiſtrophe III.

Ex Mycenis vero Cyclopeis
Filius Atrei mittebat nautas
Centum nauium collectos.
Et ſimul erat Adraſtus
Dux, vt amicus cum amico,
Helenæ illius, quæ deſeruerat domum,
Barbararum gratia nuptiarum,
Vt ſuſciperet Græcia negotium.
Ex Pylo autem Neſtoris
Gerenii vidi
Puppes, *in quibus* ſignum taurinis pedibus effictū
Erat videre, *ſcil.* accolam Alpheum.

Epodus III.

Ænianorum autem duodecim claſſes
Nauium erant. quibus rex Guneus
Imperabat. prope vero iſtos

Νᾶες, ἔστασαν πέλας.
Ὧν ὁ Μηκιστέως στρατηλάτας
Παῖς ἦν, Ταλαὸς ὃν τρέφει πατήρ.
Καπανέως τε παῖς
Σθένελος Ἀτθίδος δ' ἄγων
Ἑξήκοντα νῆας ὁ Θησέως
Παῖς, ἑξῆς ἐναυλόχει, θεὰν
Παλλάδ' ἐν μωνύχοις
Ἔχων πτερωτοῖσιν ἅρμασι, θετὸν,
Εὔσημόν τε φάσμα ναυβάταις.

Στροφὴ γ'.

Τῶν Βοιωτῶν δ' ὅπλισμα, ποντίας
Πεντήκοντα νῆας εἰδόμαν.
Σημείοις ἐστολισμένας.
Τοῖς δὲ Κάδμος ἦν
Χρύσεον δράκοντ' ἔχων
Ἀμφὶ ναῶν κόρυμβα.
Λήϊτος δ' ὁ γηγενὴς
Ἆρχε ναΐου στρατοῦ,
Φωκίδος δ' ἀπὸ χθονός.
Λοκροῖς δὲ τοῖσδ' ἴσας ἄγων
Ναῦς Οἰλέως τόκος, κλυτὰν
Θρονιάδ' ἐκλιπὼν πόλιν.

Ἀντιστροφὴ γ'.

Ἐκ Μυκήνας δὲ τᾶς κυκλωπίας
Παῖς Ἀτρέως ἔπεμπε ναυβάτας
Ναῶν ἑκατὸν ἠθροισμένους.
Σὺν δ' Ἄδραστος ἦν
Ταγὸς, ὡς φίλος φίλῳ,
Τᾶς φυγούσας μέλαθρα
Βαρβάρων χάριν γάμων
Πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
Ἐκ Πύλου δὲ Νέστορος
Γερηνίου κατειδόμαν
Πρύμνας, σῆμα ταυρόπουν,
Ὁρᾶν πάροικον Ἀλφεόν.

Ἐπῳδὸς γ'.

Αἰνιάνων δὲ δώδεκα στόλοι
Ναῶν ἦσαν. ὧν ἄναξ Γουνεὺς
Ἆρχε. τῶνδε δ' αὖ πέλας.

4 Ἦλι

Ἤλιδος δυνάστορες,
Οὓς ἐπειοὺς ὠνόμαζε πᾶς λεώς.
Εὔρυτος δ' ἄνασσε τῶνδε.
Λευκήρετμον δ' Ἄρη-
τάφιον ἦγον. ὧν Μέγης
Ἄνασσε, Φυλέως λόχευμα,
Τὰς Ἐχίνας λιπὼν
Νήσους, ναυβάταις ἀπροσφόρους.
Αἴας δ' ὁ Σαλαμῖνος ἔντροφος,
Δεξιὸν κέρας
Πρὸς τὸ λαιὸν ξυνάγε.
Τῶν ἄσσον ὥρμει πλάταισιν
Ἐσχάταισι συμπλέκων
Δώδεκ' εὐστροφωτάταισι
Ναυσὶν, ὡς ἄϊον. καὶ ναυβάταν
Εἰδόμαν λεὼν,
Ὧι τις εἰ προσαρμόσει
Βαρβάρους βάριδας,
Νόστον οὐκ ἀποίσεται.
Ἔνθα δ' ἄϊον, εἰδόμαν
Νάϊον πόρευμα.
Τάδε κατ' οἴκους κλύουσα, συγκλήτου
Μνήμην σώζομαι στρατεύματος.

ΙΑΜΒΟΙ.

πρέ. Μενέλαε, τολμᾷς δείν', ἅ σ' οὐ τολμᾶν χρεών.
με. Ἄπελθε, λίαν γε δεσπότῃσι πιστὸς εἶ.
πρέ. Καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.
με. Κλαίοις ἄν, εἰ πράσσοις ἃ μὴ πράσσειν σε δεῖ.
πρέ. Οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φερον.
με. Οὐδὲ σὲ φέρειν δεῖ πᾶσιν Ἕλλησιν κακά.
πρέ. Ἄλλοις ἁμιλλῶ ταῦτ'. ἄφες δὲ τήνδ' ἐμοί.
με. Οὐκ ἂν μεθείμην. Πρ. οὐδ' ἔγωγ' ἀφήσομαι.
με. Σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.
πρέ. Ἀλλ' εὐκλεές τοι δεσποτῶν θνῄσκειν ὕπερ.
με. Μέθες. μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους.
πρέ. Ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
Ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.

Τροχαῖοι.

ἀγα. Ἔα. τίς ἐν πύλαισι θόρυβος, καὶ λόγων ἀκοσμία;

Elidis principes,
Quos Epeos vocabat omnis populus:
Eurytus autem imperabat his.
Albis vero remis inſtructum *naualem* exercitum
Taphium ducebat, quibus Meges
Præerat, Phylei filius,
Relictis Echidnis
Inſulis, quæ nautis ſunt inacceſſæ.
Aiax autem alumnus Salaminis,
Dextrum cornu
Siniſtro coniungebat.
Has propius habebat ſtationem remis
Extremis coniungens
Duodecim celerrimas
Naues, vt audiui, & nauticum
Populum vidi.
Cui ſi quis committat
Barbaricas naues,
Non auferet reditum, *domum non redibit.*
Hîc autem audiui, & vidi
Naualem expeditionem, *vel, agmen naualem.*
Hæc audiens domi, conuocati
Memoriam ſeruo exercitus.

Senex.

Menelae, audes atrocia, quæ te non decet audere.
Men. Apage, nimis fidelis es dominis.
Sen. Honeſtum probrum mihi exprobras.
Men. Plorabis, ſi facias, quæ te non decet facere.
Sen. Non oportet te aperire literas, quas ego fero.
Men. Neque oportet te ferre mala omnibus Græcis.
Sen. Fruſtra certas hæc, relinque vero mihi has *literas.*
Men. Non relinquam. *Sen.* Neque ego dimittam.
Men. Cito igitur cruentabo caput tuum ſceptro.
Sen. Sed glorioſum eſt mori pro dominis.
Men. Dimitte. exiſtens enim ſeruus dicis longas orationes.
Sen. O domine, iniuria afficimur, tuas enim epiſtolas
Iſte rapiens ex meis manibus vi,
Agamemnon, non vult vti iure.

Agamemnon.

Eia, quisnam tumultus eſt in foribus, quæ verborum [inſolentia?

Sen. Mea,non huius oratio eſt potior dictu.
Aga. Tu vero Menelae,quare veniſti cum iſto in contentionem, & ducis eum vi?
Men. Reſpice ad nos, vt hinc ſumã initium orationis.
Aga. Num timens non aperiam palpebras, natus ex Atrei
Men. Videsne hãc tabulam miniſtrã peſſimarum *literarum*
Aga. Video,& primum abiice hanc ex tuis manibus.
Men. Nõ,priusquã oſtẽdero oĩb' Græcis q̃ in *ea ſunt* ſcripta.
Aga. An igitur ſcis q̃ nõ decet te ſcire, relaxato ſigillo?
Men. *Scio*, vt te dolore afficiam, apertis, *cognitis* malis, quæ tu clam patraſti. [mentis.
Aga. Vbi vero has *literas* cepiſti? ô dii, ô tuæ impudentiam
Men. Expectans tuam filiam, num Argis veniat *ad* exercitũ.
Aga. Quid vero te *res* meas obſeruare oportet? nonne impudentis hoc *eſt?*
Men. Quia voluntas me vellicabat. tuus enim ſeruus non ſum.
Aga. Non *ſunt hæc* atrocia? non ſinar regere meam domum?
Men. Obliqua enim, *variaq́* ſentis. alia quidem nunc, alia vero olim, alia vero mox.
Aga. Es argutus. lingua arguta *eſt* odioſum malum.
Men. Inconſtans vero animus *eſt* iniuſta res, & non perſpicua amicis.

Volo autem te conuincere, tu vero ne præ ira
Auerſare verum. Non valde laudo te ego.
Scis quando cupiebas præfici Græcis ad Ilium,
Specie quidem non volens: voluntate vero cupiens,
Quam eras humilis, omnem dextram prehenſans,
Et habens fores patentes cuilibet popularium,
Et dãs alloquiũ ordine omnib. etiam ſi q̃s nõ volebat,
„ Moribus quærens imperium a vulgo redimere?
„ Deinde poſtquam potitus es imperio, mutans mores.
„ Amicis non amplius fuiſti ſicut ante amicus,
„ Difficilis aditu, & rarus intra clauſtra? virum vero non decet
„ Probum, *res* magnas gerentem, *& imperio decoratum*, mores mutare.
„ Sed tunc maxime firmum eſſe amicis.
„ Quando ipſe fortunatus maxime poteſt *eos* iuuare.
Hæc igitur tibi primum obieci, vbi primum te inueni malum.

Poſt-

Οὐ μεθῶ, οὐχ ὁ τῶνδε μῦθος, κυριώτερος λέγειν.
Σὺ δὲ τί τῶνδ' ἐς ἔριν ἀφῖξαι Μενέλεως, βίᾳ τ' ἄγεις;
Βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.
Μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, Ἀτρέως γεγώς;
Τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;
Εἰσορῶ· καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.
Οὐ, πρὶν ἂν δείξω Δαναοῖς ἅπασι τἀγγεγραμμένα.
Ἦ γὰρ οἶσθ' ἃ μή σε καιρὸς εἰδέναι, σήμαντρ' ἀνείς;
Ὥστε σ' ἀλγῦναί γ', ἀνοίξας ἃ σὺ κάκ' εἰργάσω λάθρα.
Ποῦ δὲ κἀλαβές νιν; ὦ θεοί, σῆς ἀναισχύντου φρενός.
Προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους εἰ στράτευμ' ἀφίξεται.
ε. Τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντου τόδε;
Ὅτι τὸ βούλεσθαί μ' ἔκνιζε. σὸς δὲ δοῦλος οὐκ ἔφυν.
Οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;
Πλάγια γὰρ φρονεῖς. τὰ μὲν νῦν, τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.
α. Εὖ κεκόμψευσαι. Πονηρὸν γλῶσσ' ἐπίφθονον σοφή.
Νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα, κοὐ σαφὲς φίλοις.
Βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μὴ τ' ὀργῆς ὕπο
Ἀποτρέπου τἀληθές. οὔκουν κατατενῶ λίαν σ' ἐγώ.
Οἶσθ', ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον,
Τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων,
Ὡς ταπεινὸς ἦς, ἁπάσης δεξιᾶς προσθιγγάνων.
Καὶ θύρας ἔχων ἀκλείστους τῷ θέλοντι δημοτῶν,
Καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι, κεἰ μή τις θέλοι,
Τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
„ Κᾆτ' ἐπεὶ κατέσχες ἀρχάς, μεταβαλὼν ἄλλους τρόπους,
„ Τοῖς φίλοισιν οὐκ ἔτ' ἦσθα τοῖς πρὶν ὡς πρόσθεν φίλος,
„ Δυσπρόσιτος, ἔσω τε κλείθρων σπάνιος; Ἄνδρα δ' οὐ χρεὼν
„ Τὸν ἀγαθὸν, πράσσοντα μεγάλα, τοὺς τρόπους μεθιστάναι,
„ Ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις,
„ Ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
Ταῦτα μέν σοι πρῶτ' ἐπῆλθον, ἵνα σε πρῶθ' ηὗρον κακόν.

Ὡς δ' ἐς Αὖλιν ἦλθες αὖθις, χὡ πανελλήνων στρατὸς,
Οὐδὲν ἦσθ', ἀλλ' ἐξεπλήσσου τῇ τύχῃ τῇ τῶν θεῶν,
Οὐρίας πομπῆς σπανίζων. Δαναΐδαι δ' ἀφιέναι
Ναῦς διήγγελλον, μάτην δὲ μὴ πονεῖν ἐν Αὐλίδι.
Ὡς δ' ἄνολβον εἶχες ὄμμα, σύγχυσίν τε, μὴ νεῶν
Χιλίων ἄρχων. Πριάμου πεδίον ἐμπλήσας δορός;
Κἀμὲ παρεκάλεις, τί δράσω; τίνα δὲ πόρον εὕρω πόθεν;
Ὥστε μὴ στερέντα σ' ἀρχῆς, ἀπολέσαι καλὸν κλέος;
Κᾆτ' ἐπεὶ Κάλχας ἐν ἱεροῖς εἶπε σὴν θῦσαι κόρην
Ἀρτέμιδι, καὶ πλοῦν ἔσεσθαι Δαναΐδαις, ἡσθεὶς φρένας,
Ἄσμενος θύσειν ὑπέστης παῖδα. καὶ πέμπεις ἑκὼν,
Οὐ βίᾳ, μὴ τοῦτο λέξῃς, σῇ δάμαρτι, παῖδα σὴν
Δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην.
Κᾆθ' ὑποστρέψας λέληψαι, μεταβαλὼν ἄλλας γραφὰς,
Ὡς φονεὺς οὐκέτι θυγατρὸς σῆς ἔσῃ μάλιστά γε.
Οὗτος αὐτός ἐστιν αἰθὴρ, ὃς τάδ' ἤκουσεν σέθεν.
» Μυρίοι δέ τοι πεπόνθασ' αὐτὸ πρὸς τὰ πράγματα,
» Ἐκπονοῦσ' ἔχοντες, εἶτα δ' ἐξεχώρησαν κακῶς.
» Τὰ μὲν ὑπὸ γνώμης πολιτῶν ἀσυνέτου, τὰ δ' ἐνδίκως,
» Ἀδύνατοι γεγῶτες αὐτοὶ διαφυλάξαι πόλιν.
Ἑλλάδος μάλιστ' ἔγωγε τῆς ταλαιπώρου στένω,
Ἣ θέλουσα δρᾶν τι κεδνὸν βαρβάρους τοὺς οὐδένας,
Καταγελῶντας ἐξανήσει διὰ σὲ, καὶ τὴν σὴν κόρην.
» Μηδέν' ἂν χρέους ἕκατι προστάτην θείμην χθονὸς,
» Μηδ' ὅπλων ἄρχοντα. νοῦν χρὴ τὸν στρατηλάτην ἔχειν
» Πόλεως. ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἢν ἔχων τύχῃ.
Χο. Δεινὸν, κασιγνήτοισι γίνεσθαι λόγους,
» Μάχας θ', ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.
Ἀγα. Βούλομαί σ' εἰπεῖν κακῶς αὖ, βραχέα, μὴ λίαν ἄνω

Βλέ-

Poſtquam vero etiam in Aulin veniſti, & totus Græcorum exercitus,
Nullus eras: ſed conſternabaris calamitate diuinitus immiſſa,
Secunda nauigatione carens: Græci vero vt dimitteres
Naues flagitabant, neque fruſtra laborares in Aulide,
Quam vero miſerum nomen habuiſſes. & quantam perturbationem, niſi nauibus
Mille præpoſitus fuiſſes, & Priami campum armatis militibus impleuiſſes.
Et me conſulebas, quid faciam? quamnam viam alicubi reperiam?
Ne priuatus imperio præclaram gloriam amitteres.
Deinde poſtquam in ſacrificiis Calchas dixit, vt mactares tuam filiam [gauiſus animo,
Dianæ, atq; ita ſecundam nauigationem fore Græcis,
Libens mactaturum te eſſe filiam tuam promiſiſti, & volens iuſſiſti
Vxorem tuam, non coactus vi (ne dixeris iſtud) tuam filiam
Huc mittere, hoc prætextu tanquã nupturam Achilli.
Deinde mutata ſententia clam alias literas miſiſti,
Quod non ſis futurus interfector filiæ tuę vllo modo.
Hic ipſe aer eſt teſtis, qui de te hæc audiuit.
„ Innumeris autem hoc accidit in negotiis gerendis.
„ Laborant vt hæc, *honores ſcil.* habeant, deinde excedunt turpiter, [vero iuſte,
„ Partim quidem ob ſtultum ciuium iudicium, partim
„ Cum non poſſint ipſi tueri Rempub.
Ego potiſſimum gemo miſeram Græciam,
Quæ cum velit aliquid glorioſum gerere contra barbaros, nihili homines,
Dimittet *eos* ridentes propter te & tuam filiam.
„ Neminem ego facerem præfectũ alicuius loci propter
„ Neq; ducem exercitus: oportet ſapere ducẽ [opes,
„ Ciuitatis. quia vir omnis *eſt* dux, ſi ſapiẽtiã habeat.
ho. Acerba *res eſt*, inter fratres fieri verba,
„ Et certamina, quando in contentionem inciderint.
ga. Volo tibi recte maledicere, idq; breuiter, ne nimis ſim, *i. videar,*

Digitized by Google

Oculos ad impudentiam deducere: ſed modeſtior *vi-*
dear erga te, [let pudore affici.
,, Vtputa qui ſis frater meus. Homo enim turpis non ſo-
Dic mihi quare acerba ſpiras, habens cruentū oculum?
Quis te iniuria afficit? qua re indiges? coniugium bo-
num recuperare cupis?
Non poſſum equidem tibi præſtare: quæ enim poſſi-
debas, *illis* male
,, Præfuiſti, *ea male gubernaſti*. An igitur ego pœnas da-
bo malorum *tuorum*, qui non peccaui?
An te mea ambitio mordet? An in complexibus
Formoſam coniugem vis, ratione contempta,
,, Et honeſtate, habere? hoīs mali malæ *ſunt* voluptates.
Quod vero ego non recte prius ſentiens, ſententiam
poſtea mutarim *vſus* recto conſilio, [ge,
,, *An ideo* inſanio? tu magis *inſanis*, q̃ amiſſa mala com-
,, *Eā* recipere vis, Deo tibi fortunam ſecūdā largiēte.
Iurauerunt Tyndareo iuramentum ſtulti, *&*
Nuptiarum cupidi proci. ſed ſpes (vt arbitror) *Dea*
Effecit hoc magis, q̃ tu, aut tuū robur. [ſtultitia mētis
Quib. aſſūptis bellū auſpicare. cognoſces aūt (opinor)
Male pactū iuſiurandū, & ſimul p̱ vi extortū *fuiſſe*.
Ego vero non interficiam meos liberos. quod autem
eſt tibi commodum, *id*
Præter ius erit, vindicta *ſcil. tua* peſſimæ coniugis.
Me vero conficient noctes, dieſque lachrymis,
Si faciam iniqua, & iniuſta in filios, quos genui.
Hęc tibi breuiter dicere volui, q̃ ſunt & clara, & facilia.
,, Quod ſi non vis ſapere, ego mea recte curabo.

Chorus.

Hi diſſimiles ſunt prius dictis
,, Sermonibus. probe autem monent parcere liberis.

Men. Heu heu, non igitur habeo miſer amicos?
Aga. Si non vis perdere amicos. [patre natus ſ
Men. Vbi vero oſtēdes, q̃ ſis *meus frater* ex eodem, quo ego
Aga. Volo tecum ſapere, ſed non ſimul furere.
Men. Atq; oportet amicos cum amicis dolere communiter.
Aga. Accerſe me recte factur⁹: ſed nō, me dolore affecturus.
Men. Annō tibi videtur in his laborādū eſſe cū Gręcia?
Aga. Græcia vero a neſcio quo lymphata Deo tecū inſanit.

Men

Βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών. ἀλλὰ σωφρονεστέρως
,, Ὡς ἀδελφὸν ὄντ'. [redacted]
,, φιλεῖ.
Εἰπέ μοι, τί δεινὰ φυσᾷς, αἱματηρὸν ὄμμ' ἔχων;
Τίς ἀδικεῖ σε; τοῦ κέχρησαι; λέκτρ' ἐρᾷς γε χρηστὰ λαβεῖν;
Οὐκ ἔχοιμ' ἄν σοι παρασχεῖν. ὧν γὰρ ἐκτήσω, κακῶς
,, Ἦρχες. εἶτ' ἐγὼ δίκην δῶσω κακῶν, ὁ μὴ σφαλείς;
Ἤ δάκνει σε τὸ φιλότιμον τοὐμόν; ἀλλ' ἐν ἀγκάλαις
Εὐπρεπῆ γυναῖκα χρῄζεις, τὸ λελογισμένον παρείς,
,, Καὶ τὸ καλὸν, ἔχειν; Πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
Εἰ δ' ἐγὼ γνοὺς πρόσθεν οὐκ εὖ, μετετέθην εὐβουλίᾳ,
,, Μαίνομαι; σὺ μᾶλλον, ὅστις ἀπολέσας κακὸν λέχος,
,, Ἀναλαβεῖν θέλεις, θεοῦ σοι τὴν τύχην διδόντος εὖ.
Ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
Φιλόγαμοι μνηστῆρες. ἡ δέ γ' ἐλπὶς, οἶμαι μὲν, θεὸς
Ἐξέπραξεν αὐτὸ μᾶλλον, ἢ σὺ, καὶ τὸ σὸν σθένος.
Οὓς λαβὼν στράτευέ γ'. οἶμαι δ' εἴσῃ μωρίᾳ φρενῶν
Τοὺς κακῶς παγέντας ὅρκους, καὶ συνηναγκασμένους.
Τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα. καὶ τὸ σὸν μὲν εὖ
Παρὰ δίκης ἔσται, κακίστης εὐνίδος τιμωρία.
Ἐμὲ δὲ συντήξουσι νύκτες, ἡμέραι τε δακρύοις,
Ἄνομα δρῶντα, κοὐ δίκαια παῖδας, οὓς ἐγεινάμην.
Ταῦτά σοι βραχέα λέλεκται, καὶ σαφῆ, καὶ ῥᾴδια.
,, Εἰ δὲ μὴ βούλει φρονεῖν εὖ, τἄμ' ἐγὼ θήσω καλῶς.

ΙΑΜΒΟΙ.

χο. Οἵδ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
,, Μῦθων. καλῶς δ' ἔχουσι φείδεσθαι τέκνων.
με. Αἰ, αἰ. φίλους ἄρ' οὐχὶ κέκτημαι τάλας.
ἀγα. Εἰ τοὺς φίλους γε μὴ θέλεις ἀπολλύναι.
με. Δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταὐτοῦ γεγώς;
ἀγα. Συσσωφρονεῖν σοι βούλομ', ἀλλ' οὐ συννοσεῖν.
με. Ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.
ἀγα. Εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.
με. Οὐκ ἄρα δοκεῖ σοι τάδε πονεῖν σὺν Ἑλλάδι;
ἀγα. Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.

Digitized by Google

με. Σκῆπτρῳ νῦν αὐχεῖς, σὸν προδοὺς κασίγνητον.
Ἐγὼ δ' ἐπ' ἄλλας εἶμι μηχανάς τινας.
Φίλους τ' ἐπ' ἄλλους. Αγ. ὦ Πανελλήνων ἄναξ
Ἀγάμεμνον, ἥκω παῖδά σοι τὴν σὴν ἄγων,
Ἣν Ἰφιγένειαν ὠνόμαζες πότ' ἐν δόμοις.
Μήτηρ δ' ὁμαρτεῖ, σῆς Κλυταιμνήστρας δέμας,
Καὶ παῖς Ὀρέστης, ὥστε τερφθείης ἰδὼν,
Χρόνον παλαιὸν δωμάτων ἔκδημος ὤν.
Ἀλλ' ὡς μακρὸν ἔτεινον, εὔρυτον παρὰ
Κρήνην ἀναψύχουσι θηλύπουν βάσιν,
Αὐταί τε πῶλοί γ'. εἰς δὲ λειμώνων χλόην
Καθεῖμεν αὐτὰς, ὡς βορᾶς γευσαίατο.
Ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
Ἥκω· πέπυσται γὰρ στρατός· ταχεῖα δὲ
Διῇξε φήμη παῖδα σὴν ἀφιγμένην.
Πᾶς δ' εἰς θέαν ὅμιλος ἔρχεται δρόμῳ
„ Σὴν παῖδ' ὅπως ἴδωσιν. Οἱ δ' εὐδαίμονες,
„ Ἐν πᾶσι κλεινοὶ, καὶ περίβλεπτοι βροτοῖς.
Λέγουσι δ', ὑμέναιός τις, ἢ τί πράσσεται.
Ἢ πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ,
Ἐκόμισε παῖδα; τῶν δ' ἂν ἤκουσας τάδε,
Ἀρτέμιδι προτελίζουσι τὴν νεάνιδα
Αὐλίδος ἀνάσσῃ. τίς νιν ἄξεταί ποτε;
Ἀλλ' εἶα. τἀπὶ τοῖσι δ' ἐξάρχου κανᾶ.
Στεφανοῦσθε κρᾶτα. καὶ σὺ Μενέλεως ἄναξ,
Ὑμέναιον εὐτρέπιζε, καὶ κατὰ στέγας
Λωτὸς βοάσθω, καὶ ποδῶν ἔστω κτύπος.
Φῶς γὰρ τόδ' ἥκει μακάριον τῇ παρθένῳ.
ἀγα. Ἐπῄνεσ'. ἀλλὰ στεῖχε δωμάτων ἔσω.
Τὰ δ' ἄλλ'. ἰούσης τῆς τύχης ἔσται καλῶς.
Οἴμοι τί φῶ δύστηνος; ἄρξωμαι πόθεν.
Εἰς οἷ' ἀνάγκης ζεύγματ' ἐμπεπτώκαμεν.
Ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
Πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
„ Ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον.
„ Καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
„ Ἄνολβά τ' εἰπεῖν. τῷ δὲ γενναίῳ φύσιν
„ Ἅπαντα ταῦτα. προστάτην γε τοῦ βίου
„ Τὸν ὄγκον ἔχομεν, τῷ τ' ὄχλῳ δουλεύομεν.
Ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,

Τὸ

Men. Tu gloriaris nunc regno, prodens tuum fratrem.
Ego vero ad alias artes me conferam,
Et ad alios amicos. *Nun.* O rex omnium Græcorum
Agamemnon, veni adducens tibi tuam filiam,
Quam Iphigeniam olim nominaſti in ædibus.
Mater autem comitatur, tua coniux Clytæmneſtra,
Et filius Oreſtes, vt delecteris conſpectu *horum:*
Quia iã pridẽ procul abes a *tuis* ædibus peregri degens.
Sed quia longum *iter* fecerunt, ad Eurytum
Fontem, reficiunt fœmineos pedes,
Et equæ ipſæ in gramen vero pratorum
Dimiſimus ipſas, vt guſtent cibum.
Ego vero præcurſor propter tuum apparatum
Venio: exercitus enim *hoc* audiuit. velox enim
Peruaſit *ipſum* fama, veniſſe tuam filiam.
Omnis igitur exercitus curſu venit ad ſpectaculum,
,, Vt videant tuam filiam. Fortunati vero *viri*
,, Inter omnes homines *ſunt* inclyti, & conſpicui.
Dicũt aũt, Eſtne aliq̃s hymenæus? aut quid agitur?
An deſiderio affectus rex Agamemnon filię,
Curauit adduci eam? ab aliis hæc audires:
Dianæ initiant adoleſcentulam
Reginæ Aulidis. quisnam eam ducet?
Sed eia omittamus hæc. tu vero primitias fer Dianæ domi,
Coronate capita, & tu rex Menelae,
Appara nuptias, & in domo
Sonet tibia, & ſonitus ſit pedum:
Venit enim hic dies felix puellæ.
Aga. Laudo: ſed vade intra ædes.
Reliqua enim fauente fortuna proſpere cedent.
Hei mihi, quid dicam miſer? a te incipiam.
In quale vinculum fati incidimus?
Anteuertit *me* fortuna, vt technis
Meis longe ſit aſtutior.
,, Ignobilitas vero quantum habet vtilitatis?
,, Etenim licet illis facile lachrymari,
,, Et dicere triſtia: nobilibus vero genere
,, Omnia iſta *negata ſunt*. gubernatorem enim vitæ
,, Habemus populum, & ſeruimus plebi.
Equidem vereor emittere lachrymas,

Rur-

Digitized by Google

Rurſus vero pudet me miſerum non lachrymari,
In maximas calamitates delapſum.
Eſto, quid dicam ad meam coniugem?
Quomodo excipiā eā? quos oculos *in eam* coniiciā?
Etenim me perdidit propter mala, quæ mihi adſunt,
Cum venerit non vocata: iure autem ſecuta eſt,
Filiam, nuptias *eius* celebratura, & chariſſimas *res*,
Datura, vbi nos inueniet perfidioſos.
Hanc vero miſeram virginem, quid virginē *vero*?
Pluto, vt opinor, eam breui ducet.
Vt *eam* miſeror. arbitror enim ipſam *mihi* ſupplicem
O pater occides me? tales nuptias [hęc dicturam.
Celebres ipſe, & quisquis tibi charus eſt.
Oreſtes autem prope ſtans, clamabit
Non intellecta intelligibiliter: adhuc enim eſt infans.
Heu heu, vt perdidit me, nuptias *cum Helena*
Celebrans Paris filius Priami, qui mihi fecit hæc.

Cho. Et ego miſericordia commoueor, quemadmodum
decet mulierem peregrinam,
Propter calamitatem principum ingemiſcere.

Men. Frater, da mihi vt tuam dextram contingam.

Aga. Do. tua eſt enim victoria, ego vero miſer.

Men. Iuro Pelopem, qui pater mei patris,
Et tui vocabatur, & Atreum qui genuit illum,
Certe dicturum me tibi eſſe ex animo, aperte,
Et nihil artificioſum, ſed ita vt ſentio.
Ego cum viderem te ex oculis emittere lachrymas,
Miſertus ſum *tui*, & ipſe viciſſim emiſi *lachrymas*, pro-
Et diſcedo a priore ſententia. [pter te,
Nō *volo* in te *eſſe* crudelis. vado. n. eo vbi tu nūc es,
Et tibi ſuadeo, ne interficias filiam *tuam*,
„ Neque anteferas meam *vtilitatem*: non enim iuſtū *eſt*
„ Te quidem gemere, me vero ſuauiter habere.
Et tuos quidem mori, meos vero aſpicere *hanc* lucem.
Quid enim volo? an non egregias nuptias
Alias apparare poſſum, ſi nuptias deſidero?
Sed perdens fratrē, quē me minime oportebat ꝑdere,
Helenam accipiam, malum pro bono?
Stultus & iuuenilis eram prius: ſed propius rem
Inſpiciēs, vidi quale *malum* ſit interficere liberos,

Præ.

Τὸ μὴ δακρῦσαι δ' αὖθις αἰδοῦμαι τάλας,
Εἰς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.
Εἶεν, τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
Πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;
Καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς, ἅ μοι πάρα,
Ἐλθοῦσ' ἄκλητος. εἰκότως δ' ἅμ' ἕσπετο
Θυγατρὶ νυμφεύσουσα, καὶ τὰ φίλτατα
Δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
Τὴν δ' αὖ τάλαιναν παρθένον, τί παρθένον;
Ἅιδης νιν ὡς ἔοικε νυμφεύσει τάχα.
Ὡς ᾤκτισ'. οἶμαι γάρ νιν ἱκετεῦσαι τάδε.
Ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
Γήμειας αὐτός, χ' ὥστις ἐστί σοι φίλος.
Παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
Οὐ συνετὰ συνετῶς. ἔτι γὰρ ἐστὶ νήπιος.
Αἶ, αἶ. τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
Γήμας ὁ Πριάμου Πάρις, ὅς μ' εἴργασται τάδε.

Χο. Κἀγὼ κατῴκτειρ', ὡς γυναῖκα δεῖ ξένην
Ὑπὲρ τυράννων συμφορᾶς καταστένειν.

Μεν. Ἀδελφέ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.

Ἀγα. Δίδωμι. σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.

Με. Πέλοπα καθόμνυμ', ὃς πατὴρ τοὐμοῦ πατρὸς,
Τοῦ σοῦ τ' ἐκλήθη, τόν τε τεκόντα τ' Ἀτρέα,
Ἦ μὴν ἐρεῖν σοι ἀπὸ καρδίας σαφῶς,
Καὶ μὴ 'πίτηδες μηδέν, ἀλλ' ὅσον φρονῶ.
Ἐγώ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ,
Ὤικτειρα, κἀυτὸς ἀντιφῆκά σοι πάλιν,
Καὶ τῶν παλαιῶν ἐξαφίσταμαι λόγων,
Οὐκ εἰς σὲ δεινός. εἰμὶ δ' οὗπερ εἶ σὺ νῦν.
Καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον,
„ Μήτ' ἀνθελέσθαι τοὐμόν. οὐ γὰρ ἔνδικον,
„ Σὲ μὲν στενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
Θνήσκειν τε τοὺς σούς, τοὺς δ' ἐμοὺς ὁρᾶν φάος.
Τί βούλομαι γάρ; οὐ γάμους ἐξαιρέτους
Ἄλλους λάβοιμ' ἄν, εἰ γάμων ἱμείρομαι;
Ἀλλ' ἀπολέσας ἀδελφόν, ὅν μ' ἥκιστ' ἐχρῆν,
Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθοῦ;
Ἄφρων, νέος τ' ἦν πρίν. τὰ πράγματα δ' ἐγγύθεν
Σκοπῶν, ἐσεῖδον, οἷον ἦν κτείνειν τέκνα.

Ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης
Εἰσῆλθε, συγγένειαν ἐννοουμένῳ,
Ἣ τῶν ἐμῶν ἕκατι θύεσθαι γάμων
Μέλλει. τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
Ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος.
Σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σὸν
Ἀδελφέ, κἀμὲ παρακαλῶν εἰς δάκρυα.
Εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστί σοι,
Μὴ 'μοὶ μετέστω. σοὶ νέμω τοὐμὸν μέρος.
Ἀλλ' εἰς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων,
Εἰκὸς πέπονθα. τὸν ὁμόθεν πεφυκότα
» Στέργων, μετέπεσον. ἀνδρὸς οὐ κακοῦ τρόποι
Τοιοίδε, χρῆσθαι τοῖσι βελτίστοις ἀεί.
χο. Γενναῖ' ἔλεξας, Ταντάλῳ τε τῷ Διὸς
Πρέποντα. προγόνους οὐ καταισχύνεις σέθεν.
ἀγα. Αἰνῶ σε Μενέλαος, ὅτι παρὰ γνώμην ἐμὴν
Ὑπέθηκας ὀρθῶς τοὺς λόγους, σοῦ τ' ἀξίως.
με. Ταραχή γ' ἀδελφῶν τις διὰ ἔρωτα γίγνεται,
» Πλεονεξίαν τε δωμάτων. ἀπέπτυσα
» Τοιάνδε συγγένειαν ἀλλήλοιν πικράν.
ἀγα. Ἀλλ' ἥκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
Θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.
με. Πῶς; τίς δ' ἀναγκάσει σε τήν γε σὴν κτανεῖν;
ἀγα. Ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.
με. Οὐκ, ἤν νιν εἰς Ἄργος γ' ἀποστελεῖς πάλιν.
ἀγα. Λάθοιμι τοῦτ' ἄν. ἀλλ' ἐκεῖν' οὐ λήσομεν.
με. Τὸ ποῖον; οὔτοι χρὴ λίαν ταρβεῖν ὄχλον.
ἀγα. Κάλχας ἐρεῖ μαντεύματ' Ἀργείων στρατῷ.
με. Οὐκ, ἢν θάνῃ γε πρόσθε. τοῦτο δ' εὐμαρές.
ἀγα. Τὸ μαντικὸν πᾶν σπέρμα, φιλότιμον κακόν.
με. Κοὐδέν γ' ἄχρηστον. οὐδὲ χρήσιμον παρόν.
ἀγα. Ἐκεῖνο δ' οὐ δέδοικας, ὅ μ' εἰσέρχεται;
με. Ὃν μὴ σὺ φράζῃς, πῶς ὑπολάβοιμι λόγον;
ἀγα. Τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.
με. Οὐκ ἔστ', Ὀδυσσεὺς ὅ, τι σὲ κἀμὲ πημανεῖ.
ἀγα. Ποικίλος ἀεὶ πέφυκε, τοῦ γ' ὄχλου μέτα.
με. Φιλοτιμία μὲν ἐνέχεται, δεινῷ κακῷ.
ἀγα. Οὐκοῦν δοκεῖ νιν στάντ' ἐν Ἀργείοις μέσοις,
Λέξαι ἃ Κάλχας θέσφατ' ἐξηγήσατο.
Κἄμ' ὡς ὑπέστην θῦμα, κᾆτα ψεύδομαι.

Ἀρτέ

Præterea verò me miſeratio infelicis puellæ
Subiit,cogitantem cognationem *noſtram*,
Quæ propter meas nuptias mactanda
Eſt. quid enim rei eſt tuæ filiæ cum Helena?
Eat exercitus dimiſſus ex Aulide.
Tu vero deſiſte oculos tuos irrigare lachrymis
Frater,& me prouocare ad lachrymas.
Quod ſi quæ oracula habes de tua filia,
Nihil ad me pertinent,tibi tribuo meam partem.
Sed veni in mutationem a crūdeli ſententia,
Æquum mihi accidit, *fratrem* eodem patre ſatum
,, Amans,mutatus ſum. Boni viri mos eſt
,, Ille, ſemper optima ſententia vti.

Cho. Generoſa dixiſti,& Tantalo filio Iouis
Digna:non dedecoras tuos maiores.

Aga. Laudo te Menelae,quod præter meam opinionem
Recte hæc verba ſubieciſti,& vt te decet.

Men. Diſcordia fit aliqua fratrum propter amorem,
,, Et cupiditatem familiæ: abominor
,; Talem cognationem acerbam mutuo.

Aga. Atqui peruenimus in neceſſarias calamitates,
Vt cruentam cædem exerceam in filiam meam.

Men. Qui?quis vero coget te tuam *filiam* occidere?

Aga. Vniuerſus conuentus copiarum Græcarum.

Men. Non,ſi rurſus ipſam Argos mittas.

Aga. Eatenus poſſim fallere, ſed illa in re nō potero fallere.

Men. Quid eſt illud?non oportet turbam nimis timere.

Aga. Calchas aperiet oracula exercitui Græcorum.

Men. Non,ſi ante moriatur hoc autem facile *eſt*.

Aga. Totum genus vatum eſt gloriæ cupidū & malū.

Men. Neque inutile neque vtile eſt.

Aga. Illud vero non times,quod mihi ſubit?

Men. Quomodo poſſum ſuſpicari eū ſermonē,quem tu non [dicis?

Aga. Genus Siſyphi nouit hæc omnia.

Men. Nihil eſt,in quo me & te lædere poſſit Vlyſſes:

Aga. Semper eſt varius apud populum.

Men. Ipſe eſt ambitioſus,quod eſt ingens malum.

Aga. Ergo puta nunc eum ſtantem in medio Græcorum
Dicturum eſſe oracula ea quæ enarrauit Calchas,
Et q̄d ego ꝓmiſerim ſacrificiū,ꝙ deinde recuſem

Dianæ

Dianæ me facturum: ita in ſuam ſententiam permutés
Me & te interfectis Græcos puellam [exercitum,
Mactare iubebit. quod ſi ad Argos fugero,
Venientes, cum ipſis mœniis Cyclopiis
Deuaſtabunt, & euertent terram.
Talia *ſunt* mea mala. ô me miſerum
Ad quam anguſtiam a Diis in hac re nunc redigor?
Vnum mihi caueto Menelae, per exercitum
Veniens, vt ne Clytæmneſtra hæc
Reſciſcat, priusquã Plutoni filiã meam acceptam im-
Vt ſim miſer breuiſſimis lachrymis. [molauero.
Vosque ô peregrinæ, ſilentium ſeruate.

E P O D I C A.

Strophe I.

Ch. Beati qui moderatæ Deæ,
,, Et cum caſtitate ſunt participes
,, Lectorum Veneris,
,, Tranquillitate fruentes.
Inſani *enim ſunt, qui agitantur Veneris* œſtro, quum
Cupido auricomus geminos
Arcus intendit gratiarum, *i. amoris gratioſi.*
Vnum quidem ad felicem vitam,
Alterum vero ad confuſionem vitæ.
Deprecor hunc *arcum* a noſtris
Thalamis, ô pulcherrima Venus.
,, Sit vero mihi moderata quidem *forma*
,, Gratia, & ſancti amores.
Et ſim participes *moderatæ* Veneris:
Immoderatam vero reiicio.

Antiſtrophe.

,, Diuerſa *ſunt* ingenia mortalium.
,, Diſſimiles etiã *ſunt* moribus. ille vero *mos rectus eſt.*
,, Bonum, & ſemper candidum *ingenium,*
,, Et educatio cum diſciplina,
,, Multum confert ad virtutem.
,, Etenim verecundia *coniuncta cum* ſapientia,
,, Et aliam quoque habet
,, Gratiam, vt *ſcil.* mente perſpicias
,, Quid conueniat, id quod gloriam affert,
,, Gloriam non ſeneſcentem *in* vita.

Ἀρτέμιδι θύσειν. ὃς ξυναρπάσας στρατὸν,
Σέ κἄμ' ἀποκτείνας τοὺς Ἀργείους, κόρην
Σφάξαι κελεύσει. κἂν πρὸς Ἄργος ἐκφύγω,
Ἐλθόντες αὐτοῖς τείχεσιν κυκλωπίοις
Ξυναρπάσουσι, καὶ κατασκάψουσι γῆν.
Τοιαῦτα τἀμὰ πήματ'. ὦ τάλας ἐγὼ,
Ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε.
Ἕν μοι φυλάξον Μενέλεως, ἀνὰ στρατὸν
Ἐλθὼν, ὅπως ἂν μὴ Κλυταιμνήστρα τάδε
Μάθῃ, πρὶν ᾅδῃ παῖδ' ἐμὴν προσθῶ λαβὼν,
Ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
Ὑμεῖς τε σιγὴν ὦ ξέναι φυλάσσετε.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Μάκαρες, οἳ μετρίας θεοῦ,
,, Μετά τε σωφροσύνας μετέσχον
,, Λέκτρων Ἀφροδίτας,
,, Γαλανείᾳ χρησάμενοι.
Μαινομένων οἴστρων, ὅθι δὴ
Δίδυμ' Ἔρως χρυσοκόμας
Τόξ' ἐντείνεται χαρίτων.
Τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ,
Τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.
Ἀπενέπω νιν ἁμετέρων
Κύπρι καλλίστα θαλάμων.
,, Εἴη δέ μοι μετρία μὲν
,, Χάρις, πόθοι δ' ὅσιοι.
Καὶ μετέχοιμι τᾶς ἀφροδίτας,
Πολλὰν τ' ἀποθείμαν.

Ἀντιστροφή.

,, Διάφοροι δὲ φύσεις βροτῶν,
,, Διάτροποι δὲ τρόποις. ὁ δ' ὀρθὸς,
,, Ἐσθλὸν σαφὲς αἰεί.
,, Τροφαί θ' αἱ παιδευόμεναι,
,, Μέγα φέρουσ' εἰς ἀρετάν.
,, Τό τε γὰρ αἰδεῖσθαι σοφία,
,, Τάν τ' ἐξαλλάσσουσαν ἔχει
,, Χάριν, ὑπὸ γνώμας ἐσορᾶν,
,, Τὸ δέον ἔνθα δόξαν φέρει,
,, Κλέος ἀγήρατον, βιοτᾷ.

,, 11 Μέ-

Digitized by Google

» Μέγα τι θηρεύειν ἀρετὰν,
» Γυναιξὶ μὲν κατὰ Κύπριν
» Κρυπτάν. ἐν ἀνδράσι δ' αὖ
» Κόσμος ἔνδον ὁ μυριοπληθὴς
» Μείζω πόλιν αὔξει.

Επῳδός.

Ἔμολες ὦ Πάρις, ᾗ τε σύ γε
Βουκόλος ἀργενναῖς ἐτράφης
Ἰδαίαις παρὰ μόσχοις,
Βάρβαρα συρίζων φρυγίων
Αὐλῶν, Ὀλύμπου καλάμοις
Μιμήματα πνέων.
Εὔθηλοι δὲ τρέφοντο βόες,
Ὅτε σε κρίσις ἔμενε θεᾶν,
Ἅ σ' Ἑλλάδα πέμπει,
Ἐλεφαντοδέτων πάροιθεν
Δόμων, ὃς τᾶς Ἑλένας
Ἐν ἀντωποῖς βλεφάροισιν
Ἔρωτα δέδωκας.
Ἔρωτι δ' αὐτὸς ἐπτοάθης.
Ὅθεν ἔρις ἔρις Ἑλλάδα σὺν δορὶ,
Ναυσί τ' ἄγει,
Ἐς Τροίας πέργαμα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ch. » Ἰὼ, ἰώ. μεγάλαι μεγάλων εὐδαιμονίαι.
Τὴν τοῦ βασιλέως
Ἴδετ' Ἰφιγένειαν, ἄνασσαν ἐμὴν,
Τὴν Τυνδαρέου τε Κλυταιμνήστραν,
Ὡς ἐκ μεγάλων ἐβλαστήκα-
σ', ἐπί τ' εὐμήκεις ἥκουσι τύχας.
Θεοί γ' οἱ κρείσσους, οἵ τ' ὀλβοφόροι,
Τοῖς οὐκ εὐδαίμοσι τῶν θνητῶν.
Στῶμεν Χαλκίδος ἔκγονα θρέμματα,
Τὴν βασίλειαν δεξώμεθ' ὄχων
Ἄπο, μὴ σφαλερῶς ἐπὶ τὴν γαῖαν,
Ἀγανῶς δὲ χεροῖν μαλακῇ γνώμῃ.
Μὴ ταρβήσῃ νεωστί μοι μολὸν
Τὸ κλεινὸν τέκνον Ἀγαμέμνονος,
Μηδὲ θόρυβον, μηδ' ἔκπληξιν
Ταῖς Ἀργείαις

ξεῖναι

,, Magnum quiddam *eſt*, venari virtutem,
,, Mulieribus quidem in Venere *ſancta, &*
,, Occulta, viris vero contra
,, Modeſtia interna, & multiplex
,, In maius auget vrbem.

Epodus.

Veniſti ô Paris, *illinc*, vbi tu
Paſtor educatus es candidos
Apud Idæos vitulos,
Canens barbaricos modos Phrygiarum
Tibiarum, Olympi calamis
Imitationem faciens. *vel, Olympico ritu calamos con-* [*nectens.*
Læti vero boues paſcebantur
Quando te dearum iudicium expectauit,
Quod te *in* Græciam miſit
Ante eburneas
Domos, qui Helenæ
In aduerſos oculos
Amorem inieciſti.
Amore vero tu ipſe ſtupefactus es,
Vnde diſcordia, diſcordia Græciam cum haſtis,
Et nauibus ducit
Ad Pergama Troiæ.

Chorus.

,, Io, io. Magnæ magnorũ *virorũ ſunt* felicitates.
Regis *filiam*
Videte Iphigeniam, reginam meam,
Et Clytæmneſtram filiam Tyndarei,
Quomodo ex magnis *viris* natæ ſint,
Et ad ſummam euectæ ſint fortunam.
Dii ſunt potentes, & largiuntur opes
Non felicibus mortalibus.
Conſiſtamus *hîc* ô Chalcidis filiæ alumnæ,
Excipiamus reginam curru
De *ſuo deſcendentem*, ne lubrice *cadat* in terram.
Hilariter vero manibus, & comi mẽte *eã excipiamus*,
Ne conſternetur recens ad nos veniens
Inclyta filia Agamemnonis,
Neque tumultum, neque terrorem
Argiuis

Hoſpitæ hoſpitibus præbeamus.

Clytæmneſtra.

Bonum augurium facimus hoc,
Tuamque comitatem, & verborum lætum omen.
Spem vero quandam habeo, quod ad felices nuptias
Adſim, adducens ſponſam. Quamobrẽ e curribus
Efferte munera dotalia, quæ puellæ fero,
Et mittite diligenter in aulam.
Tu vero ô filia mea relinque equeſtres currus,
Ponens pedem tenerum & ſimul infirmum.
Vos vero iuuenilibus in vlnis
Excipite *eam*, & deducite de curru:
Et mihi det aliquis fulcrum manus,
Sedes currus vt relinquam commode.
Vos vero *ancillæ* ſtate ante equina iuga.
(Eſt enim terribilis ferox equorum aſpectus)
Et hunc puerum, Agamemnonis filium,
Oreſtem capite. eſt enim adhuc infans.
Dormis ô fili mi, victus equeſtri vectatione?
Expergiſcere feliciter ad nuptias ſororis,
Præclari enim viri affinitatẽ, cũ ipſe honeſtus ſis,
Accipies, *Dea* Nereidos diis par genus, *ſcil.* Achillem.
Aſſideas huc ordine ad meum pedem, ô filia,
Iuxta matrem, Iphigenia, beatam vero me
Iſtis hoſpitis vicina ſtans oſtende,
Et huc iam *veniens* tuum charũ patrem ſaluta.

Iphi. O mater accurrens, (ne *mihi* ſuccenſeas)
Applicabone pectus meum ad pectus patris?

Cly. O rex Agamemnon in primis mihi colende,
Venimus non immorigeræ tuis mandatis.

Iphi. Ego vero volo ô pater, me ad tuum pectus
Accurrens applicare poſt longum tempus:
Cupio enim tuo conſpectu frui, ne iraſcaris.

Aga. Fruere igitur ô mea filia, ſemper enim patrem dilexiſti
Præ liberis aliis, quos ego genui.

Iphi. O pater, intueor te lubens poſt longum tempus.

Aga. Et ego te, ex æquo vtriſque conuenit quod dicis.

Iphi. Salue, bene aũt feciſti pater, q̃ me ad te adduci curaſti.

Aga. Equidẽ ô mea filia, neſcio quid vel affirmẽ, vel negem.

Iphi. Hei mihi, quã me nõ tranquille intueris, cũ me libens videris.

Aga.

Ξεῖναι ξείναις παρεχώμεθα.

ΙΑΜΒΟΙ.

λυ. Ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
Τὸ σόν τε χρηστὸν, καὶ λόγων εὐφημίαν.
Ἐλπίδα δ' ἔχω τιν', ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
Πάρειμι νυμφαγωγός. ἀλλ' ὀχημάτων
Ἔξω πορεύεσθ' ἃς φέρω φερνὰς κόρῃ,
Καὶ πέμπετ' εἰς μέλαθρον εὐλαβούμενοι.
Σὺ δ' ὦ τέκνον, μοι λεῖπε πωλικοὺς ὄχους,
Ἁβρὸν τιθεῖσα κῶλον, ἀσθενές θ' ἅμα.
Ὑμεῖς δὲ νεανίδαισιν ἀγκάλαις ἔπι,
Δέξασθε, καὶ πορεύσατ' ἐξ ὀχημάτων,
Καί μοι χερός τις ἐνδότω στηρίγματα,
Θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
Αἱ δ' εἰς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν.
Φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν.
Καὶ παῖδα τόνδε, τὸν Ἀγαμέμνονος γόνον,
Λάζυσθ' Ὀρέστην. ἔτι γὰρ ἐστὶ νήπιος.
Τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
Ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς.
Ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος, αὐτὸς ἐσθλὸς ὢν,
Λήψῃ, τὸ Νηρῆδος παιδὸς, ἰσόθεον γένος.
Ἑξῆς κάθησο δεῦρό μου ποδὸς, τέκνον,
Πρὸς μητέρ' Ἰφιγένεια, μακαρίαν δέ με
Ξέναισι ταῖσδε πλησία σταθεῖσα δὸς,
Καὶ δεῦρο δὴ πατέρα πρόσειπε σὸν φίλον.
ἰφι. Ὦ μῆτερ, ὑποδραμοῦσά γ', ὀργισθῇς δὲ μὴ,
Πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ προσβαλῶ;
κλυ. Ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
Ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.
ἰφι. Ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν' ὦ πάτερ
Ὑποδραμοῦσα, προσβαλεῖν διὰ χρόνου.
Ποθῶ γὰρ ὄμμα δὴ σόν. ὀργισθῇς δὲ μή.
ἀγα. Ἀλλ' ὦ τέκνον χρεών, φιλοπάτωρ δ' ἀεί ποτ' εἶ,
Μάλιστα παίδων τῶνδ', ὅσους ἐγὼ τέκον.
ἰφι. Ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.
ἀγα. Καὶ γὰρ πατήρ σε. τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.
ἰφι. Χαῖρ'. εὖ δέ μ' ἀγαγὼν πρὸς σ', ἐποίησας πάτερ.
ἀγα. Οὐκ οἶδ' ὅπως φῶ τοῦτο, καὶ μὴ φῶ, τέκνον.
ἰφι. Ἔα. Ὡς οὐ βλέπεις μ' εὔκηλον, ἄσμενός μ' ἰδών.

ἀγα. Πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.
ἰφι. Πρὸς ἐμοῦ γενοῦ νῦν, καὶ μὴ 'πὶ φροντίδας τρέπου.
ἀγα. Ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.
ἰφι. Μέθες νυν ὀφρὺν, ὄμμα τ' ἔκτεινον φίλον.
ἀγα. Ἰδοὺ γέγηθ', ὡς γέγηθά σ' ὁρῶν, τέκνον.
ἰφι. Κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;
ἀγα. Μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.
ἰφι. Οὐκ οἶδ', ὅ, τι φῄς. οὐκ οἶδα, φίλτατ' ἐμοὶ πάτερ.
ἀγα. Συνετὰ λέγουσα, μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.
ἰφι. Ἀσύνετα μὲν γ' ἐροῦμεν, εἰ σέ γ' εὐφρανῶ.
ἀγα. Παπαί· τὸ σιγᾶν οὐ σθένω. σὲ δ' ᾔνεσα.
ἰφι. Μέν' ὦ πάτερ κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.
ἀγα. Θέλω γε. τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.
ἰφι. Ὄλοιντο λόγχαι, καὶ τὰ Μενέλεω κακά.
ἀγα. Ἄλλους ὀλεῖ πρόσθεν, ἅ με διολέσαντ' ἔχει.
ἰφι. Ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς.
ἀγα. Καὶ νῦν γέ μ' ἴσχει δή τι, μὴ στέλλειν στρατόν.
ἰφι. Ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκῆσθαι, πάτερ;
ἀγα. Οὗ μή ποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
ἰφι. Μακρὰν ἀπαίρεις ὦ πάτερ λιπὼν ἐμέ;
ἀγα. Εἰς ταυτὸν ὦ θύγατερ σύ θ' ἥκεις σῷ πατρί.
ἰφι. Φεῦ. εἴθ' ἦν καλόν μοι, σοί τ', ἄγειν σύμπλουν ἐμέ.
ἀγα. Αἰτεῖς τί; καί σοι πλοῦς, ἵνα μνήσῃ πατρός.
ἰφι. Σὺν μητρὶ πλεύσασ', ἢ μόνη πορεύσομαι;
ἀγα. Μόνη μονωθεῖσ' ἀπὸ πατρὸς, καὶ μητέρος.
ἰφι. Ἤ πού μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;
ἀγα. Ἔα γέ τ'. οὐ χρὴ τοιάδ' εἰδέναι κόρας.
ἰφι. Σπεῦδ' ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
ἀγα. Θῦσαί με θυσίαν πρῶτα δεῖ τιν' ἐνθάδε.
ἰφι. Ἀλλὰ ξὺν ἱεροῖς χρὴ τόδ' εὐσεβὲς σκοπεῖν.
ἀγα. Εἴσῃ σύ. χερνίβων γὰρ ἑστήξῃ πέλας.
ἰφι. Στήσομεν ἄρ' ἀμφὶ βωμὸν ὦ πάτερ χορούς;
ἀγα. Ζηλῶ σε μᾶλλον, ἤ με, τοῦ μηδὲν φρονεῖν.
Χώρει δὲ μελάθρων ἐντὸς, ὀφθῆναι κόραις,
Πικρὸν φίλημα δοῦσα, δεξιάν τ' ἐμοί,
Μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.

Ὦ στέρ-

. Multa regi & duci curanda ſunt.
. Da te mihi nunc, nec ad *alias* curas conuertaris.
:. Atqui ſum tecum totus, non alibi.
. Remitte nunc ſupercilium, oculosq; lætos exporrige.
ı. Ecce iam lætor, ſed tantiſper dum te video, filia.
i. Et tamen lachrymas ex oculis tuis profundis?
a. Longa enim *erit* nobis ſequens, *& in poſterum futura* abſentia.
i. Neſcio mi chariſſime pater, neſcio quid dicas.
a. Quod prudenter loqueris, eo magis me ad miſeratio-nem commoues.
ri. Dicemus igitur ſtulta, ſi modo te exhilarabo.
ga. Papæ. non poſſum tacere: te vero laudo.
hi. Maneô pater domi cum tuis liberis.
ga. Volo quidem, & cum non poſſim velle, doleo.
hi. Valeant haſtæ, & mala Menelai.
ga. Prius alios perdent, quæ me perdiderunt.
hi. Quā longū abſuiſti tempus in Aulidis receſſibus?
ga. Prohibet me nunc etiā aliquid nō traiicere exercitum.
hi. Pater, vbi dicunt Phrygas habitare?
ga. Vbi vtinam nunquam habitaſſet Paris Priami filius.
phi. Procul nauigas ô pater, deſerens me?
Aga. Eodem, ô mea filia, tu quoque venis cum patre.
Iphi. Oh. Vtinam eſſet honeſtum mihi, tibique, me naui-gationis comitem tecum ducere.
Aga. Quid poſtulas? & tibi *erit* nauigatio, vt ſis memor pa-[tris.
Iphi. An cum matre nauigans, an ſola proficiſcar?
Aga. Sola, ſegregata a patre & matre.
Iphi. An igitur in alias ædes me collocabis pater?
Aga. Mitte hæc. non enim oportet puellas hæc ſcire.
Iphi. Pater propera, vt redeas ex Phrygibus, rebus illic recte curatis.
Aga. Oportet me prius hic quoddam ſacrificium facere.
Iphi. Atq; cū ſacerdotibus oportet deliberare hāc ſacrā rem.
Aga. Tu ſcies: aſtabis enim prope lauacrum.
Iphi. O pater, faciemusne chorum circa aram?
Aga. Duco te hoc eſſe beatiorē, q̄ me, ꝙ nihil *horum* intelli-[gas.
Sed in atrium eas, vt videant te puellæ.
Dediſti mihi acerbum oſculum & dextram,
Cum ſis longo tempore abfutura a patre.

O pectora, & genas, ô flauos capillos,
Quantum dolorem nobis attulit Troia,
Et Helena: deſino loqui. ſubitus enim
Humor oculorum vrget me, cum te tango.
Abi in aulam. Te vero deprecor hæc,
O filia Ledæ, quod valde miſericordia afficiar,
Quod ſim Achilli filiam elocaturus meam.
„ Eſt quidem felix ablegatio, ſed tamen
„ Mordet parentes, quando alienis ædibus
„ Tradit liberos pater, quos multo labore educauit.
Cly. Non ita ſtulta ſum: paſſuram vero me
Et ipſam eadē exiſtimes (vt nihil opus ſit te monere)
Quando puellam educam cum Hymenæo.
Sed & lex & ætas idem poſtulant, vt elocetur:
Nomen igitur ſcio *eius* cui deſpondiſti filiam.
Cupio autem ſcire ex quo genere ſit, & vnde.
Aga. Ægina filia natá eſt *ex* Aſopo patre.
Cly. Hāc vero mortaliūne, an Deorū aliq̃s *vxorē ſibi iūxit?*
Aga. Iupiter. Æacúm vero genuit, Oenones principem.
Cly. Sed quisnam filius Æaci obtinuit domum?
Aga. Peleus. Peleus autem habebat filiam Nerei.
Cly. Deone concedente, an inuitis Diis *eam* accipiens?
Aga. Iupiter deſponſauit, & pater locauit.
Cly. Vbinam ducit illam? an in fluctibus marinis?
Aga. *Ibi* vbi Chiron habitabat honeſtam ſedem Pelei.
Cly. Vbi aiunt habitare genus Centaurorum?
Aga. Ibi dii celebrarunt nuptias Pelei.
Cly. Sed vtrum *mater* Thetis educauit Achillem, an pater?
Aga. Chiron, ne diſceret mores malorum hominum.
Cly. Hem. Sapiēs educator, at ſapiētior q̃ tradidit educādū.
Aga. Talis vir maritus erit tuæ filiæ.
Cly. Non contemnendus. Sed in qua vrbe Græciæ habitat?
Aga. Ad flumen Apidanum in finibus Phthiæ.
Cly. Eone abducet tuam, meamque virginem?
Aga. Hæc erunt curæ illi, qui poſſidebit *ipſam.*
Cly. Sint igitur beati. quo vero die ducet *eam?*
Aga. Quum lunæ felix venerit orbis. *i. quū erit plenilunium.*
Cly. Iamne mactaſti Deæ initiales victimas nuptiarū filiæ?
Aga. Mactabo. nam in hoc negotio iam ſumus occupati.
Cly. An vero deinde celebrabis conuiuium nuptiale?

Aga.

Ὦ στέρνα, καὶ παρηΐδες, ὦ ξανθαὶ κόμαι,
Ὡς ἄχθος ἡμῖν ἐγένεθ' ἡ Φρυγῶν πόλις,
Ἑλένη τε. παύω τοὺς λόγους. ταχεῖα γὰρ
Νοτὶς διώκει μ' ὀμμάτων, ψαύσαντά σου.
Ἴθ' εἰς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
Μέλλων Ἀχιλλεῖ θυγατέρ' ἐκδώσειν ἐμήν.
„ Ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ' ὅμως
„ Δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
„ Παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.
λυ. Οὐχ ὧδ' ἀσύνετός εἰμι. πείσεσθαι δέ με
Καὐτὴν δόκει τάδ', ὥστε μή σε νουθετεῖν,
Ὅταν ξὺν ὑμεναίοισιν ἐξάγω κόρην.
Ἀλλ' ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
Τοὔνομα μὲν οὖν παῖδ' οἶδ' ὅτῳ κατῄνεσας,
Γένους δὲ ποίου, χ' ὁπόθεν, μαθεῖν θέλω.
ἀγα. Αἴγινα θυγάτηρ ἐγένετ', Ἀσωποῦ πατρός.
κλυ. Ταύτην δὲ θνητῶν, ἢ θεῶν ἔζευξέ τις;
ἀγα. Ζεύς. Αἰακὸν δ' ἔφυσεν, Οἰνώνης πρόμον.
κλυ. Τοῦ δ' Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
ἀγα. Πηλεύς. ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην.
κλυ. Θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
ἀγα. Ζεὺς ἠγγύησε, καὶ δίδωσ' ὁ κύριος.
κλυ. Γαμεῖ δὲ ποῦ νιν; ἢ κατ' οἶδμα πόντιον;
ἀγα. Χείρων ἵν' οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
κλυ. Οὗ φασὶ κενταύρειον οἰκεῖσθαι γένος;
ἀγα. Ἐνταῦθ' ἐδαίσαν Πηλέως γάμους θεοί.
κλυ. Θέτις δ' ἔθρεψεν, ἢ πατὴρ Ἀχιλλέα;
ἀγα. Χείρων, ἵν' ἤθη μὴ μάθῃ κακῶν βροτῶν,
κλυ. Φεῦ. σοφός γ' ὁ θρέψας, χ' ὁ διδοὺς σοφωτέροις.
ἀγα. Τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
κλυ. Οὐ μεμπτός. οἰκεῖ δ' ἄστυ ποῖον Ἑλλάδος;
ἀγα. Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
κλυ. Ἐκεῖσ' ἀπάξει σὴν ἐμήν τε παρθένον;
ἀγα. Κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
κλυ. Ἀλλ' εὐτυχείτων. τίνι δ' ἐν ἡμέρᾳ γαμεῖ;
ἀγα. Ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
κλυ. Προτέλεια δ' ἤδη παιδὸς ἔσφαξας θεᾷ;
ἀγα. Μέλλω γ'. ἐπὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
κλυ. Κἄπειτα δαίσεις τοὺς γάμους εἰσύστερον;

Digitized by Google

ἀγα. Θύσας γε θύμαθ', ἅπερ μ' ἐχρῆν θῦσαι θεοῖς.
κλυ. Ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
ἀγα. Ἐνθάδε παρ' εὐπρύμνοισιν Ἀργείων πλάταις.
κλυ. Καλῶς δ', ἀναγκαίως τε, συνενέγκαι δ' ὅμως.
ἀγα. Οἶσθ' οὖν ὃ δρᾶσον ὦ γύναι; πιθοῦ δέ μοι.
κλυ. Τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
ἀγα. Ἡμεῖς μὲν ἐνθάδ', οὗπερ ἔσθ' ὁ νυμφίος.
κλυ. Μητρὸς τί χωρὶς δράσεθ' ἅ με δρᾶν χρεών;
ἀγα. Ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
κλυ. Ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
ἀγα. Χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει.
κλυ. Λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
ἀγα. Ἐγὼ παρέξω φῶς, ὃ νυμφίοις πρέπει.
κλυ. Οὐχ ὁ νόμος οὗτος, καὶ σὺ δὲ φαῦλ' ἡγῇ τάδε.
ἀγα. Οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ.
κλυ. Καλὸν τεκοῦσαν τἀμά γ' ἐκδοῦναι τέκνα.
ἀγα. Καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
κλυ. Ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
ἀγα. Πιθοῦ. Κλυ. Μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
Ἐλθὼν δὲ, τἄξω πρᾶσσε, τὰν δόμοις δ' ἐγώ,
Ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.
ἀγα. Οἴμοι. μάτην ἦξ', ἐλπίδος δ' ἀπεσφάλην,
Ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.
Σοφίζομαι δὲ, κἀπὶ τοῖσι φιλτάτοις
Τέχνας πορίζω, πανταχῇ νικώμενος.
Ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ,
Τὸ τοῦ θεοῦ φίλον γ', ἐμοὶ δ' οὐκ εὐτυχὲς,
Ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος.
„ Χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
„ Γυναῖκα χρηστὴν, κἀγαθὴν, ἢ μὴ τρέφειν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

χο. 1 Ἥξει δὴ Σιμόεντα, καὶ
2 Δίνας ἀργυροειδεῖς,
3 Ἄγυρις Ἑλλάνων στρατιᾶς,
4 Ἀνά τε ναυσὶν, καὶ σὺν ὅπλοις
5 Ἴλιον ἐς τὸ Τροΐας
6 Φοιβήϊον δάπεδον,

7 Τὰν

ga. Cum mactauero victimas, quas me diis immolare oportet.
ly. Nos vero vbi nam faciemus conuiuium mulieribus?
ga. Hic ad naues Græcorum bene puppatas.
ly. Probe & neceſſe eſt ita fieri, attamen confer aliquid.
ga. O vxor, ſcis ne quid factura ſis? pare autem mihi.
ly. Quam rem *faciam?* nam ſoleo tibi obtemperare.
ga. Nos quidem illic, vbi eſt ſponſus.
ly. An ſine matre facietis aliq̃d *eorũ*, quæ me facere oportet?
ga. Elocabimus tuam filiam inter Græcos.
ly. Sed vbi nos interim oportet eſſe?
Aga. Proficiſcere Argos, & cura virgines.
Cly. Relicta filia? quis vero præferet ſublatam facem?
Aga. Ego exhibebo facem, quæ conuenit ſponſis.
Cly. Non hoc moris *eſt*, & tu ipſe iudicas hæc indecora.
Aga. Non te decet verſari in exercitus turba.
Cly. Atq; honeſtũ *eſt* me matrẽ meos ſaltẽ elocare liberos.
Aga. *Honeſtum eſt* etiam puellas non ſolas eſſe domi.
Cly. Bene cuſtodiuntur firmis gynæceis.
Aga. Pare. *Cly.* Non per deam reginam Argiuorum.
Profectus igitur, quæ foris ſunt age, res vero domeſticas ego *curabo*,
Quas oportet habere puellas nubentes.
Aga. Hei mihi. Fruſtra veni, fruſtratusque ſum ſpe,
Volens coniugem dimittere e conſpectu,
Vtor autem fallaciis, & aduerſus chariſſimos
Excogito technas, & tamen vndique vincor.
Attamen cum Calchante vate,
Quid deæ gratum, mihi vero non felix *ſit*,
Percontaturus eo, calamitates Græciæ.
„ Oportet autem virum ſapientem in ædibus alere
„ Vxorẽ commodã, & bonã, aut *omnino* nullã alere.

EPODICA.

Strophe.

Ch. 1 Veniet igitur ad Simoenta, &
2 Argenteos, *limpidosq;* vortices,
3 Cœtus exercitus Græcorum,
4 In nauibus, & cum armis
5 *Ad* Ilium, in Troiam,
6 Phœbeum ſolum.

7 Vbi

Vbi audio Caſſandram
Diffundere flauos crines,
Viridi corona lauri
Ornatam, quando Dei
Varia numina aſpirant.

Antiſtrophe.

Stabunt autem in Pergamis, *& arcibus*
Troiæ, & circa muros
Troiani, cum Mars æreis ſcutis armatus,
Marinus, *i. per mare vectus* velocibus nauibus,
Remigatione appropinquabit
Ad Simoentis alueos,
Geminorum in cælo
Dioſcurorum, *Caſtoris, & Pollucis, Iouis filiorũ, ſororem* [Helenam
Referre volens a Priamo
In terram Græcorum, militaribus, *trucibusq;*
Clypeis, & haſtis Græcorum.

Epodus.

Pergamum vero, vrbem Phrygum
Lapideas circum circa turres,
Cingens Marte cruento,
A ceruicibus reſecta *ciuium* capita
Auellens *in* vrbe Troiæ,
Euertens funditus vrbem,
Faciet puellas multum lachrymari,
Et coniugem Priami.
Helena vero Iouis
Filia multum plorans erit, *i. multum lugebit,*
Relicto marito.
Neque mihi,
Neq; meis liberorum liberis, *i. nepotibus, poſteriſq;*
Hæc ſpes vnquam veniat,
Qualem diuites Ly-
dæ, & vxores Phrygum
Statuent, ad telam collo-
quentes hæc inter ſeſe:
Quis bene comptos capillos,
Propugnaculum lachrymoſum audiens *noſtræ*
Patriæ pereuntis, *ac euerſæ*, reſcindet?
Propter te filiam cygni ſuperbientis longo collo,

Τὰν Κασσάνδραν ἵν' ἀκούω
Ῥίπτειν ξανθοὺς πλοκάμους,
Χλωροκόμῳ στεφάνῳ δάφνας
Κοσμηθεῖσαν, ὅταν θεοῦ
Παντόσυνοι πνεύσωσ' ἀνάγκαι.

Ἀντιστροφή.

Στήσονται δ' ἐπὶ περγάμων
Τροίας, ἀμφί τε τείχη
Τρῶες, ὅταν χάλκασπις Ἄρης
Πόντιος εὐπρώροισι πλάταις
Εἰρεσίᾳ πελάζῃ
Σιμοεντίοις ὀχετοῖς,
Τὰν τῶν ἐν αἰθέρι δισσῶν
Διοσκούρων Ἑλέναν
Ἐκ Πριάμου κομίσαι θέλων
Εἰς γᾶν Ἑλλάδα, δοριπόνοις
Ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.

Ἐπῳδός.

Πέργαμον δὲ, Φρυγῶν πόλιν,
Λαΐνους περὶ πύργους
Κυκλώσας Ἄρει φονίῳ,
Λαιμοτόμους κεφαλὰς
Σπάσας πόλισμα Τροίας,
Πέρσας κατάκρας πόλιν
Θήσει κόρας πολυκλαύτους,
Δάμαρτά τε Πριάμου.
Ἁ δὲ Διὸς Ἑλένα,
Κόρα, πολύκλαυτος ἐστῖται,
Πόσιν προλιποῦσα.
Μήτ' ἐμοὶ,
Μήτ' ἐμοῖσι τέκνων τέκνοις
Ἐλπὶς ἅδε ποτ' ἔλθοι,
Οἵαν αἱ πολύχρυσοι Λυ-
δαὶ καὶ Φρυγῶν ἄλοχοι
Στήσουσι παρ' ἱστοῖς μυ-
θεῦσαι τόδ' ἐς ἀλλήλας.
Τίς ἄρα μ' εὐπλοκάμους κόμας
Ἔρυμα δακρυόεντ' ἀκούσας
Πατρίδος ὀλομένας, ἀπολωτιεῖ;
Διά σε τὰν κύκνου δολιχαύχενος γόνον,

Εἰ

23 Εἰ δὴ φάτις ἔτυμος,
24 Ὡς ἔτυχε Λήδᾳ ὄρνιθ' ἱπταμένῳ
25 Διὸς ὅτ' ἀλλάχθη δέμας,
26 Εἴτ' ἐν δέλτοις πιερίσι
27 Μῦθοι τάδ' ἐς ἀνθρώπους
28 Ἤνεγκαν παρὰ καιρὸν, ἄλλως.

Ι·ΑΜΒΟΙ.

ἀχ. Ποῦ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
Τίς ἂν φράσειε προσπόλων, τὸν Πηλέως
Ζητοῦντα νιν παῖδ' ἐν πύλαις Ἀχιλλέα;
Οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
Οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων,
Οἴκους ἐρήμους ἐκλιπόντες, ἐνθάδε
Θάσσουσ' ἐπ' ἀκταῖς. οἱ δ' ἔχοντες εὐνίδας,
Ἄπαιδες. οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
Τῆσδε στρατείας Ἑλλάδι γ', οὐκ ἄνευ θεῶν.
Τοὐμὸν μὲν οὖν δίκαιον, ἐμὲ λέγειν χρεών.
Ἄλλος δ' ὁ χρῄζων, αὐτὸς ὑπὲρ αὐτοῦ φράσει.
Γῆν γὰρ λιπὼν Φάρσαλον, ἠδὲ Πηλέα,
Μένω 'πὶ λεπταῖς ταῖσδέ γ' Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων, οἱ μ' ἀεὶ προσκείμενοι
Λέγουσ', Ἀχιλλεῦ, τί μένομεν; πόσον χρόνον
Ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον;
„ Δρᾶ γ', εἴ τι δράσεις, ἢ ἄπαγ' οἴκαδε στρατὸν,
„ Τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.
κλυ. Ὦ παῖ θεᾶς νηρῆδος, ἔνδοθεν λόγων
Τῶν σῶν ἀκούσασ', ἐξέβην πρὸ δωμάτων.
ἀχ. Ὦ πότνι' αἰδὼς, τήνδε τίνα λεύσσω ποτὲ
Γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;
κλυ. Οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οὓς μὴ πάρος
Κατεῖδες. αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.
ἀχ. Τίς δ' εἶ; τί δ' ἦλθες Δαναΐδων εἰς σύλλογον,
Γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;
κλυ. Λήδας μὲν εἰμι παῖς. Κλυταιμνήστρα δέ μοι
Ὄνομα. πόσις δέ μοι 'στὶν Ἀγαμέμνων ἄναξ.
ἀχ. Καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
Αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.
κλυ. Μεῖνον. τί φεύγεις; δεξιάν γ' ἐμῇ χερὶ
Συνάψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.
ἀχ. Τί φής; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἂν

Αγα-

Digitized by Google

Si modo vera *eſt* fama,
Quod Leda rem habuerit cum volanti aue,
Iouis quando *in cygnum* permutatum eſt corpus:
Siue *illa, quæ ſunt* in tabulis Pieridum,
Fabulæ hæc ad homines
Tulerunt intempeſtiue, & temere.

Achilles.

Vbinam hic eſt dux Græcorum?
Quis miniſtrorum dicet, Pelei
Filium Achillem quærere eum in portis?
Non enim æqualiter manemus *ad* Euripi portas.
Nam alii quidem noſtrûm expertes nuptiarum,
Relictis ædibus deſertis, hîc
Sedent in littore: alii vero habentes vxores, *ſunt*
Sine liberis. tam vehemens amor incidit
Non ſine diis, in Græciam, huius expeditionis.
Quod igitur ius ad me pertinet, id oportet me dicere:
Alius vero cui opus eſt, ipſe pro ſe dicat.
Relictis enim terra Pharſalo, & Peleo,
Moror ad flatus iſtos tenues Euripi,
Continens Myrmidones, qui mihi ſemper inſtantes,
Dicunt: Achilles, quid expectamus? q̃ lõgo tẽpore
Adhuc oportet emetiri nauigationem ad Troiam?
,, Fac ſi quid es facturus, aut abduc exercitum domum,
,, Iſtas Atridarum non expectans cunctationes.

Cly. O fili Deæ Nereidis *Achilles*, intus ſermonem
Tuum audiens exiui ex ædibus.

Achi. O veneranda verecundia, quamnam video
Fœminam, forma *tam* decente præditam?

Cly. Non eſt mirum te nos non nouiſſe, quas ante non
Vidiſti. laudo vero te quod colis verecundiam.

Ach. Quæ vero es? cur veniſti ad exercitum Græcorum,
Mulier, ad viros munitos ſcutis?

Cly. Sum quidem filia Ledæ, Clytæmneſtra vero mihi
Nomen, maritus vero eſt mihi rex Agamemnon.

Ach. Apte dixiſti breuiter opportuna,
Non decet autem me loqui cum mulieribus.

Cly. Hem, quid fugis? dextram manui meæ
Adiunge, felix principium deſponſationis.

Ach. Quid ais? Ego ne tibi dexteram? veremur

Aga.

Digitized by Google

Agamemnonē, ſi tangamus q̄ me nō oportet tangere?
Cly. Maxime fas eſt, quoniam duces meam
Filiam, ô fili Deæ marinæ *Thetidis* Nereidis.
Ach. Quas mihi nuptias tu dicis? equidē ſtupor me habet,
Niſi quid errans dicis nouum ſermonem. [mulier,
Cly. Omnibus hoc inſitum eſt naturâ, vt vereātur amicos
Nouos quum vidēt, & nuptiarū mētionē faciētes.
Ach. Nunquam mulier ambiui tuam filiam,
Neque mihi venit nuncius ab Atridis de nuptiis.
Cly. Quid hoc tandem fuerit? tu iterum meum ſermonem
Mirare. nam mihi mirus eſt tuus.
Ach. Coniice. commune *enim* eſt *vtriq;* hæc coniectare.
Nā fortaſſis non mentimur ambo verbis, *quæ facimus.*
Cly. Male certe mecum agitur: *nam* concilio nuptias,
Quæ non ſunt, vt videtur. Horum me pudet.
Ach. Fortaſſe illuſit aliquis mihi & tibi.
Sed ne cures iſta, ferasque leuiter.
Cly. Vale: non enim rectis amplius te oculis intueor,
Cum ſim mendax facta, & indigna mihi acciderint.
Ach. Et tibi hoc *ipſum* a me ſit *reſponſum*. maritū *vero* tuum
Vado quæſiturus iſtis in ædibus.

Famulus.

O hoſpes nepos Æaci, mane, quia te appello
Filium Deæ, & te filiam Ledæ. [cat.
Ach. Quis *me* vocat apertis portis? vt ore perturbato *me* vo-
Fam. Seruus. nō inſoleſco hoc *meo miniſterio:* non enim me
inſoleſcere ſinit Fortuna. [iuncta.
Ach. Cuius? nō *enim* meus: mea & Agamemnonis ſunt ſe-
Fam. Harum ædium, ante quas ſto, dante patre Tyndareo,
ſum ſeruus.
Ach. Stamus, dic ſi quid vis, propter quæ me ſiſtis.
Fam. An igitur ſoli vos duo ſtatis hic ante *ædes* ad iſtas fores?
Cly. Potes loqui tanq̄ ſolis. egredere vero ex ædibus regiis.
Fam. O Fortuna & mea prouidentia, ſerua eos, quos volo.
Ach. Hæc oratio in longū tempus producetur. habet enim
aliquod pondus.
Cly. Per dextram te oro, ne cūctare, ſi quid mihi vis dicere.
Fam. Sciſne igitur, qualis ſim, & quam tibi & tuis liberis
fuerim fidus?
Cly. Scio ego te veterem mearum ædium eſſe miniſtrum.

Mu.

Ἀγαμέμνον', εἰ ψαύοιμεν, ὧν μή μοι θέμις.
κλυ. Θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
Παῖδ', ὦ θεᾶς παῖ ποντίας νηρηΐδος.
ἀχι. Ποίους γάμους ἔφησθ'; ἀφασία μ' ἔχει γύναι.
Εἰ μή τι παρανοοῦσα, καινουργεῖς λόγον.
κλυ. Πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
,, Καινοὺς ὁρῶσι, καὶ γάμου μεμνημένους.
ἀχι. Οὔ πώποτ' ἐμνήστευσα παῖδα σὴν γύναι,
Οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.
κλυ. Τί δῆτ' ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
Θαύμαζ'· ἐμοὶ γὰρ θαύματ' ἐστὶ τὰ παρὰ σοῦ.
ἀχι. Εἴκαζε. κοινόν ἐστιν εἰκάζειν τάδε.
Ἄμφω γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.
κλυ. Ἀλλ' ἦ πέπονθα δεινά. μνηστεύω γάμους
Οὐκ ὄντας, ὡς ἔοικεν, αἰδοῦμαι τάδε.
ἀχι. Ἴσως ἐκερτόμησε κἀμὲ, καὶ σέ τις.
Ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ, καὶ φαύλως φέρε.
κλυ. Χαῖρ' οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ,
Ψευδὴς γενομένη, καὶ παθοῦσ' ἀνάξια.
ἀχι. Καὶ σοὶ τόδ' ἐστὶν ἐξ ἐμοῦ. πόσιν δὲ σὸν
Στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

Τροχαῖοι.

θερ. Ὦ ξέν' Αἰακοῦ γένεθλον μεῖνον, ὥς σέ τοι λέγω,
Τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σὲ τὴν Λήδας κόρην,
ἀχι. Τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ.
θερ. Δοῦλος. οὐχ ἁβρυνόμεσθα τῷδ'. ἡ τύχη γάρ μ' οὐκ ἐᾷ.
ἀχι. Τίνος; ἐμὸς μὲν οὐχί. χωρὶς τἀμὰ, κἀγαμέμνονος.
θερ. Τῶνδε τῶν πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.
ἀχι. Ἕσταμεν. φράζ' εἴ τι χρῄζεις, ὧν μ' ἐπέσχες οὕνεκα.
θερ. Ἦ μόνω πάροιθεν δῆτα ταῖσδ' ἐφέστατον πύλαις;
κλυ. Ὡς μόνοις λέγοις ἂν, ἔξω δ' ἐλθὲ βασιλείων δόμων.
θερ. Ὦ τύχη, πρόνοιά δ' ἡ 'μὴ, σῶσον οὓς ἐγὼ θέλω.
ἀχι. Ὁ λόγος εἰς μέλλοντ' αὖ ὤσῃ χρόνον. ἔχει δ' ὄγκον τινά.
κλυ. Δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τι μοι χρῄζεις λέγειν.
θερ. Οἶσθα δῆτά γ', ὅστις ὢν, σοὶ καὶ τέκνοις εὔνους ἔφυν;
κλυ. Οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.

θερ. Χ' ὤ τι δή με τοῖς σοῖς φερναῖς ἔλαβεν. -Ἀγαμέμνων ἄναξ;
κλυ. Ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν, κἀμὸς ἦσθ' ἀεί ποτε.
θερ. Ὧδ' ἔχει. καὶ σοὶ μὲν εὔνους εἰμί, σῷ δ' ἧσσον πόσει.
κλυ. Ἐκκάλυπτε νῦν ποθ' ἡμῖν, οὕστινας λέγεις λόγους.
θερ. Παῖδα τὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτανεῖν.
κλυ. Πῶς; ἀπέπτυσ' ὦ γεραιὲ μῦθον. οὐ γὰρ εὖ φρονεῖς.
θερ. Φασγάνῳ λευκὴν φονεύων τὴν ταλαιπώρου δέρην.
κλυ. Ὦ τάλαιν' ἐγώ, μεμηνὼς ἆρα τυγχάνει πόσις;
θερ. Ἀρτίφρων, πλὴν εἰς σὲ καὶ τὴν παῖδα. τοῦτο δ' οὐ φρονεῖ.
κλυ. Ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;
θερ. Θέσφαθ', ὥς γε φησὶ Κάλχας, ἵνα πορεύηται στρατός.
κλυ. Ποῖ; τάλαιν' ἐγώ. τάλαινα δ', ἣν πατὴρ μέλλει κτανεῖν.
θερ. Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.
κλυ. Εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;
θερ. Πάντ' ἔχεις. Ἀρτέμιδι θύσειν παῖδα τὴν μέλλει πατήρ.
κλυ. Ὁ δὲ γάμος τίν' εἶχε τὴν πρόφασιν, ἥ μ' ἐκόμισ' ἐκ δόμων;
θερ. Ἵν' ἀγάγῃς χαίρουσ' Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.
κλυ. Ὦ θύγατερ, ἥκεις ἐπ' ὀλέθρῳ καὶ σύ, καὶ μήτηρ σέθεν.
θερ. Οἰκτρὰ πάσχετον δύ' οὖσαι. δεινὰ δ' Ἀγαμέμνων ἔτλη.
κλυ. Οἴχομαι τάλαινα δακρύων τ' ὄμματ' οὐκέτι στέγει.
θερ. Εἴπερ ἀλγεινὸν τὸ τέκνων στερομένην δακρυρροεῖν.
κλυ. Σὺ δὲ τάδ' ὦ γέρον πόθεν φῂς εἰδέναι πεπυσμένος;
θερ. Δέλτον ᾠχόμην φέρων σοὶ πρὸς τὰ πρὶν γεγραμμένα.
κλυ. Οὐκ ἐῶν, ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;
θερ. Μὴ μὲν οὖν ἄγειν. φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ' εὖ.
κλυ. Κᾆτα πῶς φέρων γε δέλτον οὐκ ἐμοὶ δίδως λαβεῖν;
θερ. Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.
κλυ. Ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;
ἀχι. Ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ' ἐμὸν οὐ φαύλως φέρω.
κλυ. Παῖδά μου κατακτενοῦσι σοῖς δολώσαντες γάμοις.

ἀχ.

Digitized by Google

m. *Sciſne* etiã ꝙ olĩ me tuç dotis in partẽ accepit rex Aga-
y. Veniſti Argos nobiſcum, & meus ſemper fuiſti.
m. Sic habet *res*: & tibi quidem ſum beneuolus, minus vero tuo marito.
ly. Aperito nunc tandem nobis quod vis dicere.
m. Pater vult filiã tuam, quã genuit, ſua manu occidere.
ly. Quomodo? abominor ô ſenex, hunc ſermonem: non enim es compos mentis.
m. Cædens gladio candidam ceruicẽ miſeræ puellæ.
ly. O me miſeram, an igitur maritus meus inſanit?
am. Mentis compos *is quidem eſt*, ſed non erga te, & tuam filiam. hac enim *in parte* non ſapit.
ly. Qua de cauſa? quis malus Genius illum inſtigat?
am. Oracula, vt inquit Calchas, vt exercitus proficiſcatur.
ly. Quo? me miſeram, infelicem etiam illam, quam pater eſt interfecturus.
am. Dardani ad ſedes, *i. Troiam*, vt Helenam *vxorem* Menelai recipiat.
ly. In Iphigeniæ igitur ꝑniciẽ reditus Helenç erat fatalis?
am. Rem tenes omnem. Pater filiam tuam immolaturus eſt Dianæ.
ly. Nuptiæ vero quem prætextum habebant, qui me ex ædibus adduxit?
am. Vt hilaris, *&* *lubens* adduceres tuam filiam vt eam Achilli datura nuptui.
ly. O filia, venis ad necem & tu, & mater tua.
Fam. Miſera vos ambæ patimini. & dira auſus eſt Agamemnon.
Cly. Perii miſera, oculique non amplius retinent lachrymas.
Fam. Siquidem acerbum eſt lachrymari orbatam liberis.
Cly. Sed tu ô ſenex, vnde dicis te hæc ſcire, atq; audiuiſſe?
Fam. Ibam adferens literas tibi præter illas quæ ante erant ſcriptæ.
Cly. Vtrum prohibens, an cohortans adducere filiam ad necem?
Fam. Vt non adduceres: tunc enim reſipuerat tuus maritus.
Cly. Quomodo vero cũ ferres literas, mihi nõ tradebas eas?
Fam. Menelaus mihi eripuit, qui autor eſt horũ malorũ.
Cly. O fili Nereidis, ô fili Pelei, *Achilles*, audis hæc?
Ach. Audio te eſſe miſerã. ꝙ vero ad me attinet, nõ leuiter fero.
Cly. Interficient filiã meam, circũueniẽtes nos ꝑtextu nuptiarũ tuarũ.

Ach. Et ego indignor marito tuo, neque ita leuiter fero.
Cly. Non verebor accidere ad genua tua,
Ego mortalis tibi nato ex dea. quid enim ego ſuperbe
agere iam volo?
„ Pro quonam mihi magis laborādum, quam pro filia?
Quamobrem opē feras, ô Deæ fili, & meo infortunio
Et ei, quæ eſt dicta tua vxor: fruſtra quidem, attamen
Coronans eam adduxi tanquam nupturam tibi.
Nunc vero ad mactationē adduco: tibi vero erit ꝓbro,
Si nō adiuueris *eam*. Etſi n *ei* nuptiis nō fueris iūct⁹,
Tamen nominatus es charus maritus miſeræ puellæ.
Per mentum, per tuam dextram, perque matrem tuo.
(Nā nomē tuū me ꝑdidit, cui te oportet opē ferre,)
Non poſſum ad aliam aram cōfugere, quā tua genua,
Neq; amic⁹ vll⁹ mihi arridet, *adeſt*. Audis Agamemnon.
„ Crudele & audax conſilium veni aūt, vt vides, *mulie.*
„ *Ad* naualē exercitū ſeditioſū, & ferocē ad mala ꝑpetrā·
„ Vtilē tamē, quum vult. ſi igitur tu auſus fueris me [*da.*
Manu porrecta ꝓtegere. ſalui ſum⁹. ſin min⁹, *periimus.*

Chorus.

Res eſt vehemens parere, & adfert ingens deſiderium:
„ Communeque omnibus eſt, vt laborent pro liberis.
Ach. Anim⁹ meus excelſus attollitur vlterius, *i. vehemēter.*
Nouit enim & malis dolere,
Et moderate lætari ſecundis *rebus.*
Cho. Tales enim homines ſunt prudentes,
Qui ſciunt recte vitam regere conſilio.
Ach. Eſt quidem vbi dulce ſit, non nimium ſapere:
Eſt etiam tempus, in quo vtile ſit eſſe ſapientem,
Ego autem enutritus in *ædibus* pientiſſimi viri
Chironis, didici habere ſimplices mores.
Et Atridis, ſi recte præerunt,
Parebimus: quando autem non recte, non *parebimus.*
Sed hic, & in Troia liberum animum
Præbens *eum* (quantū in me eſt) ornabo *pugnando.*
Te vero, ô paſſa miſeranda a chariſſimis,
Quæ quidem a viro iuueni præſtari poſſunt, *faciā, &*
Tantam induens *tui* commiſerationem, *te* protegam,
Et nunquam mactabitur a patre tua filia,
Quæ mea dicta eſt. non enim abuti ad ſuas fraudes

Con-

Μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.
Οὐκ ἐπαιδεσθήσομαί γε προσπεσεῖν τὸ σὸν γόνυ,
Θνητὸς ἐκ θεᾶς γεγῶτα. τί γὰρ ἐγὼ σεμνύνομαι;
„ Ἐπὶ τίνος σπουδαστέον μοι μᾶλλον, ἢ τέκνου πέρι;
Ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυσπραξίᾳ,
Τῇ τε λεχθείσῃ δάμαρτι σῇ μάτην μὲν, ἀλλ' ὅμως
Σοὶ καταστέψασ' ἐγώ νιν ἦγον, ὡς γαμουμένην.
Νῦν δ' ἐπὶ σφαγὰς κομίζω. σοὶ δ' ὄνειδος ἵξεται,
Ὅστις οὐκ ἤμυνας. εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
Ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
Πρὸς γενειάδος, πρὸς σῆς δεξιᾶς, πρὸς τε μητέρος,
Ὄνομα γὰρ τὸ σόν μ' ἀπώλεσ', ᾧ σ' ἀμυνάθειν χρεών.
Οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον, ἢ τὸ σὸν γόνυ,
Οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι. τὰ δ' Ἀγαμέμνονος κλύεις
„ Ὠμὰ, καὶ πάντολμ'. ἀφῖγμαι δ' ὥσπερ εἰσορᾷς γυνή
„ Ναυτικὸν στράτευμ' ἄναρχον, κἀπὶ τοῖς κακοῖς θρασύ,
„ Χρήσιμον δ', ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃς σύ μου
Χεῖρ' ὑπερτεῖναι, σεσώσμεθ'. εἰ δὲ μή, οὐ σεσώσμεθα.

ΙΑΜΒΟΙ.

Δεινὸν τὸ τίκτειν, καὶ φέρει φίλτρον μέγα,
„ Πᾶσίν τε κοινὸν, ὥσθ' ὑπερκάμνειν τέκνων.
γν. Ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω,
Ἐπίσταται δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾶν,
Μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.
Λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶ βροτῶν,
Ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.
γν. Ἔστιν μὲν οὖν, ἵν' ἡδὺ μὴ λίαν φρονεῖν,
Ἔστιν δὲ χ' ὅπου χρήσιμον, γνώμην ἔχειν.
Ἐγὼ δ' ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς,
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
Καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
Πεισόμεθ'. ὅταν δὲ μὴ καλῶς, οὐ πεισόμεθα.
Ἀλλ' ἐνθάδ' ἐν Τροίᾳ τ' ἐλευθέραν φύσιν
Παρέχων, Ἄρει τὸ κατ' ἐμὲ κοσμήσω δορί.
Σὲ δ', ὦ σχέτλια παθοῦσα πρὸς τῶν φιλτάτων,
Ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
Τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
Κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
Ἐμὴ φατισθεῖσ'. οὐ γὰρ ἐμπλέκειν πλοκὰς

Ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
Τοιοῦμαι γὰρ εἰ καὶ μὴ σίδηρον ἤρατο
Τοὐμὸν, φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον,
Πόσις σὸς, ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμὸν,
Εἰ δι' ἔμ' ὀλεῖται, διά τε τοὺς ἐμοὺς γάμους,
Ἡ δεινὰ τλᾶσα, κοὐκ ἀνεκτὰ παρθένος,
Θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
Ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνὴρ,
Ἐγὼ τὸ μηδὲν, Μενέλεως δ' ἐν ἀν-
δράσιν,
Ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγὼς,
Εἴπερ φονεύει τοὐμὸν ὄνομα σῷ πόσει.
„ Μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον
„ Νηρέα, φυτουργὸν Θέτιδος, ἥ μ' ἐγείνατο,
„ Οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ.
„ Οὐδ' εἰς ἄκρον χεῖρ', ὥστε προσβαλεῖν πέπλοις.
Ἡ Σίπυλος ἔσται πόλις ὅρισμα βαρβάρων,
Ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
Φθία δὲ τοὐμὸν οὐδαμοῦ κεκλήσεται.
Πικροὺς δὲ προχύτας, χέρνιβάς τ' ἀνάξεται
„ Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ' ἀνὴρ,
„ Ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
„ Τυχών. ὅταν δὲ μὴ τύχῃ, διοίχεται.
Ἠ τῶν γαμούντων ἕκατι μυρίαι κόραι
Θηρῶσι λέκτρον τοὐμόν. εἴρηται τόδε.
Ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ.
Χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
Θήραμα παιδός. ἡ Κλυταιμνήστρα δέ μοι
Μάλιστ' ἐπείσθη, θυγατέρ' ἐκδοῦναι πόσει.
Ἔδωκά τ' ἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
Ἐν τῷδ' ἔκαμνε νόστος. οὐκ ἠρνούμεθ' ἂν
Τὸ κοινὸν αὔξειν, ὧν μέτ' ἐστρατευόμην.
Νῦν δ' οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
Ἐν εὐμαρεῖ τι δρᾶν τε, καὶ μὴ δρᾶν καλῶς.
Τάχ' εἴσεται σίδηρος. ὃν, πρὶν εἰς Φρύγας
Ἐλθεῖν, φόνου κηλῖσιν αἵματι χρανῶ,
Εἴ τις με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται.
Ἀλλ' ἡσύχαζε θεὸς ἐγὼ πέφηνά σοι
Μέγιστος, οὐκ ὤν, ἀλλ' ὅμως γενήσομαι.
χο. Ἔλεξας ὦ παῖ Πηλέως σοῦ τ' ἄξια,

Καὶ

Concedam ego tuo marito meam perſonam.
Nomen enim meum, etiamſi non ſuſtulit ferrum,
Interficiet tuam filiam: cauſa autem *huius cædis eſt*
Maritꝰ tuus. Meũ vero corpus nõ ampliꝰ eſt purũ,
Si propter me, & propter meas nuptias pereat
Virgo, quæ atrocia, & non ferenda tulit,
Miris & indignis modis contumelia affecta:
Ego igitur Græcorum *omnium* vir eſſem peſſimus,
Ego *eſſem homo* nullius precii (Menelaus vero in virorum numero haberetur)
Non tanquam Peleo natus, ſed ex malo genio,
Siquidẽ meum nomẽ cædẽ adminiſtraret tuo marito.
„ Per educatum in humidis fluctibus
„ Nereum, patrem Thetidis, quæ me peperit,
„ Non tanget tuam filiam rex Agamemnon,
„ Ne ſumma quidẽ manu, *digitum* vt admoueat *eius* peplis.
Aut Sipylus vrbs erit finis Barbarorum,
Vnde naſcuntur *multi præclari* duces generis:
Phthia vero nunquam vocabitur *patria* mea.
Amaras autẽ molas ſalſas, & lotarũ manuũ aquas reportabit
„ Calchas vates: quis enim vir eſt vates?
„ Is qui pauca vera, multa vero falſa dicit,
„ Si forte ſic ceciderit: ſin minus, periit.
An propter eos qui collocant, ſexcentæ puellæ
Petunt meas nuptias? dictum ſit hoc.
Sed rex Agamemnon affecit nos contumelia.
Oportebat enim ipſum a me petere nomen meum ad
Venationem filiæ. Clytæmneſtra enim mihi,
Facillime perſuaſa fuiſſet, filiam vt elocaret marito.
Ac dediſſem eam Græcis, ſi ad Ilium
In hoc, *i. hac de cauſa*, laboraſſet traiectus. nõ recuſaſſemus
Augere publicũ bonũ, *eorũ*, quibuscũ milito.
Nunc vero nihil ſum apud duces.
Facile enim *eſt* facere, aut non facere recte:
Enſis hic fortaſſe nouerit, quẽ, priusquã ad Troiã
Perueniamus, polluam ſanguine maculisque cædis,
Si quis mihi tuam filiam volet eripere.
Sed ſis quieta: ego tibi apparui Deus
Maximus. quãuis *Deus* nõ ſim: ſed tamen ero *fortaſſis*.
ho. O Achilles, dixiſti quæ te digna ſunt,

Et matre tua dea marina veneranda.

Cly. Heu. Quomodo te laudauero verbis neq; nimis prolixe,
Neque nimis parce, ne *tuam* amittam gratiam?
„ Boni enim cum laudantur, aliquo modo
„ Oderunt eos qui laudant, ſi nimium *eos* laudent.
Erubeſco aũt afferens *querimoniarũ* miſeranda verba,
Priuatim laborãs. tu enim *es* expers meorũ malorum.
„ Sed tamen habet aliquã ſpeciem, vt, etiamſi ſit alienus,
„ Vir bonus, afflictos iuuet.
Miſerere igitur noſtri. miſeranda enim patimur.
Quæ primum quidẽ exiſtimãs me habiturã te generũ:
Habui vanam ſpem: deinde tibi fortaſſis
Omen fuerit nuptiis futuris,
Moriens mea filia, quod te cauere oportet:
Sed bene quidem initio dixiſti, bene etiam in fine.
Si enim volueris, ſeruabitur mea filia.
Viſne eam ſupplicem amplecti tuum genu?
Hoc q̃dẽ virgini parũ *eſt* decorum. ſi tamẽ *ita* tibi videtur,
Veniet *ad te* cum pudore, oculos habẽs liberos, *ac* ingenuos.
Aut abſente *ea*, cõſequar hęc abs te.

Ach. Maneat domi. pudicam enim decet pudor.

Cly. Attamen quantum fieri poteſt oportet *eam* pudere.

Ach. Tu neq; filiam tuam adducito in meum conſpectum.
Neque veniamus in probrũ ô mulier inconſideratum.
„ Exercitus enim copioſus, quum *rerũ* domeſticarũ curis eſt vacuus,
„ Amat malas & maledicas fabulas.
Idẽ plane conſequemini ſiue ſupplices ad me veneritis,
Siue non ſupplex fueris: nã mihi *propoſitum* eſt certamẽ
Maximum, vt vos a malis *iſtis* liberem
Itaque *hoc* vno audito, ſcias me non falſa dictũrũ.
Quod ſi falſa dicam, & fruſtra vos ludam,
Moriar: quod ſi puellam ſeruauero, non moriar.

Cly. Sis felix, ſemper iuuans afflictos.

Ach. Audi igitur nunc, vt res recte geratur.

Cly. Quid hoc dixiſti? te quidem audiam volens.

Ach. Perſuadeamus iterum patri, vt melius ſapiat.

Cly. Eſt quidam ignauus, & nimis timet exercitum.

Ach. Sed rationes ſuperant rationes.

Cly. Frigida quidem *eſt* ſpes: ſed dic, quidnam oporteat me facere.

Ach. Supplicẽ te primũ illi præbeas, ne occidat filiã:

Q

Καὶ τῆς ἐναλίας δαίμονος σεμνῆς θεοῦ.
Φεῦ πῶς ἄν σ' ἐπαινέσαιμι μὴ λίαν λόγοις,
Μήτ' ἐνδεῶς, μήτ' ἀπολέσαιμι τὴν χάριν;
» Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ, τρόπον τινὰ
» Μισοῦσι τοὺς αἰνοῦντας, ἐὰν αἰνῶσ' ἄγαν.
Αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους,
Ἰδίᾳ νοσοῦσα. σὺ δ' ἄνοσος κακῶν ἐμῶν.
» Ἀλλ' οὖν ἔχει τι σχῆμα, κἂν ἄπωθεν ᾖ,
» Ἀνὴρ ὁ χρηστὸς δυστυχοῦντας ὠφελεῖν.
Οἴκτειρε δ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν.
Ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ' ἔχειν,
Κενὴν κατέσχον ἐλπίδ'· εἶτά σοι τάχα
Ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις,
Θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
Ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη.
Σοῦ γὰρ θέλοντος, παῖς ἐμὴ σωθήσεται.
Βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
Ἀπαρθένευτα μὲν τάδ'· εἰ δέ σοι δοκεῖ,
Ἥξει δι' αἰδοῦς, ὄμμ' ἔχουσ' ἐλεύθερον.
Ἢ μὴ παρούσης, ταὐτὰ τεύξομαι σέθεν.
ἀχ. Μενέτω κατ' οἴκους. σεμνὰ γὰρ σεμνύνεται.
κλυ. Ὅμως δ' ὅσον γε δυνατὸν, αἰδεῖσθαι χρεών.
ἀχ. Σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμὴν,
Μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν γύναι.
» Στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
» Λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
Πάντως δέ μ' ἱκετεύοντες ἥξετ' εἰς ἴσον,
Εἴτ' ἀνικέτευτος ἦς· ἐμοὶ γὰρ εἷς ἀγὼν
Μέγιστος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
Ὡς ἕν γ' ἀκούσασ', ἴσθι μὴ ψευδῶς μ' ἐρεῖν.
Ψευδῆ λέγων δὲ, καὶ μάτην ἐγκερτομῶν,
Θάνοιμι. μὴ θάνοιμι δ', ἣν σώσω κόρην.
κλυ. Ὄναιο, συνεχῶς δυστυχοῦντας ὠφελῶν.
ἀχ. Ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς.
κλυ. Τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου.
ἀχ. Πείθωμεν αὖθις πατέρα, βέλτιον φρονεῖν.
κλυ. Κακός τίς ἐστι, καὶ λίαν ταρβεῖ στρατόν.
ἀχ. Ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.
κλυ. Ψυχρὰ μὲν ἐλπίς. τί δὲ χρή με δρᾶν, φράσον.
ἀχ. Ἱκέτευ' ἐκεῖνον πρῶτα, μὴ κτείνειν τέκνα.

Ἂν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
Εἰ γὰρ τὸ χρῇζον ἐπίθοι, τοὐμὸν χρεὼν
„ Χωρεῖν. ἔχει γὰρ τοῦτο τὴν σωτη-
„ ρίαν.
„ Κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι,
Στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
Λελογισμένως πράσσοιμι μᾶλλον, ἢ σθένει.
Καλῶς δὲ κρανθέντων, πρὸς ἡδονὴν φίλοις,
Σοί τ' ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.

Κλυ. Ὡς σώφρον' εἶπας, δραστέον δ' ἅ σοι δοκεῖ.
Ἢν δ' αὖ τι μὴ πράσσωμεν, ὧν ἐγὼ θέλω,
Πῶς σ' αὖθις ὀψόμεσθα; ποῦ χρή μ' ἀθλίαν
Ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;

Ἀχ. Ἡμεῖς σε φύλακες, οὗ χρεών, φυλάξομεν,
Μή τίς σ' ἴδῃ στείχουσαν ἐκπεπληγμένην
Δαναῶν δι' ὄχλου, μηδὲ πατρῷον δόμον
Αἴσχυν'. ὁ γάρ τοι Τυνδάρεως, οὐκ ἄξιος
„ Κακῶς ἀκούειν. ἐν γὰρ Ἕλλησιν μέγας.

Κλυ. Ἔστιν τάδ'. ἄρχε. σοί με δουλεύειν χρεών.
„ Εἰ δ' εἰσὶ θεοί, δίκαιος ὢν ἀνὴρ σύ γε,
„ Ἐσθλῶν κυρήσεις. εἰ δὲ μή, τί δεῖ πονεῖν;

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Τίς ἄρ' ὑμέναιος διὰ λωτοῦ λίβυος,
Μετά τε φιλοχόρου κιθάρας,
Συρίγγων θ' ὑπὸ καλαμοέσσας
Ἔστασεν ἰαχάν;
Ὅτ' ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι
Πιερίδες ἐν δαιτὶ θεῶν
Χρυσεοσάνδαλον ἴχνος
Ἐν γᾷ κρούουσαι
Πηλέως εἰς γάμον ἦλθον
Μελῳδοὶ Θέτιν ἰαχή-
μασι, τόν τ' Αἰακίδαν,
Κενταύρων ἐν ὄρεσι κλείουσαι
Πηλιάδα καθ' ὕλαν.
Ὁ δὲ Δαρδανίδας, Διὸς
Λέκτρων τρύφημα φίλον,
Χρυσέοισιν ἄφυσσε λοιβὰν
Ἐκ κρατήρων γυάλοις,

Quod ſi reſtiterit, tibi ad me veniendum *eſt*.
Si .n. perſuadebitur id ꝙ vis, non opus eſt meã *operam*
„ Procedere: hoc *ipſum* enim ſalutem habet, *i. filiæ ſa-*
„ *lutem feret*.
„ Et ego melior, *i. melius affectus* erga amicum ero.
Et exercitus non culpabit me, ſi res
Ratione magis quam viribus geſſero.
Et *rebus* bene perfectis, grata amicis,
Et tibi hæc erunt, vel ſine mea opera.

Cly. Quam ſapienter dixiſti: faciendũ igitur vt tibi videtur.
Quod ſi iſta non perfecero, quæ ego volo,
Vbi te rurſus videbimus? quo me miſeram oportet
Ire, vt inueniam tuam manum auxiliatricem malis?

Ach. Nos te cuſtodes, vbi opus *erit*, obſeruabimus,
Ne quis te videat ire conſternatam
Per exercitum Græcorum, ne paternam domum
Dedecores. Nam Tyndareus non dignus eſt,
„ Qui male audiat. Nam inter Gręcos *eſt* magnus.

Cly. Hęc *ita* ſunt. prę̃i. *negotiiq; ſis dux*. tibi me ſeruire decet.
„ Si vero ſunt dii, tu, cum ſis iuſtus vir,
„ Bona cõſequeris: ſin min⁹, quid opus eſt laborare?

EPODICA.

Strophe.

Ch. Qualis *erat* Hymenæus, fiſtula cantatus Libyca,
Et cithara amante choreas,
Et tibiis, *quum Muſa* calamis formatam
Ediderunt vocem?
Quando per Pelium *montem* pulchricomæ
Pierides in conuiuio deorum,
Veſtigium aureorum ſandaliorum
In terram incutientes, *i aureis calceis terram pulſantes*,
Venerunt ad nuptias Pelei,
Suauiter canentes, Thetin reſonantibus vo-
cibus, & Æacidem *Peleum*,
In montibus Centaurorum celebrantes,
In ſylua Peliaca.
Dardanides vero, Iouis
Thalamorum deliciæ charæ,
Nectar hauſit aureis
Poculis, ex crateribus,

Ga

Ganymedes Phrygius.
Prope vero candidam
Arenam ſaltantes
In orbem quinquaginta filiæ
Nerei, nuptias concelebrarunt.

Antiſtrophe.

Cum abiegnis vero telis, & gramineis coronis
Turba venit equeſtris
Centaurorum, ad conuiuium deorum,
Et craterem Bacchi.
Magna autem voce clamauerunt: O Nereia filia,
Filiæ Theſſalicæ, magnum lumen,
Phœbus vates, quique Muſarum
Generationes nouit
Chiron, nominauit *Achillem*,
Qui veniet *in Troianum* agrum haſta-
tis cum Myrmidonum
Militibus, Priami inclytam
Terram incenſurus, *ac deuaſtaturus:*
Circa corpus aureis
Armis a Vulcano factis
Armatus, induta, a Dea
Matre dona *ſibi data* geſtans,
Thetide quæ ipſum peperit
Beatum. Tunc Di-
i nobilis
Nereidis nuptias celebrarunt
Primæ, & Pelei Hymenæum:

Epodus.

Te vero *Iphigenia* coronabunt in capite pulchricomã
Nexis *florum* coronis Græci, marinis
Ceu ſaxeis ex antris profectam,
Montium intactam iuuencam,
Humanum cruentantes guttur,
Non fiſtula, *nec ad fiſtulæ ſonum*, nutritam, ne-
que ad cantum paſtorum,
Sed apud matrem ornantem ſponſam,
Inachidis, *i. Argiuis*, *parantem* nuptias.
Vbi *nunc* pudoris,
Aut virtutis habet vim,

Ὁ Φρύγιος Γανυμήδης.
Παρὰ δὲ λευκοφαῆ
Ψάμαθον εἱλισσόμεναι
Κύκλια πεντήκοντα κόραι
Νηρῆος, γάμους ἐχόρευσαν.

Ἀντιστροφή.

Ἀνὰ δ' ἐλάταισι, στεφανώδει τε χλόᾳ
Θίασος ἔμολεν ἱπποβότας
Κενταύρων, ἐπὶ δαῖτα τῶν θεῶν,
Κρατῆρά τε Βάκχου.
Μέγα δ' ἀνέκλαγον, ὦ Νηρηῒ κόρα,
Παῖδες αἱ Θεσσαλαὶ, μέγα φῶς.
Μάντις ὁ Φοῖβος, ὁ μουσᾶν
Τ' εἰδὼς γεννάσεις
Χείρων, ἐξωνόμασεν,
Ὃς ἥξει χθόνα λογχή-
ρεσι σὺν Μυρμιδόνων
Ἀσπισταῖσι, Πριάμοιο κλεινὰν
Γαῖαν ἐκπυρώσων,
Περὶ σώματι χρυσέων
Ὅπλων Ἡφαιστοπόνων
Κεκορυθμένος, ἔνδυτ' ἐκ θεᾶς
Ματρὸς δωρήματ' ἔχων
Θέτιδος, ἅ νιν ἔτικτε
Μακάριον. τότε δαί-
μονες τᾶς εὐπατρίδος
Γάμον Νηρῆδος ἔθεσαν
Πρώτας, Πηλέως θ' ὑμεναίους.

Ἐπῳδός.

Σὲ δ' ἐπὶ κάρᾳ στέψουσι καλλικόμαν
Πλόκαμον Ἀργεῖοι γ', ἁλιᾶν
Ὥστε πετραίων ἀπ' ἄντρων ἐλθοῦσαν
Ὀρέων μόσχον ἀκήρατον,
Βρότειον αἱμάσσοντες λαιμόν,
Οὐ σύριγγι τραφεῖσαν, οὐ-
δ' ἐν ῥοιβδήσει βουκόλων,
Παρὰ δὲ μητέρι νυμφοκόμον
Ἰναχίδαις γάμον.
Ποῦ τὸ τᾶς αἰδοῦς,
Ἢ τὸ τᾶς ἀρετᾶς δύνασιν ἔχει

Σφέ-

,, 12 Σθένει τι πρόσωπον,
,, 13 Ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
,, 14 Δύναμιν, ἁ δ' ἀρετὰ κατόπισθεν
,, 13 Θνατοῖς ἀμελεῖται.
,, 14 Ἀνομία δὲ νόμων κρατεῖ,
,, 15 Καὶ κοινὸς ἀγὼν βροτοῖς,
,, 16 Μή τις θεῶν φθόνος ἔλθῃ.

ΙΑΜΒΟΙ.

κλυ. Ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,
Χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας.
Ἐν δακρύοισί θ' ἡ τάλαινα παῖς ἐμή,
Πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
Θάνατον ἀκούσασ', ὃν πατὴρ βουλεύεται.
Μνήμην δ' ἄρ' εἶχον πλησίον βεβηκότος
Ἀγαμέμνονος τοῦδ', ὃς ἐπὶ τοῖς αὑτοῦ τέκνοις
Ἀνόσια πράσσων αὐτίκ' εὑρεθήσεται.
ἀγα. Λήδας γένεθλον, ἐν καλῷ σ' ἔξω δόμων
Εὕρηχ', ἵν' εἴπω παρθένου χωρὶς λόγους,
Οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.
κλυ. Τί δ' ἐστιν, ὃ σοι καιρὸς ἀντιλάζυται;
ἀγα. Ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα,
Ὡς χέρνιβες πάρεισιν ηὐτρεπισμέναι,
Προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν,
Μόσχοι τε, πρὸ γάμων ἃς θεᾷ πεσεῖν χρεὼν
Ἀρτέμιδι, μέλανος αἵματος φυσήματα.
κλυ. Τοῖς ὀνόμασι μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
Οὐκ οἶδ', ὅπως χρή μ' ὀνομάσασαν, εὖ λέγειν.
Χώρει δὲ θύγατερ ἐκτός. οἶσθα γὰρ πατρὸς
Πάντως ἃ μέλλει, χ' ὑπὸ τοῖς πέπλοις ἄγε
Λαβοῦσ' Ὀρέστην, σὸν κασίγνητον, τέκνον.
Ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.
Τὰ δ' ἄλλ' ἐγὼ πρὸς τῆσδε, κἀμαυτῆς φράσω.
ἀγα. Τέκνον, τί κλαίεις; οὐδ' ἔθ' ἡδέως ὁρᾷς.
Εἰς γῆν δ' ἐρείσασ' ὄμμα, πρόσθ' ἔχεις πέπλους.
ἰφι. ,, Φεῦ. Τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
,, Ἅπασι γὰρ πρώτοισι χρῆσθαι πάρα,
,, Κἂν ὑστάτοισι κἂν μέσοισι πανταχοῦ.
ἀγα. Τί δ' ἐστίν; ὥς μοι πάντες εἰς ἓν ἥκετε,
Σύγχυσιν ἔχοντες, καὶ ταραγμὸν ὀμμάτων;
κλυ. Εἴφ' ἂν ἐρωτήσω σε γενναίως, πόσι.

ἀγα.

Digitized by Google

,, 12 Vt poſſit aliquid, facies?
,, 13 Quando impietas quidem habet *magnam*
,, 14 Vim, virtus vero retro
,, 15 A mortalibus negligitur,
,, 16 Iniquitas vero vincit leges,
,, 17 Quare commune periculum mortalibus *impendet*,
,, 18 Ne qua Deorum inuidia veniat, *ac ipſos ira premat*.

Clytæmneſtra.

Exiui ex ædibus, quærens maritum,
Qui diu abeſt, & reliquit ædes.
Et mea filia miſera in lachrymis eſt,
Emittens multas mutationes gemituum,
Poſtquam audiuit de morte, quam pater molitur.
Feci autem mentionem prope accedentis
Agamemnonis huius, qui aduerſus liberos ſuos
Impia facere mox depræhendetur.

Aga. O Ledę proles *Clytæmneſtra*, opportune te extra domũ
Inuenio, vt dicam ſcorſum a virgine verba,
Quæ non decet audire nupturas.

Cly. Quidnam id eſt, cuius opportunitas tibi iã incumbit?

Aga. Mitte filiam cum patre ex ædibus,
Quia ſacra aqua adeſt parata, [ſtralem,
Et molæ ſalſæ, vt ex manibus coniiciantur in ignẽ lu-
Et iuuencæ, quas ante nuptias oportet mactari deæ
Dianæ, nigri ſanguinis halitus, *exundationes*.

Cly. Verbis quidem bene dicis, ſed facta tua
Haud ſcio, quomodo oporteat me, ſi nominare velim,
Exi vero filia. Scis enim, quæ pater [laudare.
Molitur omnino: & ſub peplis affer
Aſſumptum Oreſtem tuum fratrem, filia.
Ecce adeſt quæ obtemperat tibi:
Alia vero quæ ad ipſam, & me pertinent, ego dicam.

Aga. Filia, quid fles? non hilariter *me* ſpectas·
Sed oculis in terram defixis, *eos* peplis obiectis velas.

Iph. ,, Heu. Quodnam meorum malorũ ſumam exordium?
,, Omnibus enim licet vti primis,
,, Et poſtremis, & mediis vbiq;, *in omnibus rebus dicẽdis*.

Aga. Quid eſt? quam mihi omnes in vnum conuenitis,
Habentes perturbationẽ *animi*, & cõturbationẽ vult⁹?

Cly. Dic mihi marite ingenue, quæ te interrogabo.

Aga.

Aga. Nihil opus eſt hortatu, interrogari volo.
Cly. Viſne interficere meam tuamque filiam?
Aga. Hem. Dixiſti miſera, ſuſpicariſq; q̃ te nõ oportet.
Cly. Illud vero primum mihi reſponde rurſus.
Aga. Si tu interrogaueris cõueniẽtia, conuenientia audies.
Cly. Non interrogo alia, & tu ne mihi alia dicas.
Aga. O fortunam venerandam, ô fatum & genium meum.
Cly. Et meum, & huius, vnus *eſt* trium infelicium.
Aga. Qua in re læſa es? *Cly.* Hoc ex me quæris?
„ Hoc tuum conſilium nullam habet prudentiam.
Aga. Perii, mea arcana ſunt prodita.
Cly. Noui omnia, & audiui quæ tu mihi facturus es.
„ Ipſum vero tuum ſilentium eſt ſignũ tui confitentis.
„ Et tui crebri gemitus: ne labores dicendo.
Aga. En taceo. Oportet enim me impudentiam
Falſa dicentem adiungere calamitati.
Cly. Audi nũc Aperiam enim *tibi meæ mentis* cogitationes,
Et nõ amplius vtemur ænigmatibus a ꝓpoſito *alienis*.
Primum quidem vt hoc primo loco tibi exprobrem,
Duxiſti me inuitam, & rapuiſti vi,
Occiſo priore marito Tantalo,
Infanteq; meũ ſolo illiſiſti tua vibratione, *iactuq; tuo*,
Auulſum violenter a meis vberibus,
Et filii Iouis, meique fratres,
Equis conſpicui, *tibi* bellum intulerunt.
Sed Tyndareus pater ſenex te liberauit,
Factũ ſupplicem, & habuiſti rurſus meũ connubium.
Vbi reconciliata tibi, erga te & domum,
Ipſe teſtis eris, quod fuerim inculpabilis vxor,
Et in rebus venereis caſta, & tuam
Rem familiarem augens, vt ſiue intrares,
„ Gauderes: & ſiue foras prodires, beatus eſſes.
„ Rara autem *eſt* venatio viro, vt talem conſequatur
Vxorem: ſed non eſt rarum habere malam vxorem.
Et præter tres filias peperi tibi filium
Hũc, ex quibus vna tu me miſerabiliter priuabis.
Et ſi q̄s interrogarit te, ob q̃ cauſam interficies ipſam,
Dic, quidnam dices? an me tuo nomine loqui oportet?
Vt Menelaus Helenã recipiat. ꝓclarũ certe *facinus erit*,

Mala

αγα. Οὐδὲν κελευσμοῦ δεῖ γ', ἐρωτᾶσθαι θέλω.
κλυ. Τὴν παῖδα τὴν σὴν τήν τ' ἐμὴν μέλλεις κτανεῖν;
αγα. Ἔα· τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ' ἃ μὴ σε χρή.
κλυ. Κἀκεῖνό μοι τὸ πρότερον ἀπόκριναι πάλιν.
αγα. Σὺ δ' ἢν γ' ἐρωτᾷς εἰκότ', εἰκότα κλύοις.
κλυ. Οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.
αγα. Ὦ πότνια τύχη καὶ μοῖρα, καὶ δαίμων γ' ἐμός.
κλυ. Κἀμός γε, καὶ τῆσδ', εἷς τριῶν δυσδαιμόνων.
αγα. Τίν' ἠδίκησαι; Κλυ. τοῦτ' ἐμοῦ πεύθῃ πάρα;
„ Ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.
αγα. Ἀπολόμεσθα. προδέδοται τὰ κρυπτά μου.
κλυ. Πάντ' οἶδα, καὶ πεπύσμεθ', ἃ σύ με μέλλεις δρᾶν.
„ Αὐτὸ δὲ τὸ σιγᾶν, ὁμολογοῦντός ἐστι σου,
„ Καὶ τὸ στενάζειν πολλὰ, μὴ κάμνῃς λέγων.
αγα. Ἰδοὺ σιωπῶ. τὸ γὰρ ἀναίσχυντόν με δεῖ
Ψευδῆ λέγοντα προσλαβεῖν τῇ συμφορᾷ.
κλυ. Ἄκουε δὴ νῦν. ἀνακαλύψω γὰρ λόγους,
Κοὐκέτι παρῳδοῖς χρησόμεθ' αἰνίγμασιν.
Πρῶτον μὲν, ἵνα σοι πρῶτα τοῦτ' ὀνειδίσω,
Ἔγημας ἄκουσάν με, κἄλαβες βίᾳ,
Τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανὼν,
Βρέφος τε τοὐμὸν σῷ προσούρισας πάλῳ,
Μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας,
Καὶ τὼ Διός γε παῖδ', ἐμώ τε συγγόνω,
Ἵπποισι μαρμαίροντ', ἐπεστρατευσάτην.
Πατὴρ δὲ πρέσβυς Τυνδάρεώς σ' ἐρρύσατο,
Ἱκέτην γενόμενον, τἀμὰ δ' ἔσχες αὖ λέχη.
Οὗ σοι καταλλαχθεῖσα, περὶ σὲ καὶ δόμους,
Συμμαρτυρήσεις ὡς ἄμεμπτος ἦν γυνὴ,
Εἴς τ' Ἀφροδίτην σωφρονοῦσα, καὶ τὸ σὸν
Μέλαθρον αὔξουσ', ὥστ' εἰσιόντα τε
Χαίρειν, θύραζέ τ' ἐξιόντ' εὐδαιμονεῖν.
„ Σπάνιον δὲ θήρευμ' ἀνδρὶ, τοιαύτην λαβεῖν
„ Δάμαρτα· φλαύραν δ' οὐ σπάνις γυναῖκ' ἔχειν.
Τίκτω δ' ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι
Τόνδ'· ὧν μιᾶς σὺ τλημόνως μ' ἀποστερεῖς.
Κἄν τίς σ' ἔρηται, τίνος ἕκατι νιν κτενεῖς,
Λέξον, τί φήσεις; ἢ 'μὲ χρὴ λέγειν τὰ σά;
Ἑλένην Μενέλαος ἵνα λάβῃ. καλόν γε νὴ

Κακῆς

Κακῆς γυναικὸς μισθὸν ἀποτίσαι, τέκνα,
Τ' ἀχθέντα τοῖσι φιλτάτοις ὠνούμεθα.
Ἄγ', ἢν στρατεύσῃ καταλιπών μ' ἐν δώμασιν,
Κἀκεῖ χρονίσῃ διὰ μακρᾶς ἀπουσίας,
Τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
Ὅταν θρόνους τῆσδ' εἰσίδω πάντας κενούς,
Κενοὺς δὲ παρθενῶνας; ἐπὶ δὲ δακρύοις
Μόνη κάθημαι, τήνδε θρηνῳδοῦσ' ἀεί,
Ἀπώλεσέν σ', ὦ τέκνον, ὁ φυτεύσας πατήρ,
Αὐτὸς κτανών, οὐκ ἄλλος, οὐδ' ἄλλῃ χερί,
Τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους;
Ἐπεὶ βραχείας προφάσεως ἔδει μόνον,
Ἐφ' ᾗ σ' ἐγὼ καὶ παῖδες αἱ λελειμμέναι
Δεξόμεθα δέξιν, ἥν σε δέξασθαι χρεών.
Μὴ δῆτα πρὸς θεῶν, μήτ' ἀναγκάσῃς ἐμὲ
Κακὴν γενέσθαι περὶ σέ, μήτ' αὐτὸς γένῃ.
Εἶεν θύσεις δὲ τὴν παῖδ', ἔνθα τίνας εὐχὰς ἐρεῖς;
Τί σοι κατεύξῃ τἀγαθόν, σφάζων τέκνον;
Νόστον πονηρόν, οἴκοθέν γ' αἰσχρῶς ἰών;
Ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τι σοι;
» Οὔτ' ἆρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἄν,
» Εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν.
Ἥκων δ' ἐς Ἄργος προσπεσεῖ τέκνοισι σοῖς;
Ἀλλ' οὐ θέμις σοι. τίς δὲ καὶ προσβλέψεται
Παίδων σ', ἐὰν αὐτῶν προθέμενος κτάνῃς τινά;
Ταῦτ' ἦλθον ἤδη διὰ λόγων. ἢ σκῆπτρά σοι
Μόνον διαφέρειν, καὶ στρατηλατεῖν σε δεῖ,
Ὃν χρὴ δίκαιον λόγον ἐν Ἀργείοις λέγειν,
Βούλεσθ' Ἀχαιοὶ πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
Κλῆρον τίθεσθε, παῖδ' ὅτου θανεῖν χρεών.
Ἐν ἴσῳ γὰρ ἦν τόδ', ἀλλὰ μή σ' ἐξαίρετον
Σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σήν,
Ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,
Οὗπερ τὸ πρᾶγμ' ἦν. νῦν δ' ἐγὼ μέν, ἡ τὸ σὸν
Σώζουσα λέκτρον, παιδὸς ὑστερήσομαι.
Ἡ δ' ἐξαμαρτοῦσ', ὑπόστροφον νεάνιδα
Σπάρτῃ κομίζουσ', εὐτυχὴς γενήσεται.
Τούτων ἄμειψαί μ', εἴ τι μὴ καλῶς λέγω.
Εἰ δ' εὖ λέλεκται νῷν, μὴ δὴ γε κτάνῃς
Τὴν σήν τε, κἀμὴν παῖδα, καὶ σώφρων ἔσῃ.

Χο.

Digitized by Google

Malæ mulieris *cauſa* preciũ perſoluere, *dãtes noſtros* li-
Sic enim inuiſiſſima chariſſimis redimemus. [beros.
Age *vero*, ſi copias *hinc* ducas, in ædibus me relicta,
Et illic, *in agro Troiano*, longum tempus abſis,
Quem in ædibus animum me habituram putas,
Quum ſedes huius omnes aſpiciam vacuas,
Et vacuum conclaue virginum? in lachrymis tũc
Sedebo ſola, lugens ſemper iſtam,
Perdidit te filia pater, qui te genuit,
Ipſe *te* cædens, non alius, nec alia manu,
Tale præmium relinquens familiæ.
Quia leui occaſione tantum opus erit,
Ob quam ego, & filiæ relictæ,
Excipiamus te eo excipiendi modo, quo te excipere de-
Ne igitur per Deos, ne cogas me [cet.
Malã in te eſſe, neq; tu ſis *malus erga me, filiamq; tuam.*
Mactabis igitur filiam? Tunc quas preces cõcipies?
Quid tibi boni in ſacrificio filiæ petes?
Num reditum malũ, cum turpiter domo ſis profectus?
Sed an me iuſtum eſt aliquid boni precari tibi?
,, Nonne igitur iudicabimus Deos ſtultos,
,, Si faueamus parricidis?
An vero Argos reuerſus *ſupplex* accides liberis tuis?
At *hoc* non licebit tibi. Quis autem etiam aſpiciet
Te ex liberis, ſi conſulto aliquem ex ipſis occideris?
De his *ſcil. inter nos* iã verbis cõuenit. an ſceptris te *de-*
Solum excellere, & belli ducem eſſe oportet? [*cet*
Quem conueniebat iuſta apud Græcos dicere.
Vultis Græci nauigare ad Troiam?
Ducatis ſortem, cuius filiam oporteat mori.
Hoc.n *oĩb.* ex æquo erat *cõmune*. haud.n. te vnũ ex oĩb.
Præbere tuam filiam victimam Græcis, [*decebat.*
Aut *oportebat* Menelaũ interficere Hermionem matris
Cuius negotium erat. Nũc vero ego ꝗ dẽ, ꝗ tuũ [cauſa,
Connubium *ſancte* ſeruo, ſpoliabor filia *mea:*
Quæ vero peccauit, reducem puellam
Spartam deducens, erit beata.
Reſponde mihi de his, ſi quid non recte dico:
Quod ſi probe dixi, ne occidas
Meam ac tuam filiam, & ſapiens eris.

Cho. Obtempera: nam honeſtum eſt conſeruare libe
„ Agamemnon: nemo mortaliū cōtra hæc dixerit
Iphi. O pater, ſi Orphei facundiam haberem,
Vt poſsē incātando ꝑſuadere lapides vt me ſeque
Et demulcere verbis, quos vellem,
Huc veniſſem, *hac raōe iā vſa fuiſſē*. nūc vero ꝙ ſola h
Lachrymas ꝓbebō: hęc .n. poſſum⁹. [piēter facere poſsi
Applico vero tuis genibus, tanꝗ̄ ramū ſupplicantium
Meum corpus, quod iſta peperit tibi,
„ Ne me interficias immaturā. iucūdú .n. eſt hāc lucem
„ Aſpicere: neq; me cogas videre ea, quæ ſunt ſubterra.
Prima ego te patrem appellaui, & tu me filiam:
Prima etiam admouens corpus meum tuis genibus,
Gratas voluptates dedi, & recepi viciſſim.
Iſta vero erat tua oratio, ô filia, te ne
Videbo in ædibus beati viri
Viuentem & florentem, vt me dignum eſt?
Mea vero viciſſim *oratio* hæc erat, pendentis *a tuis*
Genis, quas nuuc manibus contrecto.
Quid vero ego te ſenem num excipiam
Pater grato hoſpitio mearum ædium,
Reddens tibi gratiam laborioſæ nutricationis?
Horum enim ſermonum memoriam adhuc ſeruo,
Tu vero oblitus es, & me occidere vis.
Ne per Pelopem, & patrem Atreum,
Et per matrem, quæ me prius pariens.
Nunc capit ſecundos hos dolores partus, *ne me cadas*
Quid mihi rei eſt cum nuptiis Alexandri
Et Helenæ? vnde pater venit ad meam necem?
Reſpice me, largire mihi tuum aſpectum, & oſculum,
Vt, ſi mihi moriendum ſit, habeam hoc ſaltem tui
Monumentum, ſi non parueris meis verbis.
Frater exiguus tu quidem auxiliator *es* amicis:
Tamen cum lachrymis patri ſis ſupplex,
„ Ne occidat tuam ſororem. Senſus *enim* quidam
„ Malorum ineſt etiam in infantibus.
Ecce o pater, tacens iſte ſupplicat tibi.
Quare mei rationem habe, & *meam* miſerare vitam.
Næ, nos duo chari rogamus te per tuas genas.
Alter quidē infans adhuc eſt, altera vero grādiuſcula.
In

Πιθοῦ. τὸ γάρ τοι τέκνα συσσώζειν, καλὸν,
„ Ἀγάμεμνον. οὐδεὶς πρὸς τάδ' ἀντείποι βροτῶν.
Φι. Εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον
Πείθειν ἐπάδουσ' ὥσθ' ὁμαρτεῖν μοι πέτρας,
Κηλεῖν τε τοῖς λόγοισιν οὓς ἐβουλόμην,
Ἐνταῦθ' ἂν ἦλθον. νῦν δὲ τἀπ' ἐμοῦ σοφὰ,
Δάκρυα παρέξω. ταῦτα γὰρ δυναίμεθα.
Ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν,
Τὸ σῶμα τοὐμὸν, ὅπερ ἔτικτεν ἥδε σοι,
„ Μή μ' ἀπολέσῃς ἄωρον. ἡδὺ γὰρ τὸ φῶς
„ Βλέπειν. τὰ δ' ὑπὸ γῆς μή μ' ἰδεῖν ἀναγκάσῃς.
Πρώτη σ' ἐκάλεσα πατέρα, καὶ σὺ παῖδ' ἐμέ.
Πρώτη δὲ γόνασι σοῖσι σῶμα δοῦσ' ἐμὸν,
Φίλας χάριτας ἔδωκα, κἀντεδεξάμην.
Λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'. ἆρά σ', ὦ τέκνον,
Εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαι
Ζῶσάν τε, καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
Οὑμὸς δ' ὅδ' ἦν αὖ, περὶ σὸν ἐξαρτωμένης
Γένειον, οὗ νῦν ἀντιλάζομαι χερί.
Τί δ' ἆρ' ἐγώ σε πρέσβυν; ἆρ' εἰσδέξομαι
Ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων πάτερ,
Πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
Τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
Σὺ δ' ἐπιλέλησαι, καί μ' ἀποκτεῖναι θέλεις.
Μὴ πρός γε Πέλοπος, καὶ πρὸς Ἀτρέως πατρὸς,
Καὶ τῆς γε μητρὸς, ἣ πρὶν ὠδίνουσ' ἐμὲ,
Νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
Τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων,
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τῷ 'μῷ, πάτερ;
Βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς, φίλημά τε.
Ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
Μνημεῖον, εἰ μὴ τοῖς ἐμοῖς πείθῃ λόγοις.
Ἀδελφὲ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
Ὅμως δὲ συνδάκρυσον ἱκέτης γενοῦ πατρὸς,
„ Τὴν σὴν ἀδελφὴν μὴ θανεῖν. αἴσθημά τι
„ Κἀν νηπίοις γε τῶν κακῶν ἐγγίνεται.
Ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.
Ἀλλ' αἴδεσαί με, καὶ κατοίκτειρον βίον.
Ναὶ, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω.
Ὁ μὲν νεοσσός ἐστιν, ἡ δ' ηὐξημένη.

Digitized by Google

Ἓν συντεμοῦσα, πάντα νικήσω
λόγον,
,, Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν.
,, Τὰ νέρθε δ' οὐδείς. μαίνεται δ', ὃς εὔχεται
,, Θανεῖν. κακῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς.
χο. Ὦ τλῆμον Ἑλένη διὰ σὲ καὶ τοὺς σοὺς γάμους,
Ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.
ἀγα. Ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι, καὶ
τὰ μή,
Φιλῶν ἐμαυτοῦ τέκνα. μαινοίμην γὰρ ἄν.
Δεινῶς δ' ἔχει με ταῦτα τολμῆσαι, γύναι,
Δεινῶς δὲ, καὶ μή. τοῦτο γὰρ πρᾶξαί με δεῖ.
Ὁρᾶθ' ὅσον στράτευμα ναύφρακτον τόδε,
Χαλκέων ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
Οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι,
Εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει.
Οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον.
Μέμηνε δ' Ἀφροδίτη τις Ἑλλήνων στρατῷ,
Πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα,
Παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικάς,
Οἳ τὰς ἐν Ἄργει παρθένους κτείνουσί μου.
Ὑμᾶς τε κἀμὲ, θέσφατον εἰ λύσω θεᾶς.
Οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον,
Οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
Ἀλλ' Ἑλλάς, ᾗ δεῖ κἂν θέλω, κἂν μὴ θέλω,
Θῦσαί σε. τούτου δ' ἥσσονες καθέσταμεν.
Ἐλευθέραν γὰρ δεῖ νιν, ὅσον ἐν σοὶ τέκνον,
Κἀμοὶ, γενέσθαι, μηδὲ βαρβάροις ὕπο
Ἕλληνας ὄντας, λέκτρα συλᾶσθαι βίᾳ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

κλυ. Ὦ τέκνον, ὦ ξέναι,
Οἳ ἐγὼ, θανάτου σου μελέα.
Φεύγει σε πατὴρ ἅδῃ παραδούς.
ἰφι. Οἳ ἐγὼ μῆτερ μῆτερ ταὐτὸ γὰρ
Μέλος εἰς ἀμφοῖν πέπτωκε τύχης,
Κοὐκέτι μοι φῶς,
Οὐδ' ἀελίου τόδε φέγγος.
Ἰὼ. ἰὼ νιφόβολον
Φρυγῶν νάπος,
Ἴδας τ' ὄρεα. Πρίαμος ὅθι ποτὲ

In vnum breuiter *rem totam* conferens, omnes ratio-
nes *meis contrarias* vincam.
„ Gratiſſimum *eſt* hominibus intueri hanc lucem,
„ Sed nemo ea, quæ infra *ſunt*, *cupit videre:* inſanit enim
„ Mori. Melius *eſt* male viuere, quã bene mori. [q. cupit
o. O infauſta Helena, propter te & tuas nuptias,
Magnum venit certamen inter Atridas & liberos.
a. Ego quidem intelligo, vbi ſit opus miſeratione, & vbi
minus,
Amans meos liberos: inſanirẽ enim, *ſi aliter facerem:*
Grauiter vero me cogit *neceſſitas* hæc audere, mulier.
Graue etiam nõ *audere*: oportet enim me hoc facere.
Videtis quantus hic ſit naualis exercitus?
Quot Græcorum reges æreis *in* armis?
Quibus ad Ilii turres traiectus non datur,
Niſi te mactauero, quemadmodũ dicit Calchas vates,
Neque licet euertere nouam ſedem Troiæ.
Libido vero quædam inceſſit exercitum Græcorum
Nauigandi quam celerrime in terrã barbarorum,
Compeſcendiq; Græcanicos coniugum raptus,
Qui meas filias Argis occident,
Et vos, meque, ſi ſoluero, *irritumq; fecero* oraculũ deæ,
Non me Menelaus, filia, ſubegit,
Nec in illius ſententiam conceſſi:
Sed Græcia *me cogit*, cui oportet me ſeu velim, ſeu non
Mactare te. hac.n *neceſſitate* ſumus inferiores. [velim,
Oportet enim eam liberam, quantum in te *eſt* filia,
Et me, fieri, neque a barbaris
Eos, qui ſunt Græci, coniugibus per vim ſpoliari.

MONOSTROPHICA.

Cly. O filia, ô hoſpitæ,
Heu me miſeram propter tuam mortem.
Fugit te pater, tradens te Plutoni, *i morti.*
Iphi. Heu mihi mater, mater, (idem enim
Carmen conuenit ad vtriuſque fortunam)
Non amplius mihi lucem,
Neque ſolis hunc ſplendorem *licebit intueri.*
Heu heu niuoſa
Phrygum memora,
Et montes Idæ, vbi Priamus olim

Infantem tenerum expoſuit,
A matre procul amotum,
Ad mortem funeſtam *miſſum*,
Parin: qui Idæus, Idæus
Dicebatur, dicebatur in vrbe Phrygum.
Vtinam *Priamus* nunquam circa
Boues bubulcum educatum
Parin collocaſſet
Ad aquas limpidas, vbi fontes
Sunt Nympharum,
Et pratum floribus
Florens viridibus,
Et roſei flores hyacin-
thique Deabus decerpendi.
Quo quondam venit Pallas, &
Doloſa Venus,
Et Iuno, & Mercurius nuncius Iouis
(Venus quidē ſuperbiens amore, *quo cūctis dominatur*.
Haſta vero Pallas,
Iunoque Iouis regis
Regiis nuptiis)
Ad odioſum iudicium,
Et contentionem formæ,
Quod mihi quidem mortem, nomen vero, *decusq;*
Afferet Danaïs ô puellæ.
Cho. Victimarum primitias accepit te Diana ad Ilium *offe-*
[rendam
Iphi. At qui me miſeram genuit,
O mater, ô mater,
Abit, prodens *me* deſertam.
O me miſeram, quæ acerbam,
Acerbam, *ac* infauſtam Helenam vidi,
Interficior, pereo
Impia cæde
Impii patris.
Vtinam ne mihi nauium æreis roſtris *munitarū*
Puppes hæc Aulis excepiſſet
In hos portus: *ſed* ad Troiam
Vtinā claſſem ſecūdo vēto, *curſuq; delatā rectâ miſiſſet.*
Nec nauigationē *Græcis* cōtrariā *in* Euripo ſpirans de-
Iupiter, demulcens auram aliis [diffla-
Alia-

Βρέφος ἁπαλὸν ἔβαλε,
Μητρὸς ἀπόπρο νοσφίσας,
Ἐπὶ μόρῳ θανατόεντι,
Πάριν, ὃς ἰδαῖος, ἰδαῖος
Ἐλέγετ᾽ ἐλέγετ᾽ ἐν Φρυγῶν πόλει.
Μή ποτ᾽ ὤφειλε τὸν ἀμφὶ
Βουσὶ βουκόλον τραφέντ᾽
Ἀλέξανδρον οἰκίσαι
Ἀμφὶ τὸ λευκὸν ὕδωρ, ὅθι κρῆναι
Νυμφᾶν κεῖνται,
Λειμών τ᾽ ἄνθεσι
Θάλλων χλωροῖς,
Καὶ ῥοδόεντ᾽ ἄνθεα, ὑακίν-
θινά τε θεαῖσι δρέπειν.
Ἔνθά ποτε Παλλὰς ἔμολε, καὶ
Δολιόφρων Κύπρις,
Ἥρα θ᾽, Ἑρμᾶς θ᾽ ὁ Διὸς ἄγγελος.
Ἃ μὲν ἐπὶ πόθῳ τρυφῶσα Κύπρις,
Ἃ δὲ δορὶ Παλλὰς,
Ἥρα τε Διὸς ἄνακτος
Εὐναῖσι βασιλίσι,
Κρίσιν ἐπὶ στυγνὰν,
Ἔριν τε τὰν καλλονᾶς,
Ἐμοὶ δὲ θάνατον, ὄνομα μὲν
Φέροντα Δαναΐδαισιν, ὦ κόραι.
χο. Πρόθυμά σ᾽ ἔλαβεν Ἄρτεμις πρὸς Ἴλιον.
ἰφι. Ὁ δὲ τεκών με τὰν τάλαιναν,
Ὦ μῆτερ, ὦ μῆτερ,
Οἴχεται προδοὺς ἔρημον.
Ὦ δυστάλαιν᾽ ἐγὼ, πικρὰν
Πικρὰν ἰδοῦσα δυσελέναν,
Φονεύομαι, διόλλυμαι
Σφαγαῖσιν ἀνοσίοισιν,
Ἀνοσίου πατρός.
Μή μοι ναῶν χαλκεμβολάδων
Πρύμνας ἅδ᾽ Αὐλὶς δέξασθαι
Τούσδ᾽ εἰς ὅρμους, εἰς Τροίαν
Ὤφελεν ἐλάταν πομπαίαν.
Μήτ᾽ ἀνταίαν Εὐρίπῳ πνεῦσαι πομπὰν
Ζεὺς μειλίσσων αὔραν ἄλλοις

Ἄλλαν θνατῶν λαίφεσι χαίρειν,
Τοῖς δὲ λύπαν, τοῖς δ' ἀνάγκαν,
Τοῖς δ' ἐξορμᾶν, τοῖς δὲ στέλλειν,
Τοῖσι δὲ μέλλειν.
Ἦ πολύμοχθον ἄρ' ἦν γένος,
Ἦ πολύμοχθον ἀμερίων;
Χρεὼν δέ τι
Δύσποτμον ἀνδράσιν εὑρεῖν;

χο. Ἰὼ, ἰώ. μεγάλα πάθεα, μεγάλα δ' ἄχεα
Τοῖς Δαναΐδαις τιθεῖσα Τυνδαρὶς κόρη.
Ἐγὼ μὲν οἰκτείρω σε συμφορᾶς κακῶν
Τυχοῦσαν, οἵας μή ποτ' ὤφελες τυχεῖν.

Τροχαῖοι.

ἰφι. Ὦ τεκοῦσα μῆτερ, ἀνδρῶν ὄχλον εἰσορῶ
πέλας.
κλυ. Τόν τε τῆς θεᾶς παῖδ', ὦ τέκνον γ', ᾧ δεῦρ' ἐλήλυθας.
ἰφι. Διαχαλᾶτέ μοι μέλαθρα δμῶες, ὡς κρύψω δέμας.
κλυ. Τί δὲ φεύγεις τέκνον; ἰφι. τὸν Ἀχιλλέα, τὸν ἰδεῖν αἰσχύνομαι.
κλυ. Ὡς τί δή; ἰφι. τὸ δυστυχές μοι τῶν γάμων αἰδῶ
φέρει.
κλυ. Οὐκ ἐν ἁβρότητι κεῖσαι πρὸς τὰ νῦν πεπραγμένα.
Ἀλλὰ μίμν'. οὐ σεμνότητος ἔργον, ἢν δυνώμεθα.
ἀχι. Ὦ γύναι τάλαινα, Λήδας θύγατερ. Κλυ. οὐ ψευδῆ θροεῖς.
ἀχι. Δείν' ἐν Ἀργείοις βοᾶται. Κλυ. τίνα βοήν; σή-
μαινέ μοι.
ἀχι. Ἀμφὶ σῆς παιδός. Κλυ, πονηρὸν εἶπας οἰωνὸν λόγον.
ἀχι. Ὡς χρεὼν σφάξαι νιν. Κ. κοὐδεὶς τοῖσδ' ἐναντίον λέγει;
ἀχι. Εἰς θόρυβον ἐγώ τοι καὐτὸς ἤλυθον. Κλυ. ἐς τίν' ὦ ξένε;
ἀχι. Σῶμα λευσθῆναι πέτροισι. Κλυ. μῶν κόρην σώζων
ἐμήν;
ἀχι. Αὐτὸ τοῦτο. Κλυ. τίς δ' ἂν ἔτλη σώματος τοῦ
σοῦ θιγεῖν;
ἀχι. Πάντες Ἕλληνες. Κλυ. στρατὸς δὲ μυρμιδόνων οὔ σοι παρῆν;
ἀχι. Πρῶτος ἦν ἐκεῖνος ἐχθρός. Κλυ. δι' ἄρ' ὀλώλαμεν, τέκνον.
ἀχι. Οἵ με τῶν γάμων ἀπεκάλουν ἥσσον'. Κλυ. ἀπε-
κρίνω δὲ τί;
ἀχι. Τὴν ἐμὴν μέλλουσαν εὐνὴν, μὴ κτανεῖν. Κλυ. δί-
καια γάρ.
ἀχι. Ἣν ἐφήμισεν πατήρ μοι. Κλυ. κἀργόθεν γ'
ἐπέμψατο.

ΑΧ'

Aliam hominibus,vt gaudeant velis,
Aliis quidem dolorem, aliis vero neceſſitatē *immittēs*,
Aliis *dans* vt portu ſoluant,aliis,vt nauigent,
Aliis vero,vt morentur.
Nonne igitur calamitoſum eſt genus,
Nonne calamitoſum *eſt genus* mortalium?
Quorſum igitur opus eſt
Hominibus accerſere malam mortem?

Cho. Heu heu,magnas clades,magnos etiam dolores
Græcis affert filia Tyndari.
Miſeret me quidem tui quæ calamitatem malorum
Nacta es,in quam vtinam nunquam incidiſſes.

Iphigenia.

O mater,quæ me peperiſti,video turbam virorum aduenientem.

Cly. Et filium Deæ,ô fili*a*,cui huc veniſti *vt nuberes.*

Iphi. Aperite mihi fores,famulæ,vt occultem corpus.

Cly. Quid vero fugis filia? *Ip.* Achillē,quē pudet me videre.

Cly. Quid ita? *Iph.* Infelicitas mearum nuptiarum adfert mihi pudorem.

Cly. Ne delicate te geras in præſenti negotio:
Sed mane,nō eſt locus iam iſti verecūdię, ſi poſſumus.

Ach. O miſerā mulierē,filiā Ledæ. *Cly.* Non falſa dicis.

Ach. Atrociter clamatur inter Argiuos. *Cly.* Quis clamor? indica mihi.

Ach. Super tua filia. *Cly.* Malū omen verborum dixiſti.

Ach. Quod oporteat eā mactari. *C.* Et nemo iſtis cōtradicit?

Ach. Ego etiā ipſe in periculū veni. *Cly.* In quod,ô hoſpes?

Ach. Ne corpus meum obrueretur lapidibus. *Cly.* Num filiam meam ſeruare *volens?*

Ach. Hoc ipſum *negotii fuit*. *Cly.* Quis vero auſus eſt attingere tuum corpus?

Ach. Omnes Græci. *Cly.* Exercitus vero Myrmidonū non [aderat tibi?

Ach. Ille primus erat aduerſarius. *Cly.* Periimus igitur,filia.

Ach. Qui me vocabant inferiorem nuptiis. *Cly.* Verum quid reſpondiſti?

Ach. Ne interficerent eam, quæ eſſet futura mea coniux:
Cly. Recte vero *dixiſti*.

Ach. Quam mihi nuncupaſſet pater. *Cly.* Et Argis *huc* euocaſſet.

Ach.

Ach. Sed vincebar clãore. *C.* Eſt.n. vehemẽs malũ multis

Ach. Attamẽ iuuabo te. *Cly.* An tu vnꝰ pugnabis cũ mi

Ach. Hosne vides adferentes arma? *Cyl.* Fructum ex animo percipias.

Ach. At fructũ ꝑcipiemꝰ. *C.* Nõ ãpliꝰ igitur mactabitur fil

Ach. Non me ſaltem volente. *Cly.* An vero veniet qui pu-ellam attingat, *ac nobis eripiat?*

Ach. Plurimi. Vlyſſes vero abducet *eã* *C.* Nũ ꝓpago Siſyphi

Ach. Ille ipſe. *C.* Priuatimne id faciẽs, an iuſſus ab exercitu?

Ach. Electus *ad hoc* volens. *Cyl.* Malam vero electionem *elegit*, vt ſe cæde polluat.

Ach. Sed ego arcebo eum. *Cly.* An vero ducet eam raptam non volentem? [ture?

Ach Scil. flaua coma *correptã*. *C.* Me vero q̃d oportet facere

Ach. Retine filiam. *Cly.* An propter hoc non mactabitur?

Ach. Sed tamen ad hoc veniet. *Iph.* Mater audite

Mea verba: fruſtra .n. te video iraſci [cile eſt ſuſtinere.

„ Marito tuo. quæ enim nobis ſunt impoſſibilia, non fa-

„ Iſtum quidem hoſpitem æquum eſt laudare propter

„ prom ptum animum iuuandi: [ris,

„ Sed & te illud videre oportet, ne apud exercitũ accuſe-

„ Et nihil tamen plus efficiamus, Achilles autem in calamitatem incidat.

Audi aũt mater, quę mihi cogitãti in mentẽ venerint,

Mori quidẽ mihi placet, *ac decreui*: ſed hoc ipſum volo

Glorioſe facere, omittens procul indignationem,

Conſidera vero iam nobiſcum mater quã recte dicam.

Tota maxima Græcia in me nunc intuetur,

Et in me traiectio nauiũ *ſita eſt*, & euerſio Phrygum.

Poſteraſque mulieres, ſi quid intentent barbari,

Non amplius ex beata Græcia rapi permittam.

Poſtquam *barbari perniciẽ, i.* pernicioſum raptũ Hele-nes *capite* luerint, quam Paris rapuit.

Hæc omnia morte mea redimam, & mea gloria

Erit beata, quod ego liberauerim Græciam.

„ Etenim non valde opus eſt mihi amare vitam.

„ Peperiſti enim me cõmunẽ omnib. Gręcis, nõ tibi ſoli.

Multi enim viri muniti clypeis:

Multi etiam remiges, propter iniuria affectã patriam,

Audebũt aliq̃d facere cõtra hoſtes, & mortẽ oppetere pro Græcia. Mea

Digitized by Google

Αχ. Ἀλλ' ἐνικώμην κεκραγμοῦ. Κλυ. Τὸ πολὺ γὰρ δεινὸν κακόν.
Αχ. Ἀλλ' ὅμως ἀρήξομέν σοι. Κλυ. Καὶ μάχῃ πολλοῖσιν εἷς;
Αχ. Εἰσορᾷς τεύχη φέροντας τούσδε; Κλυ. ὄναιο τῶν φρενῶν.
Αχ. Ἀλλ' ὀνησόμεσθα. Κλυ. παῖς ἄρ' οὐκέτι σφαγήσεται.
Αχ. Οὐκ ἐμοῦ γ' ἑκόντος. Κλυ. ἥξει δ' ὅστις ἅψεται κόρης;
Αχ. Μυρίοι γ'. ἄξει δ' Ὀδυσσεύς. Κλυ. ἆρ' ὁ Σισύφου γόνος;
Αχ. Αὐτὸς οὗτος. Κλυ. ἴδια πράσσων, ἢ στρατοῦ ταχθεὶς ὕπο;
Αχ. Αἱρεθεὶς ἑκών. Κλυ. πονηράν γ' αἵρεσιν μιαιφονεῖν.
Αχ. Ἀλλ' ἐγὼ σχήσω νιν. Κλυ. ἄξει δ' οὐχ ἑκοῦσαν ἁρπάσας;
Αχ. Δηλαδὴ ξανθῆς ἐθείρης. Κλυ. ἐμὲ δὲ τί χρὴ δρᾶν τότε;
Αχ. Ἀντέχου θυγατρός. Κλ. ὡς τοῦδ' οὕνεκ' οὐ σφαγήσεται;
Αχ. Ἀλλὰ μὴν εἰς τοῦτό γ' ἥξει. Ιφι. Μῆτερ, εἰσακούσατε
Τῶν ἐμῶν λόγων. μάτην γάρ σ' εἰσορῶ θυμουμένην
„ Σῷ πόσει. Τὰ δ' ἀδύναθ' ἡμῖν, καρτερεῖν οὐ ῥᾴδιον.
„ Τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας.
„ Ἀλλὰ καὶ σὲ τοῦθ' ὁρᾶν χρὴ, μὴ διαβληθῇς στρατῷ,
„ Καὶ πλέον πράξωμεν οὐδὲν, ὅδε δὲ συμφορᾶς τύχῃ.
Οἷα δ' εἰσῆλθέν μ' ἄκουσον, μῆτερ, ἐννοουμένην.
Κατθανεῖν μέν μοι δέδοκται. τοῦτο δ' αὐτὸ βούλομαι
Εὐκλεῶς πρᾶξαι, παρεῖσά γ' ἐκποδὼν τὸ δυσγενές.
Δεῦρο δὴ σκέψαι μεθ' ἡμῶν μῆτερ, ὡς καλῶς λέγω.
Εἰς ἔμ' Ἑλλὰς ἡ μεγίστη πᾶσα νῦν ἀποβλέπει,
Κἀν ἐμοὶ πορθμός τε ναῶν, καὶ Φρυγῶν κατασκαφαὶ,
Τάς τε μελλούσας γυναῖκας, ἤν τι δρῶσι βάρβαροι,
Μηκέθ' ἁρπάζειν ἐᾶν τὰς ὀλβίας ἐξ Ἑλλάδος,
Τὸν Ἑλένης τίσαντας ὄλεθρον, ἥντιν' ἥρπασεν Πάρις.
Ταῦτα πάντα κατθανοῦσα, ῥύσομαι. καί μου κλέος,
Ἑλλάδ' ὡς ἠλευθέρωσα, μακάριον γενήσεται.
„ Καὶ γὰρ οὐδέ τοι λίαν γ' ἐμοὶ φιλοψυχεῖν χρεών.
„ Πᾶσι γάρ μ' Ἕλλησι κοινὸν ἔτεκες, οὐχὶ σοὶ μόνῃ.
Ἀλλὰ μυρίοι μὲν ἄνδρες ἀσπίσιν πεφραγμένοι,
Μυρίοι δ' ἐρέτμ' ἔχοντες, πατρίδος ἠδικημένης,
Δρᾶν τι τολμήσουσιν ἐχθροὺς τε, κὐπὲρ Ἑλλάδος θανεῖν.
„ Ἡ δ'

Digitized by Google

„ Ἡ δ' ἐμὴ ψυχὴ μί' οὖσα, πάντα κωλύσει τάδε.
„ Τί τὸ δίκαιον τοῦτ'; ἆρ' ἔχοιμεν ἀντειπεῖν ἔπος;
Κἀπ' ἐκεῖν' ἔλθωμεν. οὐ δεῖ τόνδε διὰ μάχης μολεῖν
Πᾶσιν Ἀργείοις γυναικὸς οὕνεκ', οὐδὲ κατθανεῖν.
„ Εἷς γ' ἀνὴρ, κρείσσων γυναικῶν μυρίων ὁρᾶν φάος.
Εἰ δ' ἐβουλήθη τὸ σῶμα τοὐμὸν Ἄρτεμις λαβεῖν,
Ἐμποδὼν γενήσομ' ἐγὼ θνητὸς οὖσα τῇ θεῷ;
Ἀλλ' ἀμήχανον. δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι.
Θύετ', ἐκπορθεῖτε Τροίαν. ταῦτα γὰρ μνημεῖά μου
Διὰ μακροῦ, καὶ παῖδες οὗτοι, καὶ γάμοι, καὶ δόξ' ἐμή.
Βαρβάρων δ' Ἕλληνας εἰκὸς
Ἄρχειν, ἀλλ' οὐ βαρβάρους
„ Μῆτερ Ἑλλήνων. τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι.

ΙΑΜΒΟΙ.

χο. Τὸ μὲν σὸν ὦ νεᾶνι, γενναίως ἔχει.
„ Τὸ τῆς τύχης δὲ, καὶ τὸ τοῦ θεοῦ, νοσεῖ.
ἀχι. Ἀγαμέμνονος παῖ, μακάριόν με τις θεῶν
Ἔμελλε θήσειν, εἰ τύχοιμι σῶν γάμων.
Ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ.
Εὖ γὰρ τόδ' εἶπας, ἀξίως τε πατρίδος.
„ Τὸ θεομαχεῖν γὰρ ἀπολιποῦσ', ὅ σου κρατεῖ,
Ἐξελογίσω τὰ χρηστὰ, τἀναγκαῖά γε.
Μᾶλλον δὲ λέκτρων σῶν πόθος μ' εἰσέρχεται,
Εἰς τὴν φύσιν βλέψαντα. γενναία γὰρ εἶ.
Ὅρα δ'. ἐγὼ γὰρ βούλομαί σ' εὐεργετεῖν,
Λαβεῖν τ' ἐς οἴκους. ἄχθομαί τ', ἴστω Θέτις,
Εἰ μή σε σώσω Δαναΐδαισι διὰ μάχης
„ Ἐλθών. ἄθρησον, ὁ θάνατος δεινὸν κακόν.
ἰφι. Λέγω τάδ', οὐδὲν οὐδέν' εὐλαβουμένη.
Ἡ Τυνδαρὶς παῖς διὰ τὸ σῶμ' ἀρκεῖ, μάχας
Ἀνδρῶν τιθεῖσα, καὶ φόνους. σὺ δ' ὦ ξένε,
Μὴ θνῆσκε δι' ἐμὲ, μηδ' ἀποκτείνῃς τινά.
Ἔα δὲ σῶσαί μ' Ἑλλάδ', ἣν δυνώμεθα.
ἀχι. Ὦ λῆμ' ἄριστον, οὐκ ἔχω πρὸς τοῦτ' ἔτι
Λέγειν, ἐπεί σοι τάδε δοκεῖ. γενναῖα γὰρ

„ Φρο

„ Mea vero vnius anima hæc omnia impediet.
„ Quodnam *eſt* hoc ius? an verbum contra *hoc* dicere
„ poſſemus?
Veniamus etiam ad illud, Non oportet hunc pugnare
Cum omnibus Græcis propter mulierem, neq; mori.
„ Vnus enim vir dignior eſt, quam innumeræ mulieres,
„ qui lucem aſpiciat.
Si autem Diana voluit accipere meum corpus,
An ego quæ ſum mortalis obſiſtam Deæ?
Sed impoſſibile eſt, do meum corpus Græciæ.
Mactate *me*, deuaſtate Troiam. hęc. n. mea monumēta
Erunt longo tēpore, & liberi, & nuptiæ, & mea gloria.
Conuenit enim Gręcos barbaris imperare, non autem
barbaros [vero liberi.
„ Græcis, mater. Barbari enim ſunt natura ſerui, Græci

Chorus.

Tuum quidem *factum*, ô puella, generoſum eſt.
„ Fortunæ vero, Deæque *auxilium* laborat.

Ach. O filia Agamemnonis, beatū me Deorū aliquis
Facturus eſſet, ſi tuas nuptias poſſem habere:
Beatam vero Græciam propter te iudico, & te *viciſſim*
propter Græciam.
Recte enim dixiſti hæc, & pro dignitate patriæ.
„ Omittens enim repugnare Deo, qui te potentior eſt,
Expendiſti quæ bona *ſunt*, & neceſſaria.
Magis vero me ſubit deſiderium nuptiarum tuarum,
Poſtquam animaduerti tuā indolem. es. n. generoſa.
Vide autem ego enim cupio tibi benefacere,
Et ducere in ædes: doleoque, teſtis ſit Thetis;
Niſi te ſeruaro cum Græcis pugnans.
„ Conſidera, mors magnum eſt malum.

Iphi. Loquor iſta, neminem vllo modo reſpiciens.
Tyndarea filia, *i Helena* propter corpus, *formamque*
excellit, bella
Virorum faciens, & cædes. tu vero ô hoſpes,
Ne moriaris propter me, neq; occidas quemquā.
Sine vero me Græciam ſeruare, ſi poſſimus.

Ach. O præſtantiſſimam animi præſentiam, non poſſum
ad hæc amplius *quidquam*
Dicere, ſiquidem tibi iſta videntur. Generoſa enim

Sen-

„ Sentis. cur enim non dicat quis verum?
Sed tamē fieri poteſt, vt te cōſilii huius pœniteat.
Vt igitur ſcias quæ a me *tibi* dicta *ſunt*,
Vadens ponam hæc arma iuxta aram,
Vt non permiſſurus te: ſed prohibiturus mori.
Et tu fortaſſe mox meo conſilio vteris,
Quando videbis enſem prope tuum collum:
Non igitur ſinam te iſta tua temeraria audacia mori,
Sed veniens cum armis iſtis ad templum Deæ,
Expectabo illic tuam præſentiam.

Iphi. Mater, quid tacite oculos humectas lachrymis?
Cly. Ego miſera habeo cauſſam cur doleam animo.
Iphi. Potius me compeſcas, ne languefacias. obtempera vero mihi in hac re,
Cly. Dicito filia, quia a nobis non afficieris iniuria.
Iphi. Ne igitur tuæ comæ cincinnos reſeces.
Neq; circa corpus circūda nigras veſtes. [*gebo?*
Cly. Cur vero hoc dixiſti, ô filia? vbi te perdidero, [illegible]
Iphi. Nō ꝓfecto tu ſaltē. ſalua ſum. pp me vero, clarior eris.
Cly. Quomodo dixiſti? nō cōuenit me lugere tuā mortem?
Iphi. Minime, quia mihi non excitabitur ſepulchrum.
Cly. Quid vero, an non ipſa mors exiſtimatur ſepultura?
Iphi. Ara deæ filiæ Iouis erit mihi ſepulchrum.
Cly. At ô filia, obſequar tibi: bene enim dicis.
Iphi. Vt pote beata, & beneficio afficiens Græciam.
Cly. Sed quid nunciabo tuis ſororibus?
Iphi. Ne ipſis quidem circumdes nigras veſtes. [ne?
Cly. Quodnā vero gratū verbū dicā virginibus tuo nomi-
Iphi. Vt valeant: Oreſtem vero hūc educato mihi in virum.
Cly. Complectere eum quem poſtremum vides.
Iphi. O chariſſime, iuuiſti quantum potuiſti amicos.
Cly. Eſt ne aliquid quod Argis tibi gratum facere poſſim?
Iphi. Meum patrem, tuumque maritum, ne oderis.
Cly. Oportet illum dura certamina propter te ſubire.
Iphi. Inuitus me pro Græcia perdidit.
Cly. Sed dolo, non generoſe, & indigne genere Atrei.
Iphi. Quis vadit, ducturus me antequam lacerentur comæ?
Cly. Ego tecum ibo *Iph.* Nequaquam, nō recte dicis.
Cly. Adhærens tuæ veſti. *Iph.* Obtempera mihi mater.
Mane, quia & mihi, & tibi hoc *eſt* honeſtius.

Ali-

» Φρονεῖς. τί γὰρ τἀληθὲς οὐκ εἴποι τις ἄν;
Ὅμως δ' ἴσως γε κἂν μεταγνοίης τάδε.
Ὡς οὖν ἂν εἰδῇς τἀπ' ἐμοῦ λελεγμένα,
Ἐλθὼν, τάδ' ὅπλα θήσομαι βωμοῦ πέλας.
Ὡς οὐκ ἐάσων σ', ἀλλὰ κωλύσων θανεῖν.
Χρήσῃ δὲ καὶ σὺ τοῖς ἐμοῖς λόγοις τάχα,
Ὅταν πέλας σῆς φάσγανον δέρης ἴδῃς.
Οὔκουν ἐάσω σ' ἀφροσύνῃ τῇ σῇ θανεῖν.
Ἐλθὼν δὲ σὺν ὅπλοις τοῖσδε πρὸς ναὸν θεᾶς.
Καραδοκήσω τὴν ἐκεῖ παρουσίαν.
ἰφι. Μῆτερ; τί σιγῇ δακρύοις τέγγεις κόρας;
κλυ. Ἔχω τάλαινα πρόφασιν, ὥστ' ἀλγεῖν φρένα.
ἰφι. Παῦσαί με, μὴ κάκιζε· τάδε δ' ἐμοὶ
πιθοῦ.
κλυ. Λέγ', ὡς παρ' ἡμῶν οὐδὲν ἀδικήσῃ, τέκνον.
ἰφι. Μήτ' οὖν γε τὸν σὸν πλόκαμον ἐκτέμῃς τριχὸς,
Μήτ' ἀμφὶ σῶμα μέλανας ἀμπίσχῃ πέπλους.
κλυ. Τί δὴ τάδ' εἶπας, ὦ τέκνον, ἀπολέσασά σε;
ἰφι. Οὐ σύ γε, σέσωσμαι· κατ' ἐμὲ δ' εὐκλεὴς ἔσῃ.
κλυ. Πῶς εἶπας; οὐ πενθεῖν με τὴν ψυχὴν χρεών;
ἰφι. Ἥκιστ', ἐπεί μοι τύμβος οὐ χωσθήσεται.
κλυ. Τί δαί; τὸ θνάσκειν οὐ τάφος νομίζεται;
ἰφι. Βωμὸς θεᾶς μοι μνῆμα, τῆς Διὸς κόρης.
κλυ. Ἀλλ' ὦ τέκνον, σοι πείσομαι. λέγεις γὰρ εὖ.
ἰφι. Ὡς εὐτυχοῦσά γ', Ἑλλάδος τ' εὐεργέτις.
κλυ. Τί δαὶ κασιγνήταισιν ἀγγελῶ σέθεν;
ἰφι. Μηδ' ἀμφὶ κείναις μέλανας ἐξάψῃ πέπλους.
κλυ. Εἴπω δὲ παρὰ σοῦ φίλον ἔπος τι παρθένοις;
ἰφι. Χαίρειν γ'. Ὀρέστην τ' ἔκτρεφ' ἄνδρα τόνδε μοι.
κλυ. Προσέλκυσαί νιν ὕστατον θεωμένη.
ἰφι. Ὦ φίλτατ', ἐπεκούρησας ὅσον εἶχες φίλοις.
κλυ. Ἔσθ' ὅ τι κατ' Ἄργος δρῶσά, σοι χάριν φέρω;
ἰφι. Πατέρα τὸν ἐμὸν μὴ στύγει, πόσιν τε σόν.
κλυ. Δεινοὺς ἀγῶνας διὰ σὲ κεῖνον δεῖ δραμεῖν.
ἰφι. Ἄκων μ' ὑπὲρ γῆς Ἑλλάδος διώλεσεν.
κλυ. Δόλῳ δ', ἀγεννῶς Ἀτρέως τ' οὐκ ἀξίως.
ἰφι. Τίς μ' εἶσιν ἄξων πρὶν σπαράξεσθαι κόμης;
κλυ. Ἐγὼ μετά γε σοῦ. Ιφι. μὴ σύ γ'. οὐ καλῶς λέγεις.
κλυ. Πέπλων ἐχομένη σῶν. Ιφι. ἐμοὶ μῆτερ πιθοῦ.
Μέν', ὡς ἐμοί τε, σοί τε κάλλιον τόδε.

Πατρὸς

Digitized by Google

Πατρὸς δ' ὀπαδῶν τῶνδέ τίς με πεμπέτω
Ἀρτέμιδος εἰς λειμῶν', ὅπου σφαγήσομαι.
κλυ. Ὦ τέκνον, οἴχῃ. Ιφι. καὶ πάλιν γ' οὐ μὴ μόλω.
κλυ. Λιποῦσα μητέρα. Ιφι. ὡς ὁρᾷς γ', οὐκ ἀξίως.
κλυ. Σχές, μή με προλίπῃς. Ιφι. οὐκ ἐῶ στάζειν δάκρυ.
Ὑμεῖς δ' ἐπευφημήσατ' ὦ νεάνιδες
Παιᾶνα, τῇ 'μῇ συμφορᾷ, Διὸς κόρην
Ἄρτεμιν. ἴτω δὲ Δαναΐδαις εὐφημία.
Κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω δὲ πῦρ,
Προχύταις καθαρσίοισι. καὶ πατὴρ ἐμὸς
Ἐνδεξιούσθω βωμὸν, ὡς σωτηρίαν
Ἕλλησι δώσουσ' ἔρχομαι νικηφόρον.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ιφι. Ἄγετέ με τὰν Ἰλίου
Καὶ Φρυγῶν ἑλέπτολιν.
Στέφεα περίβολα δίδοτε, φέρε-
τε, πλόκαμος ὅδε καταστέφειν.
Χερνίβων τε παγαῖσιν
Ἑλίσσετ' ἀμφὶ ναὸν,
Ἀμφὶ βωμὸν Ἄρτεμιν,
Τὰν ἄνασσαν Ἄρτεμιν,
Τὰν μάκαιραν.
Ὡς ἐμοῖσιν εἰ χρεὼν
Αἵμασι, θύμασί τε,
Θέσφατ' ἐξαλείψω.
χο. Ὦ πότνια, πότνια μῆτερ,
Ὡς δάκρυα γέ σοι
Δώσομεν ἁμέτερα.
Παρ' ἱεροῖς γὰρ οὐ πρέπει.
ιφι. Ὦ νεάνιδες,
Συνεπαείδετ' Ἄρτεμιν,
Χαλκίδος ἀντίπορον,
Ἵνα τε δόρατα
Μέμονε δάϊα δι' ἐμὸν ὄνομα,
Τᾶς γ' Αὐλίδος στενοπόροις
Ὅρμοις. ἰὼ γᾶ μῆτερ,
Ὦ Πελασγία,
Μυκηναῖαί τ' ἐμαὶ θεράπναι.
χο. Καλεῖς πόλισμα Περσέως,
Κυκλωπίων πόνον χερῶν.

ιφι.

Aliquis vero horum famulorum patris comitetur me
In pratum Dianæ, vbi mactabor.
O filia diſcedis. *Iph.* Et non redibo.
Relicta matre. *Iph.* Vt vides, indigne, *& præter meritũ.*
Siſte gradum, ne me deſeras. *Iph.* Non ſino te lachry-
Vos vero ô puellæ accinite [mari,
Calamitati meæ Pæana ad Iouis filiam
Dianam: veniat autem bonum omen Græcis.
Caniſtra igitur aliquis *depromat, & ſacra* auſpicetur, &
Molis ſalſis luſtralibus. Et pater meus [accedatur ignis,
Teneat aram dextra, quia ſalutem
Græcis datura vado victricem.

MONOSTROPHICA.

i. Ducite me Ilii,
Et Phrygum expugnatricem.
Date coronas contextas, affer-
te. *Nam* iſta coma *eſt* coronanda.
Et fontanis lauacris
Vocate ad templum,
Ad aram Dianam,
Dianam reginam,
Deam beatam.
Quia meo, ſi opus erit,
Sanguine & mactatione.
Oracula delebo, *& numina placabo.*
ro. Veneranda, veneranda mater,
Lachrymas tibi iam
Noſtras dabimus.
Non enim licet in ſacris.
hi. O puellæ
Concelabrate Dianam,
Quæ eſt e regione Chalcidis.
Vbi haſtæ
Bellicæ manent propter meum nomen,
In anguſto huius Aulidis
Portu. ô terra mater,
O Theſſalia,
Et Mycenæ meæ famulæ.
ho. Nominas vrbem Perſei,
Laborem manuum Cyclopicarum.

Iphi. Educaſti magnum lumen Græciæ:
Mori tamen non recuſo.
Cho. Gloria enim te nunquam deſeret.
Iphi. Io io facifera dies,
Et Iouis lumen, aliam,
Aliam vitam,
Et fatum habitabimus.
Vale mihi charum lumen.
Cho. Io io, videte Ilii,
Et Phrygum expugnatricem
Euntem, in caput coronas
Iacientem, & ſacrarum aquarum fontibus *luſtrali,*
Ad aram Deæ, Deæ,
Guttis ſtillantibus ſanguine
Morituram, & generoſam corporis
Ceruicem interficiendam: roſcidi, *riguiq;* fontes
Paterni, & lauacra te manent,
Et exercitus Græcorum volens
Proficiſci ad Troiam.
Sed filiam Iouis
Dianam vocabimus, reginam Deorum,
Vt bonum ſucceſſum det *exercitui,*
O veneranda, quæ humanis victimis
Gaudes, mitte in Phrygum
Terram exercitum Græcorum,
Et doloſas Troiæ ſedes.
Et Agamemnoni cum apparatu bellico,
Græciæ nomine inclytam coronam
Des circa caput tuum *ad*
Perpetuam gloriam ponere.

Nuncius.

O Clytæmneſtra filia Tyndari, ædibus
Egredere, vt audias mea verba.
Cly. Audiens tuam vocem veni huc
Conſternata miſera, metuque perterrefacta,
Ne venias nuncians mihi nouã aliquam calamitatem,
Præter præſentem. *Nun.* Imo vero de tua filia,
Volo tibi mira & horrenda dicere.
Cly. Ne cuncteris igitur: ſed quamprimum dicito.
Nun. Ergo ô chara domina, audies omnia manifeſte:

Dicam

Digitized by Google

Ἔθρεψας Ἑλλάδι μέγα φάος,
Θανοῦσα δ' οὐκ ἀναίνομαι.
Κλέος γὰρ οὔ σε μὴ λίπῃ.
Ἰὼ, ἰώ. λαμπαδοῦχος ἁμέρα,
Διός τε φέγγος ἕτερον,
Ἕτερον αἰῶνα
Καὶ μοῖραν οἰκήσομεν.
Χαῖρέ μοι φίλον φάος.
Ἰὼ, ἰώ. ἴδεσθε τὰν Ἰλίου
Καὶ Φρυγῶν ἑλέπτολιν
Στείχουσαν, ἐπὶ κάρᾳ στέφη
Βαλλομέναν, χερνίβων τε παγὰς,
Βωμόν γε δαίμονος θεᾶς,
Ῥανίσιν αἱματορρύτοις
Θανοῦσαν, εὐφυῆ τε σώματος
Δέρην σφαγεῖσαν. εὔδροσοι παγαὶ
Πατρῷαι μένουσί σε, χέρνιβές τε,
Στρατός τ' Ἀχαιῶν θέλων
Ἰλίου πόλιν μολεῖν.
Ἀλλὰ τὰν Διὸς κόραν
Κλήσωμεν Ἄρτεμιν. θεῶν ἄνασσαν,
Ὡς ἐπ' εὐτυχεῖ πότμῳ.
Ὦ πότνια, θύμασι βροτησίοις
Χαρεῖσα, πέμψον εἰς Φρυγῶν
Γαῖαν Ἑλλάνων στρατὸν,
Καὶ δολόεντα Τροίας ἕδη.
Ἀγαμέμνονά τε λόγχαις
Ἑλλάδι κλεινότατον στέφανον
Δὸς ἀμφὶ κάρᾳ τεὸν
Κλέος ἀείμνηστον ἀμφιθεῖναι.

ΙΑΜΒΟΙ.

Ἀγγ. Ὦ Τυνδαρεία παῖ Κλυταιμνήστρα, δόμων
Ἔξω πέρασον, ὡς κλύοις ἐμῶν λόγων.
Κλυ. Φθογγῆς κλύουσα δεῦρο σῆς ἀφικόμην,
Ταρβοῦσα τλήμων, κἀκπεπληγμένη φόβῳ,
Μή μοί τιν' ἄλλην ξυμφορὰν ἥκεις φέρων,
Πρὸς τῇ παρούσῃ. Ἀγγ. σῆς μὲν οὖν παιδὸς πέρι,
Θαυμαστά σοι καὶ δεινὰ σημῆναι θέλω.
Κλυ. Μὴ μέλλε τοίνυν, ἀλλὰ φράζ' ὅσον τάχος.
Ἀγγ. Ἀλλ' ὦ φίλη δέσποινα, πᾶν πεύσῃ σαφῶς.

Λέξω δ' ἀπαρχῆς, ἤν τι μὴ σφαλεῖσά μου
Γνώμη, ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
Ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης
Ἀρτέμιδος ἄλσος λειμακάς τ' ἀνθηφόρους,
Ἵν' ἦν Ἀχαιῶν σύλλογος στρατεύματος,
Σὴν παῖδ' ἄγοντες, εὐθὺς Ἀργείων ὄχλος
Ἠθροίζεθ'. ὡς δ' ἐσεῖδεν Ἀγαμέμνων ἄναξ,
Ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
Ἀνεστέναξε, κἄμπαλιν στρέψας κάρα,
Δάκρυα προῆγεν, ὀμμάτων πέπλον προθείς.
Ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον,
Ἔλεξε τοιάδ'. ὦ πάτερ πάρειμί σοι.
Τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας,
Καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ,
Θῦσαι δίδωμ' ἑκοῦσα πρὸς βωμὸν θεᾶς,
Ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
Καὶ τοὔπ' ἔμ' εὐτυχεῖτε, καὶ νικηφόρου
Δώρου τύχοιτε, πατρίδα τ' ἐξίκοισθε γῆν.
Πρὸς ταῦτα, μὴ ψαύσῃ τις Ἀργείων ἐμοῦ
Σιγῇ. παρέξω γὰρ δέρην εὐκαρδίως.
Τοσαῦτ' ἔλεξε. πᾶς δ' ἐθάμβησε κλύων
Εὐψυχίαν τε, κἀρετὴν τῆς παρθένου.
Στὰς δ' ἐν μέσῳ Ταλθύβιος, ᾧ τόδ' ἦν μέλον,
Εὐφημίαν ἀνεῖπε, καὶ σιγὴν στρατῷ.
Κάλχας δ' ὁ μάντις εἰς κανοῦν χρυσήλατον
Ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας
Κολεῶν ἔσωθεν, κρᾶτά τ' ἔστεψεν κόρης.
Ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς,
Λαβὼν κανοῦν ἔθρεξε, χέρνιβάς θ' ὁμοῦ,
Ἔλεξε δ'· ὦ θηροκτόν' Ἄρτεμι, παῖ Διός,
Τὸ λαμπρὸν εἰλίσσουσ' ἐν εὐφρόνῃ φάος,
Δέξαι τὸ θῦμα τόδ', ὅ γε σοι δωρούμεθα,
Στρατός τ' Ἀχαιῶν, Ἀγαμέμνων ἄναξ θ' ὁμοῦ,
Ἄχραντον αἷμα καλλιπαρθένου δέρης,
Καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα,
Τροίας τε πέργαμ' ἐξελεῖν ἡμᾶς δορί.
Εἰς γῆν δ' Ἀτρεῖδαι, πᾶς στρατός τ' ἔστη βλέπων.
Ἱερεὺς δὲ φάσγανον λαβών, ἐπεύξατο,
Λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν.
Ἐμοὶ δέ τ' ἄλγος οὐ μικρὸν εἰσῄει φρενί,

Κἀστ'

Dicam autem ordine ab initio, niſi quid lapſa mea
Mens, turbarit linguam in verbis meam.
Poſtquam enim venimus ad filiæ Iouis
Dianæ nemus, & prata florida,
Vbi erat cœtus exercitus Græcorum,
Ducentes tuam filiam, ſtatim turba Græcorum
Congregabatur. vt vero rex Agamemnon vidit
Puellam euntem ad cædem in nemus,
Ingemuit: & retro vertens caput,
Emiſit lachrymas, oculis veſtem opponens.
Illa autem prope patrem, cum ſtetiſſet,
Talia dixit: O pater adſum apud te,
Meum vero corpus pro mea patria,
Et pro tota Græcia
Trado volens, vt mactetur ad aram Deæ, iis
Qui me ducunt: ſiquidem hoc poſtulat oraculum.
Et quod ad me attinet, ſitis fortunati, & victoriæ
Donum conſequamini, & redeatis in patriam.
Quamobrem ne quis Græcorum me tangat
Clam: præbebo enim ceruicem animoſe.
Tantum dixit. omnes aũt qui audiuerunt, obſtupuere
Ob magnitudinem animi, & virginis virtutem.
Talthybius autem ſtans in medio, cui hoc erat curæ,
Imperauit bonam ominationẽ, & ſilentium exercitui.
Calchas vero vates in aureum calathum
Poſuit acutum gladium manu extractum
E vagina, & coronauit caput puellæ.
Sed Achilles circum aram Deæ
Accepto calatho & ſimul aqua, cucurrit.
Dixit autem: O Diana, quæ ferarum cæde gaudes, filia
Agitans clarum lumen noctu, [Iouis,
Recipe hanc victimam, quam tibi donamus,
Et Græcorum exercitus, & ſimul rex Agamemnon,
Impollutum ſanguinem ceruicis pulchræ virginis:
Et concede nobis, vt tuto poſſimus nauigare,
Troiæque arces armis expugnare.
Et exercitus & Atridæ ſteterunt, intuentes terram:
Sacerdos vero correpto gladio precatus eſt,
Et conſiderauit guttur, vbi feriret.
Mihi vero non leuis dolor ſubibat animum:

Et ſtabã inſpiciẽs terrã. ſubito aũt erat videre nun-
Sonum enim plagæ quilibet audierat manifeſte. [tiũ.
Sed nemo vidit virginem quo terræ ſubierit.
Clamat autẽ ſacerdos, acclamat & vniuerſus exercitus,
Inſpicientes inſperatum ab aliquo Deorum
Spectrũ. cui ne tũ q dẽ cũ videbatur fides adhibebatur.
Etenim cerua palpitans iacebat in terra,
Maxima viſu, & eximia ſpectatu,
Cuius ſanguine ara Deę cõſpergebatur vndiq; abũde.
Tunc quanto gaudio Calchantem dixiſſe putas,
O duces communis huius exercitus Græcorum,
Videtis hanc victimam, quam dea
Obiecit ad aram, ceruam montanam?
Hanc magis quam puellam amat,
Ne contaminet aram cæde iſtius generoſæ puellæ:
Libenter hoc accepit, & ſecundam nauigationem
Dabit nobis, & acceſſum ad Troiam.
Quamobrẽ omnes claſſici milites ſumſerunt animos,
Et iuerunt ad naues, quia oportet hoc die
Nos relictis Aulidis cauis receſſibus,
Traiicere mare Ægeum. Poſtquam vero tota
Victima combuſta eſt in Vulcani flamma,
Precatus eſt vtilia, vt exercitus cõſequeretur reditum:
Mittit autem me Agamemnon, vt tibi hæc indicem,
Et dicam quale fatum nactus ſit ex Diis,
Et vt habeat gloriam immortalem in Græcia.
Ego vero, qui adfui, & rem vidi, dico tibi hæc,
Filia tua palam ad Deos auolauit, [maritum.
Aufer igitur dolorẽ, & remitte indignationẽ aduerſus
„ Inopinata enim mortalibus *accidũt fata* Deorũ.
„ Et ſeruant *eos*, quos amant: hic enim dies
„ Vidit mortuam, & viuam tuam filiam.

Cho. Quam lætor tua cauſa, audiens iſta de nuncio.
Viuam enim inter Deos tuam filiam manere dicit.

Cly. O filia cuius Dei furtum es facta?
Quomodo appellem te? quomodo te vocem?
Fingi puto ad conſolationem fruſtra hos ſermones,
Vt tui luctus triſtis finem faciam, *vt te lugere deſinam.*

Cho. Atqui & ipſe rex Agamemnon venit
Eadem tibi dicturus verba.

Digitized by Google

Κἄστην νενευκώς. θαῦμα δ' ἦν αἴφνης ὁρᾶν.
Πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
Τὴν παρθένον δ' οὐκ οἶδεν οὗ γῆς εἰσέδυ.
Βοᾷ δ' ἱερεὺς, ἅπας δ' ἐπήχησε στρατὸς,
Ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
Φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν.
Ἔλαφος γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ,
Ἰδεῖν μεγίστη, διαπρεπής τε τὴν θέαν,
Ἧς αἵματι βωμὸς ἐρραίνετ' ἄρδην τῆς θεοῦ.
Κἀν τῷδε Κάλχας, πῶς δοκεῖς; χαίρων ἔφη.
Ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
Ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
Προύθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
Ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
Ὡς μὴ μιαίνοι βωμὸν εὐγενεῖ φόνῳ.
Ἡδέως τε τοῦτ' ἐδέξατο, καὶ πλοῦν οὔριον
Δίδωσιν ἡμῖν, Ἰλίου τ' ἐπιδρομάς.
Πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
Χώρει τε πρὸς ναῦν, ὡς ἡμέρᾳ τῇδε δεῖ,
Λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς,
Αἰγαῖον οἶδμα διαπερᾶν. ἐπεὶ δ' ἅπαν
Κατηνθρακώθη θῦμ' ἐν Ἡφαίστου φλογὶ,
Τὰ πρόσφορ' ηὔξαθ', ὡς τύχοι νόστου στρατός.
Πέμπει δ' Ἀγαμέμνων μ', ὥστε σοι φράσαι τάδε,
Λέγειν θ' ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ,
Καὶ δόξαν ἔσχεν ἄφθιτον καθ' Ἑλλάδα.
Ἐγὼ παρὼν δὲ, καὶ τὸ πρᾶγμ' ὁρῶν, λέγω,
Ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο.
Λύπης γ' ἀφαίρει, καὶ πόσει πάρες χόλον.
» Ἀπροσδόκητα δὲ βροτοῖσι τὰ τῶν θεῶν.
» Σώζουσί θ', οὓς φιλοῦσιν. ἦμαρ γὰρ τόδε,
» Θανοῦσαν εἶδε, καὶ βλέπουσαν παῖδα σήν.
χο. Ὡς ἥδομαί τοι τοῦτ' ἀκούσασ' ἀγγέλου.
Ζῶν δ' ἐν θεοῖσι σὸν μένειν φράζει τέκος.
κλυ. Ὦ παῖ, θεῶν τοῦ κλέμμα γέγονας;
Πῶς σε προσείπω; πῶς δὲ φῶ;
Παραμυθεῖσθαι τούσδε μάτην μύθους,
Ὡς σου πένθους λυγροῦ παυσαίμαν.
χο. Καὶ μὴν Ἀγαμέμνων ἄναξ στείχει,
Τούσδ' αὐτοὺς ἔχων σοι φράζειν μύθους.

Αγα. Γύναι, θυγατρὸς ἕνεκ' ὄλβιοι γενοίμεθ' ἄν,
Ἔχει γὰρ ὄντως ἐν θεοῖς ὁμιλίαν.
Χρὴ δέ σε λαβοῦσαν τόνδε μόσχον νεαγενῆ,
Στείχειν πρὸς οἴκους, ὡς στρατὸς πρὸς πλοῦν ὁρᾷ.
Καὶ χαῖρε. χρόνιά γε τἀμά σοι προσφθέγματα 162
Τροίηθεν ἔσται. καὶ γένοιτό σοι καλῶς.
Χο. Χαίρων Ἀτρείδη, γῆν ἵκου Φρυγίαν.
Χαίρων δ' ἐπάνηκε,
Κάλλιστά μοι σκῦλ' ἀπὸ Τροίας ἑλών.

Εὐριπίδου Ἰφιγένεια ἡ ἐν Αὐλίδι.

ΥΠΟΘΕΣΙΣ ΙΦΙΓΕΝΕΙΑΣ ΤΗΣ ἐν Ταύροις.

Ὀρέστης κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ Πυλάδου, παρακινηθεὶς, τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῃρεῖτο. προελθὼν δ' ἀπὸ τῆς νεὼς, καὶ φανεὶς ὑπὸ τῶν ἐντοπίων, ἅμα τῷ φίλῳ συλληφθεὶς, ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμὸν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται. τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον. Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Ἰφιγένεια.	Βουκόλος.
Ὀρέστης.	Θόας.
Πυλάδης.	Ἄγγελος.
Χορός.	Ἀθηνᾶ.

Προλογίζει δὲ ἡ Ἰφιγένεια.

ΕΥΡΙ.

Digitized by Google

Aga. Vxor, quod ad filiam attinet, ſumus beati:
Habet enim vere conſortium inter Deos.
Oportet autē te aſſumpto hoc tenero vitulo, *ſc. Oreſte*,
Ire domum: quia exercitus ſpectat ad nauigationem,
Et vale. Ex longo .n. interuallo tibi colloquia mea
Erunt, cum ex Troia redibimus, & bene tibi ſit.
Cho. Gaudens Atrida venias *in* terram Phrygum.
Lætusque redi,
Adferens mihi pulcherrima ſpolia ex Troia.

Finis Iphigeniæ in Aulide.

ARGVMENTVM IPHIGENIAE in Tauris.

Oreſtes oraculo iuſſus, veniens in Tauros Scythiæ cum Pylade, inſania commotus furtim auferre ſimulacrum Dianæ, quod apud eos colitur, inſtituit. Progreſſus autem ex naui, conſpectus eſt ab incolis, & captus vna cum Pylade. Adductus eſt autem ad templum Dianæ, vt ibi mactaretur, prout ipſorum erat conſuetudo, vt eo nauigantes hoſpites occiderent. Scena fabulæ fingitur in Tauris Scythiæ. Chorus conſtat ex Græcis mulieribus, ancillis Iphigeniæ.

PERSONÆ HVIVS fabulæ ſunt hæ;

Iphigenia.	*Paſtor.*
Oreſtes.	*Thoas.*
Pylades.	*Nuncius.*
Chorus.	*Minerua.*

Prologum autem agit Iphigenia.

EVRIPIDIS
IPHIGENIA
IN TAVRIS.

Iphigenia.

Pelops Tantali filius, Piſam profectus
Velocibus equis, Oenomai duxit filiam,
Ex qua Atreus natus eſt: Atrei vero filius
Menelaus & Agamemnon. ex hoc vero nata ſum ego
Iphigenia filia Tyndaridis Clytæmneſtræ,
Quam circa vortices, quos crebro Euripus denſis
Auris agitans, vertit cæruleum mare,
Mactauit propter Helenam, vt putat, pater,
Dianæ, in claro ſinu Aulidis,
Hîc enim mille nauium claſſem
Græcorum contraxit Agamemnon rex:
Ex præclara victoria partam coronam Ilii volens
Capere Græcos, & contumelia affectum connubium
Helenæ *volens* perſequi, Menelao gratificans.
Grauem autem nauigandi difficultatem *habens*, ventoſque non habens *ſecundos*,
Ad igniſpicium iuit, *vateſque conſuluit*, & Calchas hæc *ei* dicit,
O huius Græci exercitus imperator,
Agamemnon, ex huius terræ portu naues nō deduces,
Priusquam filiam tuam Iphigeniam Diana
Acceperit mactatam: quod enim annus pareret ille
Pulcherrimum, vouiſti Luciferæ te ſacrificaturū deæ.
Filiam itaque in domo tua coniunx Clytæmneſtra
Peperit (ad me *prima* pulchritudinis premia referens)
Quam oportet te immolare. Et me Vlyſſis artibus
A matre abduxerunt quaſi ad nuptias Achillis.
Cumque in Aulidem veniſſem miſera ſuper rogum
Sublimis collocata, *iam* occidebar gladio.
Verum *me* ſubduxit, ceruam pro me ſubiiciens
Diana Græcis, & per lucidum aerem

Miſſam

ΕΥΡΙΠΙΔΟΥ

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ.

ΙΑΜΒΟΙ.

Πέλοψ ὁ Ταντάλειος εἰς Πίσαν μολὼν
Θοαῖσιν ἵπποις, Οἰνομάου γαμεῖ κόρην,
Ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν. Ἀτρέως δὲ παῖς
Μενέλαος, Ἀγαμέμνων τε. τοῦδ' ἔφυν ἐγὼ
Τῆς Τυνδαρείας θυγατρὸς Ἰφιγένεια παῖς,
Ἣν ἀμφὶ δίναις, ἃς θάμ' Εὔριπος πυκναῖς
Αὔραις ἑλίσσων, κυανέαν ἅλα στρέφει,
Ἔσφαξ' Ἑλένης οὕνεχ', ὡς δοκεῖ, πατὴρ,
Ἀρτέμιδι κλειναῖς ἐν πτυχαῖς Αὐλίδος.
Ἐνταῦθα γὰρ δὴ χιλίων ναῶν στόλον
Ἑλληνικῶν συνήγαγ' Ἀγαμέμνων ἄναξ,
Τὸν καλλίνικον στέφανον Ἰλίου θέλων
Λαβεῖν Ἀχαιοὺς, τούς θ' ὑβρισθέντας γάμους
Ἑλένης μετελθεῖν, Μενέλεῳ χάριν φέρων.
Δεινῆς τ' ἀπλοίας, πνευμάτων τ' οὐ τυγχάνων,
Εἰς ἔμπυρ' ἦλθε, καὶ λέγει Κάλχας τάδε.
Ὦ τῆσδ' ἀνάσσων Ἑλλάδος στρατηγίας
Ἀγάμεμνον, οὐ μὴ ναῦς ἀφορμίσῃ χθονὸς,
Πρὶν ἂν κόρην σὴν Ἰφιγένειαν Ἄρτεμις
Λάβοι σφαγεῖσαν. ὅ,τι γὰρ ἐνιαυτὸς τέκοι
Κάλλιστον, εὔξω φωσφόρῳ θύσειν θεᾷ.
Παῖδ' οὖν ἐν οἴκοις σὴ Κλυταιμνήστρα δάμαρ
Τίκτει (τὸ καλλιστεῖον εἰς ἔμ' ἀναφέρων)
Ἣν χρή σε θῦσαι. καί μ' Ὀδυσσέως τέχναις
Μητρὸς παρείλοντ' ἐπὶ γάμοις Ἀχιλλέως.
Ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν', ὑπὲρ πυρᾶς
Μεταρσία ληφθεῖσ', ἐκαινόμην ξίφει.
Ἀλλ' ἐξέκλεψεν ἔλαφον ἀντιδοῦσά μου
Ἄρτεμις Ἀχαιοῖς. διὰ δὲ λαμπρὸν αἰθέρα

Πέμ-

Πέμψασά μ᾽, εἰς τήνδ᾽ ᾤκισεν Ταύρων χθόνα,
Οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς, ἴσον πτεροῖς,
Εἰς τοὔνομ᾽ ἦλθε τόδε ποδωκείας χάριν.
Ναοῖσι δ᾽ ἐν τοῖσδ᾽ ἱερέαν τίθησί με,
Ὅθεν νόμοισι τοῖσιν ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ᾽ ἧς καλὸν μόνον.
Τὰ δ᾽ ἄλλα σιγῶ. τὴν θεὸν φοβουμένη.
Θύω γὰρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
Ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
Κατάρχομαι μὲν, σφάγια δ᾽ ἄλλοισιν μέλει
Ἄρρητ᾽ ἔσωθεν τῶνδ᾽ ἀνακτόρων θεᾶς.
Ἃ καινὰ δ᾽ ἥκει νὺξ φέρουσα φάσματα,
Λέξω πρὸς αἰθέρ᾽. εἴ τι δὴ τόδ᾽ ἔστ᾽ ἄκος.
Ἔδοξ᾽ ἐν ὕπνῳ τῆσδ᾽ ἀπαλλαχθεῖσα γῆς,
Οἰκεῖν ἐν Ἄργει, παρθένοισι δ᾽ ἐν μέσαις
Εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ.
Φεύγειν δὲ, κἄξω στᾶσα, θριγκὸν εἰσιδεῖν
Δόμων πίτνοντα. πᾶν δ᾽ ἐρείψιμον στέγος
Βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
Μόνος δ᾽ ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
Δόμων πατρῴων. ἐκ δ᾽ ἐπικράνων κόμας
Ξανθὰς καθεῖναι. φθέγμα δ᾽ ἀνθρώπου λαβεῖν.
Κἀγὼ τέχνην τήνδ᾽, ἣν ἔχω ξενοκτόνον,
Τιμῶσ᾽, ὑδραίνειν αὐτὸν, ὡς θανούμενον,
Κλαίουσα. τοὔναρ δ᾽ ὧδε συμβάλλω τόδε.
Τέθνηκ᾽ Ὀρέστης, οὗ κατηρξάμην ἐγώ.
„ Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.
Θνήσκουσι δ᾽ ὡς ἂν χέρνιβες βάλωσί με.
Οὐδ᾽ αὖ συνάψαι τοὔναρ εἰς φίλους ἔχω.
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ᾽ ὠλλύμην ἐγώ.
Νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς,
Παροῦσα παντί. τοῦτο γὰρ δυναίμεθ᾽ ἂν
Σὺν προσπόλοισιν, ἃς ἔδωχ᾽ ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας. ἀλλ᾽ ἐξ αἰτίας
Οὔπω τινὸς πάρεισιν ἐς ἔμ᾽ εἴσω δόμων,
Ἐν οἷσι ναίω τῶνδ᾽ ἀνακτόρων θεᾶς.

Miſſam me collocauit in hac terra Taurorum,
In qua terra imperat barbaris barbarus
Thoas: qui celerem pedem ponit velut ales,
Vnde hoc nomen habet propter pedum celeritatem.
Templis autem in iſtis ſacerdotem me conſtituit,
Vbi legibus talibus delectatur dea
Diana feſti, *ſacriq;*, cuius nomẽ tantum *eſt* honeſtum.
Cætera vero tacto, deam reuerita.
Immolo enim (cum mos iſte & ante ciuitati fuerit)
Quicunque huc appulerit vir Græcus.
Auſpicor quidem *ſacra*: cædes vero *victimarum*, aliis ſunt curæ,
Nefandæ, in his templis Deæ.
Iam vero quæ nox præſens attulit recentia viſa,
Dicam ad aerem, ſi quod hoc eſt remedium.
Videbar in ſomno, relicta hac terra,
Habitare Argis, & inter virgines medias
Dormire: terræ autem tergum motu concuti.
Videbar autem fugere, & foris ſtans faſtigium intueri
Ædium cadere, & totam ruere contignationem
Deiectam humi ex ſummis poſtibus.
Vnica vero relicta eſt columna, vt mihi videbatur,
Paternæ domus: ex ſummo autem capitis vertice comam *videbar*
Flauam demittere, vocemque hominis accipere.
Ego vero artem, quã hic exerceo, occidens hoſpites,
Honorans, aqua lauabam ipſam *columnam*, vt morti deſtinatam,
Lamentans. ſic autem ſomnium interpretor hoc.
Mortuus eſt Oreſtes, quem initiaui ego *morti*.
„ Columnæ enim familiarum ſunt liberi maſculi.
Moriuntur enim *hoſpites*, vbi lauacra me conſperſerũt.
Haud tamẽ accõmodare ſomniũ hoc ad amicos poſsũ.
Strophio enim non erat filius, quando ego perii.
Nunc igitur fratri volo dare inferias,
Præſens abſenti (hæc enim poterimus *praſtare*
Cum ancillis, quas nobis dedit Rex
Græcas mulieres) ſed ob cauſam aliquam
Nondum accedunt ad me intra domum
In qua habito huius templi.

Ore.

Ore. Vide, obſerua, ne quis homo ſit in via.
Pyl. Video, ſpeculorq́; conuertens oculos in omnes pa
Ore. Pylade, videturne tibi hoc eſſe templum Deæ,
Ad quam Argis appulimus nauem marinam?
Pyl. Mihi quidē *videtur* Oreſtes. tibi vero idē videri dec
Ore. Et ara, ex qua Græcus ſtillat ſanguis?
Pyl. Ex ſanguine quidem rubras habet comas.
Ore. Loricis vero ſub ipſis *templi*, ſpolia videsne ſuſpenſa?
Pyl. Interfectorum primitias, *& exuuias* hoſpitum.
Ore. Ergo oportet oculis in orbē circūactis bene ſpeculari.
O Phœbe, quo me rurſus in hęc retia duxiſti,
Edito oraculo? poſtquam paternam cædem ſum ult
Matre cæſa, tunc perpetuis vicibus Furiarum
Agitabamur, exules, extra ſedes patriæ,
Curſusque multos, & itinera flexuoſa confeci.
Et veniens interrogaui te quomodo agitantis *me*
Furoris tandem ad finem venirem, & meorū laborū,
Quos pertuli vagabundus per Græciam.
Tu vero me iuſſiſti venire in Tauricæ terræ fines
Vbi Diana ſoror tua aram habet,
Et rapere ſtatuam Deæ, quam dicunt huc
In hoc templum de cœlo decidiſſe:
Captam vero ſiue dolo, ſiue caſu *aliquo*,
Periculo ſuperato, Athenienſium terræ,
Dare hanc (præterea *vero* nullus *alius meorum laborum a te mihi* dictus eſt finis)
Et his peractis *me* reſpirationē laborū habiturū *dixiſti*.
Venio igitur, tuis obtemperans verbis, huc
In terram ignotā, *&* inhoſpitalē. Te autem interrogo
Pylade (tu enim adiutor mihi *es* huius laboris)
Quid faciemus? munitiones enim murorum vides
Altas, vtrum domus ſcalas *hinc*
Egreſſi ſcandemus? quomodo enim *hoc* ſciemus?
An ærea clauſtra ſoluentes vectibus, *ingrediemur*?
Quorum nihil ſcimus. quod ſi aperientes portas
Capti fuerimus, ingreſſumque machinantes,
Moriemur. Verum priuſquam moriamur, ad nauem
Fugiamus, qua huc nauigauimus.
Pyl. Fugere quidē nō *eſt* tolerabile, neq; *fugere* cōſueuim'.
Dei vero oraculum non *eſt* contemnendum.

Sed

Ορέ. Ὅρα, φυλάσσου, μή τις ἐν στίβῳ βροτῶν.
Πυλ. Ὁρῶ. σκοπούμενος δ' ὄμμα πανταχοῦ στρέφω.
Ορέ. Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ' εἶναι θεᾶς,
Ἔνθ' Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;
Πυλ. Ἔμοι γ' Ὀρέστα. σοὶ δὲ συνδοκεῖν χρεών.
Ορέ. Καὶ βωμὸς, Ἕλλην οὗ καταστάζει φόνος;
Πυλ. Ἐξ αἱμάτων γοῦν ξάνθ' ἔχει τριχώματα.
Ορέ. Θριγκοῖς δ' ὑπ' αὐτοῖς σκῦλ' ὁρᾷς ἠρτημένα;
Πυλ. Τῶν κατθανόντων τἀκροθίνια ξένων.
Ορέ. Ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.
Ὦ Φοῖβε, ποῖ μ' αὖ τήνδ' ἐς ἄρκυν ἤγαγες;
Χρήσας, ἐπειδὴ πατρὸς αἷμ' ἐτισάμην,
Μητέρα κατακτὰς, διαδοχαῖς δ' Ἐριννύων
Ἠλαυνόμεσθα, φυγάδες, ἔξεδροι χθονὸς,
Δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους.
Ἐλθὼν δέ σ' ἠρώτησα, πῶς τροχηλάτου
Μανίας ἂν ἔλθοιμ' εἰς τέλος, πόνων τ' ἐμῶν,
Οὓς ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα.
Σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὅρους χθονὸς,
Ἔνθ' Ἄρτεμις σοὶ σύγγονος βωμοὺς ἔχει,
Λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε
Εἰς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο.
Λαβόντα δ' ἢ τέχναισιν, ἢ τύχῃ τινὶ,
Κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
Δοῦναι τὸ δ'. ἐνθένδ' οὐδὲν ἐρρήθη
πέρας.
Καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
Ἥκω δὲ, πεισθεὶς σοῖς λόγοισιν, ἐνθάδε
Ἄγνωστον εἰς γῆν, ἄξενον. σὲ δ' ἱστορῶ
Πυλάδη. σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου.
Τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
Ὑψηλά. πότερα δωμάτων προσαμβάσεις
Ἐκβησόμεσθα; πῶς ἂν οὖν μάθοιμεν ἄν;
Ἢ χαλκότευκτα κλῇθρα λύσαντες μοχλοῖς,
Ὧν οὐδὲν ἴσμεν. ἢν δ' ἀνοίγοντες πύλας
Ληφθῶμεν, εἰσβάσεις τε μηχανώμενοι,
Θανούμεθ'. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
Φεύγωμεν, ἧπερ δεῦρ' ἐναυστολήσαμεν.
Πυλ. Φεύγειν μὲν οὐκ ἀνεκτὸν, οὐδ' εἰώθαμεν.
Τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.

Ναῦν δ' ἀπαλλαχθέντε, κρύψωμεν δέμας
Κατ' ἄντρ', ἃ πόντος νοτίδι διακλύζει μέλας,
Νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάφος,
Βασιλεῦσιν εἴπῃ, κᾆτα ληφθῶμεν βίᾳ.
Ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
Τολμητέον τοι, ξεστὸν ἐκ ναοῦ λαβεῖν
Ἄγαλμα, πάσας προσφέροντα μηχανάς.
Ὅρα δέ γ' εἴσω τριγλύφων, ὅποι κενὸν
„ Δέμας καθεῖναι. Τοὺς πόνους γὰρ οἱ 'γαθοὶ
„ Τολμῶσι. δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ,
„ ὀρέ. Οὔτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
Ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν.
Ἀλλ' εὖ γὰρ εἶπας. πειστέον. χώρει νεκρῶν
Ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας.
Οὐ γὰρ τὸ τοῦ θεοῦ γ' αἴτιον γενήσεται,
Πεσεῖν ἄχρηστον θέσφατον. τολμητέον.
Μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἰφι. Εὐφαμεῖτ' ὦ πόντου
Δισσὰς συγχωρούσας πέτρας
Εὐξείνου ναίοντες.
Ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυνν' οὐρεία,
Πρὸς σὰν αὐλάν, εὐστύλων
Ναῶν χρυσήρεις θριγκούς,
Πόδα παρθένιον
Ὅσιον ὁσίας
Κληδούχου δούλα πέμπω,
Ἑλλάδος εὐίππου πύργους,
Καὶ τείχη χόρτων τ' εὐδένδρων
Ἐξαλλάξασ' Εὐρώπαν,
Πατρῴων οἴκων ἕδρας.
χο. Ἔμολον. τί νέον; τίνα φροντίδ' ἔχεις;
Τί με πρὸς ναοὺς ἄγαγες, ἄγαγες;
Ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
Ἐλθόντος κλεινᾷ σὺν κώπᾳ
Χιλιοναύτᾳ μυριοτεύχει

Τῶν

Sed a templo recedentes, occultemus corpus
In antris, quæ Pontus alluit aquis niger,
Procul a naui, ne quis *noſtram* conſpicatus nauem,
Regibus dicat, & deinde per vim corripiamur.
Quando vero venerit oculus noctis obſcuræ,
Audendum *erit*, ex templo rapere politam
Statuam, omnes admouendo machinas.
Specta vero intra colũnarũ cęlaturas quo inane, *ac ex-*[*peditum*
,, Corpus *oportet* demittere. Labores enim *viri* fortes
,, Audent *ſubire*. Ignaui vero nihil vsquam ſunt, *nihil*
,, *audent*.

Ore. Nequaquam longum quidem iter remo venimus, *na-*[*ui confecimus*,
Ex *iſtis* vero finibus reditum ſuſcipiemus iterum, *ſiue*
fruſtra redibimus.
Quamobrem (recte enim dixiſti) parendum *eſt*. vade
mortuorum *in aliquem*
Locum, vbi corpus occultantes lateamus:
Haud enim Dei *numen* culpandum erit,
Si ceciderit irritum oraculum. Audendum *eſt*.
Labor enim nullus iuuenibus tergiuerſationem parit.

MONOSTROPHICA.

Iphi. Fauete linguis, ô Ponti
Gemina concurrentia ſaxa
Euxini incolentes *homines*.
O filia Latonæ
Dictynna montana, *vel, montiuaga*,
Ad tuam aulam, *&* pulchris columnis ornatorum
Templorum *ad* aureas loricas,
Pedem virgineum,
Sanctum ſanctæ
Clauigeræ *ſacerdotis* ſerua immitto,
Græciæ bellicoſæ turres,
Et muros, agriſque nemoroſis inſignem
Relinquens Europam,
Paternæ domus ſedem.

Cho. Adſum. Quid noui? quid es ſollicita?
Cur me ad templum duxiſti, duxiſti?
O filia illius, qui *ad* Troiæ turres
Venit cum inclyta claſſe
Mille nauium, *&* *cum* innumeris armatis militibus

Digitized by Google

Atridarum inclytorum.

Iphi. O famulæ, flebilibus
Vt lamentatis immoror,
Non iucundi cantus edens clara voce
Inſuaues elegos.
Heu. heu, in domeſtico luctu
Quæ mihi accidunt mala.
Fratrem meum
Lugenti *ob amiſſam* vitam.
Qualem vidi faciem ſomniorum
Hac nocte, cuius abiit caligo.
Perii, Perii.
Non eſt domus paterna.
Hei mihi, interiit *meum* genus.
Heu, heu *propter toleratos* Argis labores.
Heu fatum, quod
Fratre, quem habui vnicum, me ſpolias,
Quem ad inferos miſiſti: cui has
Inferias paro, poculumque
Mortuorum
Vt in terræ dorſum effudam,
Et fontes *ſanguineos* ex montanis vitulis,
Et Bachci vineam libationem,
Et flauarum labores apum,
Quæ ſunt ſacrificia pro mortuis, *manes placantia.*
Verum da mihi aureum
Vas. & libationem inferis *libandam.*
O infra terram
Agamemnonium germen,
Tanquam mortuo hæc tibi
Mitto. Tu vero ſuſcipe: non enim ante
Tuum ſepulchrum tibi flauam comam,
Neque lachrymas adferam.
Procul enim abſum a tua
Patria, & mea, vbi exiſtimor
Iacere, *ego* miſera, mactata.

Cho. Reſpondentes cantilenas,
Et hymnum Aſiaticum tibi
Barbatica voce,
O domina ſonabo,

Τᾶν Ἀτρειδᾶν τῶν κλεινῶν.
Ὦ δμωαί, δυσθρηνήτοις
Ὡς θρήνοις ἔγκειμαι,
Τᾶς οὐκ εὐμούσου μολπᾶς βοαῖς
Ἀλύροις ἐλέγοις.
Ἒ, ἔ. ἐν κηδείοις οἴκτοισιν,
Αἵ μοι συμβαίνουσ' ἆται,
Σύγγονον ἁμὸν κατα-
κλαιομένᾳ ζωᾶς,
Οἵαν ἰδόμαν ὄψιν ὀνείρων
Νυκτὸς, τᾶς ἐξῆλθ' ὄρφνα.
Ὠλόμαν, ὠλόμαν.
Οὐκ εἴσ' οἶκοι πατρῷοι.
Οἴμοι, φροῦδος γέννα.
Φεῦ, φεῦ, τῶν Ἄργει μόχθων.
Ἰὼ δαῖμον, ὃς τὸν
Μόνον με κασίγνητον συλᾷς,
Ἀΐδᾳ πέμψας, ᾧ τάσδε
Χοὰς μέλλω, κρατῆρά τε
Τὸν φθιμένων
Ὑδραίνειν γαίας ἐν νώτοις,
Πηγάς τ' οὐρείων ἐκ μόσχων,
Βάκχου τ' οἰνηρὰς λοιβὰς,
Ξουθᾶν τε πόνημα μελισσᾶν,
Ἃ νεκροῖς θελκτήρια κεῖ-
τ'. ἀλλ' ἔνδος μοι πάγχρυσον
Τεῦχος, καὶ λοιβὰν Ἀΐδᾳ.
Ὦ κατὰ γαίας
Ἀγαμεμνόνιον θάλος,
Ὡς φθιμένῳ τάδε σοι
Πέμπω. δέξαι δ'. οὐ γὰρ πάρος
Τύμβου σοι ξανθὰν χαίταν,
Οὐ δάκρυ' οἴσω.
Τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
Πατρίδος, καὶ ἐμᾶς. ἔνθα δοκίμα
Κεῖμαι, σφαχθεῖσα τλάμων.
Χο. Ἀντιψάλμους ᾠδὰς,
Ὕμνον τ' ἀσιήταν σοι
Βάρβαρον ἰαχὰν,
Δέσποιν', ἐξαυδάσω,

Τὰν ἐν θρήνοις μοῦσαν,
Νέκυσι μέλπαν.
Τὰν ἐν μολπαῖς Ἅιδας
Ὑμνεῖ, δίχα παιάνων.
ἰφι. Οἴμοι τῶν ἀτρειδᾶν οἴκων.
Ἔρρει φῶς σκήπτρων.
Οἴμοι πατρῴων οἴκων.
Τίν' ἐκ τῶν εὐόλβων
Ἄργει βασιλέων,
Ἀρχά. μόχθος δ' ἐκ μόχθων
Ἀίσσει, δινεύσαις ἵπποισιν
Πταναῖς, ἀλλάξας
Δ' ἐξ ἕδρας ἱερὸν ὄμμ' αὐγᾶς ἅλιος.
Ἄλλοις δ' ἄλλα προσέβα
Χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
Φόνος ἐπὶ φόνῳ,
Ἄχεα ἄχεσιν.
Ἔνθεν τῶν πρόσθεν δμαθέν-
των Τανταλιδᾶν ἐκβαίνει
Ποινά γ' ἐς οἴκους. σπεύδει
Δ' ἀσπούδαστ' ἐπὶ σοὶ δαίμων,
Ἐξ ἀρχᾶς μοι δυσδαίμων,
Δαίμων τᾶς ματρὸς ζώνας.
Καὶ νυκτὸς κείνας ἐξ ἀρχᾶς
Λοχίαι, στερρὰν παιδείαν
Μοῖραι ξυντείνουσι θεαί,
Ἃ μναστευθεῖσ' ἐξ Ἑλλάνων,
Ἂν πρωτόγονον θάλος ἐν θαλάμοις,
Λήδας ἁ τλάμων κούρα
Σφάγιον πατρῴᾳ λώβᾳ,
Καὶ θῦμ' οὐκ εὐγάθητον
Ἔτεκεν, ἔτρεφεν εὐκταίαν
Ἱππείοισιν ἐν δίφροισι
Ψαμάθων Αὐλίδος ἐπέβασαν
Νύμφαιον, οἴμοι δύσνυμφον,
Τῷ τᾶς Νηρέως κούρας.
Αἶ, αἶ. νῦν δ' ἀξείνου πόντου ξείνα,
Δυσχόρτους οἴκους ναίω,
Ἄγαμος, ἄτεκνος, ἄπολις, ἄφιλος.
Οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν, οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις
Κερ

Muſam lugubrem,
Pro mortuis miſeram.
Quam in carminibus Pluto
Sonat ſine Pæane.
Heu mihi, Atridarum familia,
Periit lumen ſceptrorum.
Heu paternam domum.
Soluit *pœnas* ex beatis
Argiuorum regibus
Principatus. Labor autem ex laboribus
Exoritur. Rotantibus autem equis
Volucribus, mutans ſol
Sacrum oculum ſui ſplendoris aufugit:
Ad alios vero alius acceſſit
Dolor *in* aula *propter* aureum agnum,
Cædes ad cædem,
Dolor ad dolorem.
Inde a prius afflictis
Tantalidis inuadit
Pœna in familiam. accelerat enim *res*
Indignas contra te *malus* dæmon.
Initio me inuaſit infelix
Fatum coniugii materni,
Et illius noctis, ab initio
Partum, & difficilem educationem
Fatales Deæ *mihi* portenderunt,
Quæ petita ſum in connubium a Græcis,
Quam primogenitum germen in thalamo
Ledæ infelix filia
Victimam propter patris errorem,
Et ſacrificium non iucundum
Peperit, & educauit, optandam
Equeſtribus in curribus
In arenas Aulidis *quum Græci* detulerunt
Sponſam, heu *me* infelicem ſponſam,
Filiæ Nerei filio, *i. Achilli Thetidis Nereiæ filio.*
Heu heu. nunc inhoſpitalis Ponti hoſpes,
Inamœnas domos habito,
Sine nuptiis, ſine liberis, ſine ciuitate, ſine amicis.
Non canens Iunonem Argiuam, nec telis in argutis

Radio Palladis Atticæ imagines
Titanum varians.
Sed *ſum ſacerdos* ſanguinem manantium hoſpitum,
Luctuoſam cruentans Aten,
Araſque, miſerabiliter clamantium,
Emittentiumque miſerabiliter lacrymas.
Nunc vero illorum quidem me *ſubit*
Obliuio hunc vero Argis mortuum
Deploro *meum* fratrem,
Quem reliqui ſubrumum, *i. lactantem*,
Adhuc infantulum, adhuc tenellum,
Adhuc germen in manibus
Matris, ad pectoraque *pendentem*,
Argis ſceptrigerum Oreſtem.

Chorus.

Atqui hic relinquens littus marinum
Paſtor venit tibi ſignificaturus aliquid noui.

Pa. O filia Agamemnonis, & Clytæmneſtræ *proles*,
Audi nouum ex me præconium.

Iphi. Quid vero terroris eſt in præſenti nuncio?

Pa. Venerunt in terram Symplegladum cyanearum,
Naui fugientes *huc* duo adoleſcentes,
Deæ grata victima, & ſacrificium
Dianæ lauacra igitur, & initiationes
Non maturabis decentes parare?

Iphi. Cuiates *ſunt*? cuius terræ nomen habent hoſpites iſti?

Pa. Græci: hoc vnum *tantum* ſcio, & nil vlterius.

Iphi Ne nomen quidẽ hoſpitũ, quod audieris, dicere potes?

Pa. Pylades alter ab altero appellabatur.

Iphi. Socii vero hoſpitis quod erat nomen?

Pa. Nullus hoc nouit. non enim audiuimus.

Iphi. Quomodó igitur eos vidiſtis, & cepiſtis?

Pa. In littore ad cauam rupem inhoſpitalis Ponti.

Iphi. Et quod cum mari paſtoribus *eſt* commercium?

Pa. Boues venimus lauaturi marino rore.

Iphi. Huc igitur redi, quomodo eos cepiſtis?
Et quali modo? hoc enim ſcire cupio.
Seri enim *huc* veniunt. nondum ara Deæ
Madefacta eſt Græco ſanguine.

Pa. Poſtquam ad influentem per Symplegades

Κερκίσι Παλλάδος Ατθίδος εἰκὼ
Τιτάνων ποικίλλουσα,
Ἀλλ' αἱμόρραντον δυσφόρμιγ-
γα ξείνων αἱμάσσουσ' ἄταν,
Βωμοὺς οἰκτράν τ' αἰαζόντων,
Οὐδ' αὖ οἰκτρόν τ' ἐκβαλλόντων δάκρυον.
Καὶ νῦν κείνων μέν μοι
Λάθα, τὸν δ' Ἄργει δμαθέντα
Κλαίω σύγγονον.
Ὃν ἔλιπον ἐπιμαστίδιον
Ἔτι βρέφος, ἔτι νέον,
Ἔτι θάλος ἐν χερσὶ
Ματρὸς, πρὸς στέρνοισί
τ' Ἄργει σκηπτοῦχον Ὀρέστην.

ΙΑΜΒΟΙ.

ρ. Καὶ μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
Βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.
βυ. Ἀγαμέμνονος παῖ, καὶ Κλυταιμνήστρας τέκνον,
Ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.
ιφι. Τί δ' ἐστὶ τοῦ παρόντος ἐκπλῆσσον λόγου;
βυ. Ἥκουσιν εἰς γῆν κυανέαν Συμπληγάδων
Πλάτῃ φυγόντες δίπτυχοι νεανίαι,
Θεᾷ φίλον πρόσφαγμα, καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας τε, καὶ κατάργματα
Οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη.
ἰφι. Ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;
βυ. Ἕλληνες. ἓν τοῦτ' οἶδα, κοὐ περαιτέρω.
ἰφι. Οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;
βυ. Πυλάδης ἐκλήζεθ' ἅτερος πρὸς θατέρου.
ἰφι. Τοῦ συζύγου δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;
βυ. Οὐδεὶς τόδ' οἶδεν. οὐ γὰρ εἰσηκούσαμεν.
ἰφι. Πῶς δ' εἴδετ' αὐτοὺς, καὶ τυχόντες εἵλετε;
βυ. Ἀκταῖσιν ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου.
ἰφι. Καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;
βυ. Βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.
ἰφι. Ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε;
Τρόπῳ θ' ὁποίῳ; τοῦτο γὰρ μαθεῖν θέλω.
Χρόνιοι γὰρ ἥκουσιν. οὐδέπω βωμὸς θεᾶς
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.
βυ. Ἐπεὶ τὸν εἰσρέοντα διὰ Συμπληγάδων

Βοῦς ὑλοφορβοὶ πόντιον εἰσεβάλλομεν.
Ἦν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ
Κοιλωπὸς ἀγμὸς, πορφυρευτικαὶ στέγαι.
Ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
Βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν,
Ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
Ἔλεξε δ', οὐχ ὁρᾶτε, δαίμονές τινες
Θάσσουσιν οἵδε. θεοσεβὴς δ' ἡμῶν τις ὢν,
Ἀνέσχε χεῖρα, καὶ προσηύξατ' εἰσιδών.
Ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ.
Δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ.
Εἴτ' οὖν ἐπ' ἀκταῖς θάσσετον Διοσκόρω,
Ἢ Νηρέως ἀγάλμαθ', ὃς τὸν εὐγενῆ
Ἔτικτε πεντήκοντα Νηρήδων χορόν.
Ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασὺς,
Ἐγέλασεν εὐχαῖς. ναυτίλους δ' ἐφθαρμένους
Θάσσειν φάραγγ' ἔφασκε, τοῦ νόμου φόβῳ
Κλύοντας, ὡς θύοιμεν ἐνθάδε ξένους.
Ἔδοξε δ' ἡμῶν εὖ λέγειν τοῖς πλείοσι,
Θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
Κἀν τῷδε πέτρας ἅτερος λιπὼν ξένοιν,
Ἔστη, κάρα τε διετίναξ' ἄνω κάτω,
Κἀπεστέναξεν ὠλένας τρέμων ἄκρας,
Μανίαις ἀλαίνων, καὶ βοᾷ κυναγὸς ὥς,
Πυλάδη, δέδορκας τήνδε; τήνδε δ' οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν,
Δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη;
Ἡ δ' ἐκ χιτώνων πῦρ πνέουσα, καὶ φόνον,
Πτεροῖς ἐρέσσει, μητέρ' ἀγκάλαις ἐμὴν
Ἔχουσα, πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ.
Οἴμοι, κτενεῖ με. ποῖ φύγω; παρῆν δ' ὁρᾶν
Οὐ ταῦτα μορφῆς σχήματ'. ἀλλ' ἠλλάσσετο,
Φθογγάς τε μόσχων, καὶ κυνῶν ὑλάγματα,
Ἃ φάσ' Ἐριννῦς ἱέναι μιμήματα.
Ἡμεῖς δὲ συσταλέντες, ὡς θανούμενοι,
Σιγῇ καθήμεθ'. ὁ δὲ ἐξανασπάσας ξίφος,
Μόσχους ὀρούσας εἰς μέσας λέων ὅπως,
Παίει σιδήρῳ λαγόνας εἰς πλευρὰς ἱεὶς,
Δοκῶν Ἐριννῦς θεὰς ἀμυνούμενος τάδε,
Ὡς αἱματηρὸν πέλαγος ἐξανθεῖν ἁλός.

Κἀν

Pontum nos paſtores boues deduximus,
Eſt quædam abrupta fluctuum frequenti agitatione
Concaua *rupis* cõpages, purpuras captantium tecta.
Hic geminos iuuenes vidit quidam
Paſtor noſtrûm, & receſſit retro,
Summis *pedum* digitis relegens veſtigium,
Et dixit: non videtis? dæmones quidam
Hîc ſedent iſti. quidam vero de nobis religioſior
Suſtulit manus, & adorauit intuens:
O marinæ Leucotheæ fili, nauium cuſtos,
O domine Palæmon, ſis nobis propicius:
Siue in littore ſedetis vos Gemini,
Siue Nerei chara propago, qui generoſum
Genuit quinquaginta Nereidum chórum.
Alius vero quidam vanior, *&* impietate ferox,
Riſit *has* preces, nautasque naufragos
Sedere *in* ſpecu metu *noſtri* moris dixit,
Qui audiuerint quod hic mactemus hoſpites.
Viſus autem *hic* eſt recte dixiſſe plerisque noſtrûm,
Et venari *conſtituimus* Deæ victimas vſitatas.
Interea vero *illorũ* alter relicto peregrino *ſolo, in* rupib.
Stetit, caputque quaſſauit ſurſum, *&* deorſum,
Et ingemuit tremens ſummis vlnis, *manibus*,
Inſania furens, & clamabat ſicut venator:
Pylade, vides hanc? hanc vero non vides
Inferorum dracænam, quomodo me velit interficere,
Horrendis viperis in me ruens armata?
Altera vero ſpirans ignem ex veſtibus, & necem
Remigat alis, matrem meam *in* vlnis
Tenens, vt in *hunc* ſaxeum tumulum abiiciat.
Hei mihi, interficiet me: quo fugiã? licebat aũt videre
Non eoſdem formæ geſtus: ſed *ſæpe* variabat
Sonosque vitulorum, & canum latratus,
Imitationes *vocum*, quas aiunt emittere Furias.
Nos vero metu contracti, tanquam morituri,
Tacite ſedebamus. Ille vero diſtricto gladio,
Vitulos ruens in medios ceu leo
Verberat ferro ilia, *gladium* in latera mittens,
Exiſtimans hæc Furias Deas propulſare,
Adeo vt cruenta ſpuma emergeret ex mari.

Poſt-

Digitized by Google

Poſtquam vero vniuerſus paſtorum conuentus
Cadentes & vaſtatos boum greges armabatur,
Et conchas inflans,& congregans indigenas.
Nam aduerſus generoſos, & robuſtos hoſpites,
Inualidos pugna fore paſtores putabamus.
Plures igitur conuenimus exiguo tempore.
Cadit autem remiſſo ſtimulo furoris hoſpes,
Stillans ſpuma mentum. vt vero vidimus *rem*
Cõmode *nobis* cecidiſſe, tũc oĩs vir ſuſtinebat laborẽ,
Iaciendo,& pulſando alter vero hoſpitum,
Spumamque detergebat,corporisq; curam gerebat,
Veſtiumq; bene compacto textu *ipſum* protegebat,
Obſeruans quidem caute venientia vulnera,
Amicum vero virum officiis bene curans.
Mentis vero cõpos factus hoſpes ex lapſu cito ſurgens,
Animaduertit procellam hoſtium imminentem *ſibi*,
Et præſentem calamitatem *eſſe* prope ſe.
Ingemuitque. Nos vero non intermiſimus ſaxa
Iacere, alius aliunde inſtans.
Tum vero atrocem adhortationem audiuimus:
Pylade,moriemur:verum vt moriamur
Honeſtiſſime,ſequere me,diſtrictũ enſem tenẽs manu.
Poſtquam autẽ conſpeximus geminos *hoſtiũ* vibratos enſes,
Fuga promontoriales impleuimus ſyluas.
Sed cum fugeret aliquis,alii inſtantes
Percutiebant eos.cum autem hos pepuliſſent,
Nullus tunc *hoſtem* cedentem pulſabat ſaxis.
Sed *res* erat incredibilis. Innumeris enim ex manibus
Nullus has Deæ victimas tuto capere poterat.
Vix enim *nunc*, nõ audendo quidem eas cepimus:
Sed globo facto circundantes extorſimus
Saxis ex manibus enſes,ad terram vero genua
Defatigatione demiſerunt. Ad regem aũt *huius* agri
Adduximus ipſos. Ille intuitus *eos*,quam celerrime
Ad lauacra & ad mactationem miſit tibi:
Opta vero tales, ô virgo, tibi hoſpitum
Victimas adeſſe, & ſi mactes hoſpites
Tales, Græcia compenſabit tuam cædem,
Pendens pœnam cædis in Aulide factæ.

Cho. Mira dixiſti de illo,qui cõſpectus eſt,quicũq; tandẽ ſit.

Κἀν τῷδε πᾶς τις, ὡς ὁρᾷ βουφόρβια
Πίπτοντα, καὶ πορθούμεν', ἐξωπλίζετο,
Κόχλους τε φυσῶν, συλλέγων τ' ἐγχωρίους.
Πρὸς εὐτραφεῖς γὰρ, καὶ νεανίας ξένους,
Φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα.
Πολλοὶ δ' ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.
Πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθείς,
Στάζων ἀφρῷ γένειον. ὡς δ' ἐσείδομεν
Προὔργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον,
Βάλλων, ἀράσσων. ἅτερος δὲ τοῖν ξένοιν,
Ἀφρόν τ' ἀπέψα, σώματός τ' ἐτημέλει,
Πέπλων τε προὐκάλυπτεν εὐπήκτοις ὑφαῖς,
Καραδοκῶν μὲν τἀπιόντα τραύματα,
Φίλον δὲ θεραπείαισιν ἄνδρ' εὐεργετῶν.
Ἔμφρων δ' ἀναΐξας ὁ ξένος πεσήματος,
Ἔγνω κλύδωνα πολεμίων προσκείμενον,
Καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας.
Ὤιμωξέ θ'. ἡμεῖς δ' οὐκ ἀνίεμεν πέτρους
Βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι.
Οὗ δὴ τὸ δεινὸν παρακέλευσμ' ἠκούσαμεν.
Πυλάδη, θανούμεθ'. ἀλλ' ὅπως θανούμεθα
Κάλλισθ'. ἕπου μοι, φάσγανον σπάσας χερί.
Ὡς δ' εἴδομεν δίπαλτα πολεμίων ξίφη,
Φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας.
Ἀλλ' εἰ φύγοι τις, ἅτεροι προσκείμενοι,
Ἔβαλλον αὐτούς. εἰ δὲ τούσδ' ὠσαίατο,
Οὔτις τὸ νῦν ὑπεῖκον ἤρασσεν πέτροις.
Ἀλλ' ἦν ἄπιστον. μυρίων γὰρ ἐκ χερῶν
Οὐδεὶς τὰ τῆς θεοῦ θύματ' εὐτύχει λαβών.
Μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
Κύκλῳ δὲ περιβάλλοντες, ἐξεκλέψαμεν
Πέτροισι χειρῶν φάσγαν', εἰς δὲ γῆν γόνυ
Καμάτῳ καθεῖσαν. πρὸς δ' ἄνακτα τῆσδε γῆς
Κομίζομέν νιν. ὁ δ' ἐσιδὼν, ὅσον τάχος
Ὡς χέρνιβάς τε, καὶ σφαγεῖ' ἐξέπεμπέ σοι.
Εὔχου δὲ τοιάδ', ὦ νεᾶνι, σοι ξένων
Σφάγια παρεῖναι, κἂν ἀναλίσκῃς ξένους
Τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον,
Δίκας τίνουσα τῆς ἐν Αὐλίδι σφαγῆς.
Χο. Θαυμάστ' ἔλεξας, τὸν φανένθ' ὅστις ποτὲ

Ἐλ

Ἕλληνος ἐκ γῆς πόντιον ἦλθεν ἄξενον.
ἰφι. Εἶεν. σὺ μὲν κόμιζε τοὺς ξένους, μολών.
Τὰ δ' ἐνθάδ' ἡμεῖς οἷα φροντιούμεθα.
Ὦ καρδία τάλαινα, πρὶν μὲν εἰς ξένους
Γαληνὸς ἦσθα, καὶ φιλοικτίρμων ἀεί,
Εἰς τοὐμόφυλον ἀναμετρουμένη δάκρυ,
Ἕλληνας ἄνδρας ἡνίκ' εἰς χέρας λάβοις.
Νῦν δ' ἐξ ὀνείρων, οἷσιν ἠγριώμεθα,
Δοκοῦσ' Ὀρέστην μηκέθ' ἥλιον βλέπειν,
Δύσνουν με λήψεσθ' οἵτινές ποθ' ἥκετε.
Καὶ τοῦτ' ἄρ' ἦν ἀληθές. ᾐσθόμην φίλαι.
„ Οἱ δυστυχεῖς γὰρ, τοῖσιν εὐτυχεστέροις,
„ Αὐτοὶ κακῶς πράξαντες, οὐ φρονοῦσιν εὖ.
Ἀλλ' οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε,
Οὐ πορθμίς, ἥτις διὰ πέτρας Συμπληγάδας
Ἑλένην ἀπήγαγ' ἐνθάδ', ἥ μ' ἀπώλεσεν,
Μενέλαόν θ', ἵν' αὐτοὺς ἀντετιμωρησάμην,
Τὴν ἐνθάδ' Αὖλιν ἀντιθεῖσα τῆς ἐκεῖ,
Οὗ μ' ὥστε μόσχον Δαναΐδαι χειρούμενοι,
Ἔσφαζον. ἱερεὺς δ' ἦν ὁ γεννήσας πατήρ.
Οἴμοι. κακῶν γὰρ τῶν τότ' οὐκ ἀμνημονῶ.
Ὅσας γενείου χεῖρας ἐξηκόντισα,
Γονάτων τε τοῦ τεκόντος ἐξαρτωμένη,
Λέγουσα τοιάδ'. ὦ πάτερ, νυμφεύομαι
Νυμφεύματ' αἰσχρὰ πρὸς σέθεν. μήτηρ δ' ἐμὲ
Σέθεν κατακτείνοντος, Ἀργεῖαί τε νιν
Ὑμνοῦσιν ὑμεναίοισιν. αὐλεῖται δὲ πᾶν
Μέλαθρον· ἡμεῖς δ' ὀλλύμεσθα πρὸς σέθεν.
Ἅδης Ἀχιλλεὺς ἦν ἄρ', οὐχ ὁ Πηλέως,
Ὅν μοι προσεῖπας πόσιν. ἐν ἁρμάτων δ' ὄχοις,
Εἰς αἱματηρὸν γάμον ἐπόρθμευσας δόλῳ.
Ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων
Ἔχουσ', ἀδελφὸν οὔτ' ἀνειλόμην χεροῖν,
Ὃς νῦν ὄλωλεν. οὐ κασιγνήτῃ στόμα
Συνῆψ' ὑπ' αἰδοῦς, ὡς ἰοῦσ' εἰς Πηλέως
Μέλαθρα. πολλὰ δ' ἀπεθέμην ἀσπάσματα
Εἰσαῦθις, ὡς ἥξουσ' εἰς Ἄργος αὖ πάλιν.
Ὦ τλῆμον, εἰ τέθνηκας, ἐξ οἵων κακῶν
Ἔρρεις Ὀρέστα, καὶ πατρὸς ζηλωμάτων.

„ Τὰ

Digitized by Google

Qui ex Græcia venit ad Pontum inhoſpitalem.
Bene eſt. tu igitur vade,& adduc hoſpites.
Quæ vero hic facienda ſunt,nos curabimus, vt ſolet.
O miſerum cor,prius quidem erga hoſpites
Tranquillum fuiſti,& ſemper miſericors,
Ad cognatas verti ſolitum lachrymas,
Quoties Græcos viros in manus acciperes.
Nunc vero ex ſomniis quibus efferati ſumus,
Exiſtimans Oreſtem non amplius ſolem intueri,
Maleuolam *vobis* me nanciſcemini, quicunq; tandem *huc* veneritis.
Et hoc verum eſt. Diſcrucior amicæ:
„ Infelices enim beatioribus,
„ Propterea quod ipſi male rem gerũt, nõ bene volunt.
Verum nec ventus a Ioue *miſſus huc* venit vnquam,
Nec nauis,quæ per ſaxa Symplegadum
Helenam adducat huc,quæ me perdidit:
Et Menelaum,vt ipſos viciſſim vlciſcerer,
Hîc *ſitam* Aulidem opponens illi,quæ illic *eſt*,
Qui Danaidæ me ſicut iuuencam capientes
Mactauerunt: ſacerdos vero fuit pater,qui me genuit.
Hei mihi.malorũ enim illorũ nõ poſſũ nõ meminiſſe.
Quoties ad genas manus eiaculata ſum,
Pendens a genibus patris,
Dicens hæc: O pater, ſponſa fio
Nuptiarum turpium a te:mater vero mea
(Dum tu *me* interficis) & Argiuæ ipſas
Celebrant Hymenæis, & perſonat cantu fiſtulæ tota
Aula,ego vero interea interficior a te.
Pluto igitur erat Achilles,non *autem* Pelei filius,
Quẽ mihi ꝓmiſiſti ſpõſum.in curruum vero vehiculis
Ad cruentas nuptias duxiſti dolo.
Ego vero tenuia per velamina oculos
Coniiciens,*& proſpiciens*, fratrem hunc cepi manibus,
Qui nũc periit:neq; *quãuis eius eſſẽ* ſoror,os *meũ ad eius os*
Admoui p̄ pudore,tanquã itura ad Pelei
Ædes, ac multas diſtuli ſalutationes
In aliud tempus,vt iterum Argos reditura.
O miſer,ſi es mortuus,ob qualia mala
Periiſti Oreſtes, & *ob* paternæ virtutis æmulationem,

„ Deæ

„ Deæ vero damno vaſtramenta.
„ Quæ,ſi quis quidem mortalium patrarit cæde
„ Aut etiam partum,aut cadauer attigerit manu,
„ *Eum* arcet ab ara,vt impurum exiſtimans.
„ Ipſa vero delectatur hoſtiis humanis.
„ Nullo modo peperit Iouis coniux
„ Latona tantam inſcitiã,*ac inhumanitatem*. ego etia
Tantali epulationem diis *exhibitam*
Incredibilẽ iudico, *Deos ſc.* infantis eſu delectatos eſ
Huius vero regionis incolas, q̃ ſuâ naturâ ſint ho-
In Deum culpam tranſtuliſſe puto. [ca,
„ Neminẽm enim deorum malum eſſe cenſeo.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 Cærulei,cærulei
2 Congreſſus maris,
3 Quod iſter volans ab Argis
4 In Euxinum maie
5 Penetrauit olim,
6 Aſiaticum ſolum
7 Ex Europa migrans.
8 Quinam igitur aquoſum,
9 Et arundinẽ virentem relinquentes Eurotam,
10 Sacraque Dirces fluenta,
11 Venerunt,venerunt *in* hoſpitũ commercia fugientem
12 Terram,vbi puella
13 Madefacit aras,
14 Et circa columnas tem-
15 plorum ſanguinem humanum *fundit*?

Antiſtrophe I.

1 An impetuoſis abiegnis,
2 Duplicibus remis
3 Nauigarunt per marinos fluctus,
4 Nauale vehiculum *agentes*
5 Velis excipientibus flatus,
6 Auarum certamen,*opumq; conuehendarum ſtudium*
7 Augentes *ſuis* ædibus?
„ 8 Dulcis enim ſpes eſt,in
„ 9 Perniciem mortalium,inſatiabilis hominibus,
„ 10 Diuitiarum *ob* onus,qui feruntur

„ 11 Ex-

Digitized by Google

» Τὰ τῆς θεοῦ δὲ μέμφομαι σοφίσματα,
» Ἤ τις, βροτῶν μὲν ἤν τις ἅψηται φόνου,
» Ἢ καὶ λοχείας, ἢ νεκροῦ θίγῃ χεροῖν,
» Βωμῶν ἀπείργει, μυσαρὸν ὡς ἡγουμένη.
» Αὐτὴ δὲ θυσίαις ἥδεται βροτοκτόνοις.
» Οὐκ ἔσθ᾽ ὅπως ἔτεκεν ἂν ἡ Διὸς δάμαρ,
» Λητὼ, τοσαύτην ἀμαθίαν. ἐγὼ μὲν οὖν
Τὰ Ταντάλου θεοῖσιν ἑστιάματα,
Ἄπιστα κρίνω, παιδὸς ἡσθῆναι βορᾷ.
Τοὺς δ᾽ ἐνθάδ᾽, αὐτοὺς ὄντας ἀνθρωποκτόνους,
Εἰς τὸν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ.
» Οὐδένα γὰρ οἶμαι δαιμόνων εἶναι κακόν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

1 Κυάνεαι, κυάνεαι
2 Σύνοδοι θαλάσσας.
3 Ἦν Ἰσρὸς ὁ ποτώμενος Ἀργόθεν
4 Εὔξεινον ἐπ᾽ οἶδμα
5 Διεπέρασέν ποτε.
6 Ἀσιήτιδα γαῖαν
7 Εὐρώπας διαμείψας.
8 Τίνες ποτ᾽ ἄρα τὸν εὔυδρον,
9 Καὶ δονακόχλοα λιπόντες Εὐρώταν,
10 Ἢ ῥεύματα σεμνὰ Δίρκης,
11 Ἔβασαν ἔβασαν ἄμικτον
12 Αἶαν, ἔνθα κούρα
13 Διατέγγει βωμοὺς,
14 Καὶ περὶ κίονας να-
15 ὧν αἷμα βρότειον.

Ἀντιστροφὴ α'.

1 Ἢ ῥοθίοις εἰλατίνοις,
2 Δικρότοισι κώπαις
3 Ἔπλευσαν ἐπὶ πόντια κύματα
4 Νάϊον ὄχημα
5 Λινοπόροις αὔραις,
6 Φιλόπλουτον ἅμιλλαν
7 Αὔξοντες μελάθροισιν;
» 8 Φίλα γὰρ ἐλπὶς ἐγένετ᾽, ἐπὶ
» 9 Πήμασι βροτῶν, ἄπληστος ἀνθρώποις,
» 10 Ὄλβου βάρος, οἳ φέρονται

» 11 Πλά-

Digitized by Google

,, Πλανῆτες, οἴδμα, πόλις τε
,, Βαρβάρους περῶντες.
,, Κεναὶ δόξαι. γνώμα
,, Δ' οἷς μὲν ἄκαιρος ὄλβος,
,, Τοῖς δ' εἰς μέσον ἥκει.

Στροφὴ β'.

Πῶς τὰς συνδρομάδας πέτρας,
Πῶς φινεΐδας ἀΰπνους
Ακτὰς ἐπέρασαν,
Παράλιον αἰγιαλὸν
Επ' Αμφιτρίτας ῥοθίῳ
Δραμόντες. ὅπου πεντήκοντα κορᾶν
Τῶν Νηρήδων χοροὶ
Μέλπουσιν ἐγκυκλίοις,
Καὶ πλησίοισι πνοαῖς,
Συριζόντων κατὰ πρύμναν
Εὐναίων πηδαλίων,
Αὔραις ἐννοτίαις, ἢ
Πνοαῖσι Ζεφύρου, τὰν
Πολυόρνιθον ἐπ' αἶαν,
Λευκὰν ἀκτὰν Αχιλῆος.
Δρόμους καλλισταδίους, εὔ-
ξεινον κατὰ πόντον.

Αντιστροφὴ β'.

Εἴθ' εὐχαῖσι δεσποσύνας
Λήδας Ελένα φίλα παῖς
Ελθοῦσα τύχοι, τὰν
Τρῳάδα λιποῦσα πόλιν,
Ἵν' ἀμφὶ χαίταν δρόσον αἱ-
ματηρὰν ἑλιχθεῖσα, λαιμοτόμος
Δεσποίνας χειρὶ θάνῃ,
Ποινὰς δοῦσ' ἀντιπάλους.
Ἥδιστ' ἂν τήνδ' ἀγγελίαν
Δεξαίμεθ', Ελλάδος ἐκ γᾶς
Πλωτήρων εἴ τις ἔβα,
Δουλείας ἐμέθεν δει-
λαίας, παυσίπονος. καὶ
Γὰρ ὀνείρασι συμβαίην
Οἴκοις, πόλει τε πατρῴᾳ
Τερπνῶν ὕμνων ἀπολαύειν.

Κα

Digitized by Google

Errabundi, per fluctus, vrbeſque
Barbaricas tranſeuntes.
Inanes *ſunt hominum* opiniones. cupiditas
Vero diuitiarũ aliis quidē intempeſtiua, *ac nimia.*
Aliis vero in medium, *i mediocris, & tempeſtiua* venit.

Strophe II.

Quomodo concurrentes petras,
Quomodo Phineios inſomnes, *i. Phinei ſemper omnibus periculoſos,*
Scopulos tranſiuerunt,
Marinum littus
In Amphitritæ vndis
Currentes, vbi quinquaginta puellarum
Nereidum chori
Canunt in orbem redeuntibus, *& per anni circulũ reuertentibus,*
Et implentibus vela, *ſecundiſque* flatibus,
Stridentibus in puppi
Firmis gubernaculis,
Auris auſtralibus, aut
Zephyri flatibus *delati*
Ad terram auibus abundantem,
Album littus Achillis,
Curſus pulchro ſtadio celebres, Eu-
xinum ad Pontum.

Antiſtrophe II.

Vtinam *pro* votis imperii, *quod in hoſpites huc appulſos noſtra domina habet,*
Helena Ledæ chara filia
Huc aliquo caſu veniret,
Relicta Troiana vrbe,
Vt circa capillum rore cru-
ento implicita, guttur ſecante
Manu dominæ moreretur,
Dans pœnas mutuas.
Iucundiſſime hoc nuncium
Acciperemus, ex Græciæ terra
Nautarum ſi quis *huc* veniret,
Seruitutis mei miſe-
ræ laboribus finem impoſiturus. Et
enim *ex noſtra dominæ* ſomniis vtinam *mihi* contingerēt *eſſe in*
Ædibus, & vrbe paterna,
Iucundis hymnis vt fruerer,

17 *In* communi gaudio fœlicitatis,

Iphigenia.

Verum iſti manus geminis vinculis
Vincti veniunt noua
Deæ victima. Tacete ô amicæ.
Græcorum enim *conſecranda* primitiæ iam
Iſtæ ad templum prope veniunt,
Neque nuncios falſos nunciauit
Paſtorius vir. [tibi benigne

Cho. O veneranda (vtinam hæc *hoſpites cadendi muneris*
Vrbs hæc remittat) accipe victimas,
Quas apud nos *receptus* mos non pias
Græcis dās apparet, *i. qui mos in Græcos impius videtur.*

Iphigenia.

Eſto primum igitur vt Deæ cultus recte habeat,
Curandum *eſt* mihi. Soluite hoſpitum manus,
Vt exiſtentes ſacri non ſint amplius vincti.
Ingredientes autem in templa, parate
Quæ oportet ad *res* p̄ſentes, & *quæ* morib. *ſunt recepta.*
Papæ. Quænam *eſt* mater, quæ vos olim peperit?
Quis pater? quæ ſoror, ſi qua *vobis* nata ſit?
Qualibus *illa* geminis iuuenibus priuata,
„ Sine fratribus erit? Quis *rerū* euentus nouit, quod
„ Tales ſint futuri? Omnia enim Deorum *conſilia*
„ In obſcurū eūt, *obſcura ſunt*, nec vllꝰ *impēdens ſibi* malū
„ Fortuna enim *hoc* reddit cognitu difficile. [nouit.
Vndenam venitis ô miſeri hoſpites?
Quā ꝓ longū *interuallū* nauigaſtis *ad* hāc terram?
Et *quam* longo tēpore eſtis perpetuo abſfuturi a patria?

Ore. Cur tu hæc deploras, & cur de futuris noſtris
Malis contriſtaris, quæcunque tandem es ô mulier?
„ Non exiſtimo ſapientem, qui moriturus,
„ Ploratione metum exitii vincere vult:
„ Nec *illū* qui mortem *alicui iam* vicinam deplorat,
„ Salutis nullam ſpem habens. quia ex vno geminum
„ Facit malum, eſtque obnoxius ſtultitiæ, [nere.
„ Moriturq; ęque *hic, atq; ille*. Fortunā igitur oportet ſi-
Tu igitur ne nos deplora. quæ enim hic fiunt
Sacrificia ſcimus, & cognoſcimus.

Iphi. Vter vero veſtrûm hîc nominatus

Pyla-

Χο. Κοινὰν χαίρειν ὄλβῳ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀλλ' οἵδε χέρας δεσμοῖς διδύμοις
Συνερεισθέντες χωροῦσι νέοι
Πρόσφαγμα θεᾶς. σιγᾶτε φίλαι.
Τὰ γὰρ Ἑλλήνων ἀκροθίνια δὴ
Ἐν ναοῖσι πέλας πόδα βαίνει.
Οὐδ' ἀγγελίας ψευδεῖς λάκε
Βουφορβὸς ἀνήρ.
Ὦ πότνι', εἴ σοι τάδ' ἀρεσκόντως
Πόλις ἥδε τελεῖ, δέξαι θυσίας,
Ἃς ὁ παρ' ἡμῖν νόμος οὐχ ὁσίας
Ἕλλησι διδοὺς ἀναφαίνει.

ΙΑΜΒΟΙ.

Ιφι. Εἶεν. τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχει,
Φροντιστέον μοι. μέθετε τῶν ξένων χέρας,
Ὡς ὄντες ἱεροί, μηκέτ' ὦσι δέσμιοι.
Ναοῦ δ' ἔσω στείχοντες, εὐτρεπίζετε
Ἃ χρὴ 'πὶ τοῖς παροῦσι, καὶ νομίζεται.
Φεῦ. τίς ἄρα μήτηρ ἡ τεκοῦσ' ὑμᾶς ποτε,
Πατήρ τ', ἀδελφή τ', εἰ γεγῶσα τυγχάνει
Οἵων στερηθεῖσα διπτύχων νεανιῶν,
» Ἀνάδελφος ἔσται; τὰς τύχας τίς οἶδ', ὅτῳ
» Τοιαίδ' ἔσονται; πάντα γὰρ τὰ τῶν θεῶν
» Εἰς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ' οὐδεὶς κακόν.
» Ἡ γὰρ τύχη παρήγαγ' εἰς τὸ δυσμαθές.
Πόθεν ποθ' ἥκετ', ὦ ταλαίπωροι ξένοι;
Ὡς διὰ μακροῦ μὲν τήνδ' ἐπλεύσατε χθόνα,
Μακρὸν δ' ἀπ' οἴκων χρόνον ἔσεσθ' ἀεὶ κάτω.
Ορε. Τί ταῦτ' ὀδύρῃ, κἀπὶ τοῖς μέλλουσι νῷν
Κακοῖσι λυπεῖς, ἥτις εἶ ποτ', ὦ γύναι;
» Οὔτοι νομίζω σοφόν, ὃς ἂν μέλλων θανεῖν,
» Οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ,
» Οὐθ' ὅστις ᾅδην ἐγγὺς ὄντ', οἰκτίζεται,
» Σωτηρίας ἄνελπις. ὡς δύ' ἐξ ἑνὸς
» Κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει,
» Θνήσκει θ' ὁμοίως. τὴν τύχην δ' ἐᾶν χρεών.
Ἡμᾶς δὲ μὴ θρήνει σύ. τὰς γὰρ ἐνθάδε
Θυσίας ἐπιστάμεσθα, καὶ γιγνώσκομεν.
Ιφι. Πότερος ἄρ' ὑμῶν ἐνθάδ' ὠνομασμένος

Πυλάδης κέκληται; τόδε μαθεῖν πρῶτον θέλω.
ὀρέ. Ὅδ'. ἐπεὶ δή σοι τοῦτ' ἐν ἡδονῇ μαθεῖν;
ἰφι. Ποίας πολίτης πατρίδος Ἕλλην γεγώς;
ὀρέ. Τί δ' ἂν μαθοῦσα τόδε, πλέον λάβοις γύναι;
ἰφι. Πότερον ἀδελφὼ μητρός ἐστον ἐκ μιᾶς;
ὀρέ. Φιλότητί γ' ἐσμέν, οὐ κασιγνήτω, γύναι.
ἰφι. Σοὶ δ' ὄνομα ποῖον ἔθεθ' ὁ γεννήσας πατήρ;
ὀρέ. Τὸ μὲν δίκαιον, δυστυχεῖς καλοίμεθ' ἄν.
ἰφι. Οὐ τοῦτ' ἐρωτῶ. τοῦτο μὲν δὸς τῇ τύχῃ.
ὀρέ. Ἀνώνυμοι θανόντες, οὐ γελώμεθ' ἄν.
ἰφι. Τί δὲ φθονεῖς τοῦτ', ἢ φρονεῖς οὕτω μέγα;
ὀρέ. Τὸ σῶμα θύσεις τοὐμὸν, οὐχὶ τοὔνομα.
ἰφι. Οὐδ' ἂν πόλιν φράσειας, ἥτις ἐστί σοι;
ὀρέ. Ζητεῖς γὰρ οὐδὲν κέρδος, ὡς θανουμένῳ.
ἰφι. Χάριν δὲ δοῦναι τήνδε, κωλύει τί σε;
ὀρέ. Τὸ κλεινὸν Ἄργος, πατρίδ' ἐμὴν ἐπεύχομαι.
ἰφι. Πρὸς θεῶν ἀληθῶς, ὦ ξέν' ἐκεῖθεν γεγώς;
ὀρέ. Ἐκ τῶν Μυκηνῶν, αἵ ποτ' ἦσαν ὄλβιαι.
ἰφι. Φυγὰς ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ;
ὀρέ. Φεύγω τρόπον γε δή τιν' οὐχ ἑκὼν, ἑκών.
ἰφι. Ἆρ' ἄν τί μοι φράσειας, ὧν ἐγὼ θέλω;
ὀρέ. Ὡς ἐν παρέργῳ τῆς ἐμῆς δυσπραξίας.
ἰφι. Καὶ μὴν ποθεινός γ' ἦλθες ἐξ Ἄργους μολών.
ὀρέ. Οὔκουν ἐμαυτῷ γ'. εἰ δὲ σοί, σὺ τοῦτ' ἔρα.
ἰφι. Τροίαν ἴσως οἶσθ', ἧς ἁπανταχοῦ λόγος;
ὀρέ. Ὡς μή ποτ' ὤφελόν γε, μηδ' ἰδὼν ὄναρ.
ἰφι. Φασίν νιν οὐκέτ' οὖσαν, οἴχεσθαι δορί.
ὀρέ. Ἔστιν γὰρ οὕτως, οὐδ' ἄκραντ' ἠκούσατε.
ἰφι. Ἑλένη δ' ἀφῖκται δῶμα Μενέλεω πάλιν;
ὀρέ. Ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.
ἰφι. Καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προὐφείλει κακόν.
ὀρέ. Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.
ἰφι. Ὦ μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.
ὀρέ. Ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.
ἰφι. Νόστος δ' Ἀχαιῶν ἐγένεθ', ὡς κηρύσσεται;
ὀρέ. Ὡς πάνθ' ἅπαξ με συλλαβοῦσ' ἀνιστορεῖς.
ἰφι. Πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω.
ὀρέ. Ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς. λέξω δ' ἐγώ.
ἰφι. Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν,

Pylades vocatur?hoc ſcire primum volo.
Hic. eſtne vero tibi voluptati hoc ſcire?
i. Cuius patriæ Græcæ ciuis *eſt* natus?
e. Qui vero cognoſcens hæc, plus habebis mulier?
i. Vtrum eſtis fratres ex vna matre geniti?
e. Amicitia ſumus, non nati fratres, mulier.
i. Tibi vero quod nomen impoſuit qui *te* genuit pater?
e. Vero quidem *nomine* poſſemus vocari miſeri.
i. Non hoc interrogo. hoc enim tribue fortunæ.
e. Ignoti ſi moriamur non ridebimur.
i. Quid vero ſentis hoc?an adeo magnifice ſentis?
e. Meum corpus mactabis, non nomen.
hi. Neque ciuitatem dices, ex qua oriundus es?
re. Quæris enim *quod* nullā vtilitatē *mihi* morituro *feret*.
hi. Quid vero prohibet quominus hoc beneficium mihi præſtes?
re. Inclytum Argos patriam meam *eſſe* glorior.
hi. Per deos vere ne, ô hoſpes, illinc *es* oriundus?
re. Ex Mycenis, quæ olim erant beatæ.
hi. Num ex patria diſceſſiſti exul, aut quali fortuna?
re. Exulo aliquomodo non volens, volens.
hi. Num dixeris mihi *aliquid eorum*, quæ volo?
re. Vt obiter *hoc fiet* in mea infelicitate.
hi. Profecto deſideratus mihi venis Argis profectus.
re. Mihi quidem non. ſi vero tibi, tu hoc ama.
hi. Nouiſti fortaſſe Troiam, cuius vbique fama?
re. Vtinā nō noſſem, & nūquā vidiſſē ne in ſomnio q̃dē.
phi. Dicunt eam bello deletam non amplius extare.
Ore. Eſt ita. neq; *res* irritas, *i. falſas* audiuiſtis.
phi. Helena vero rediit rurſus *in* Menelai domum?
Ore. Rediit: ſed infauſta rediit cuidam meorum.
Iphi. Vbi nam eſt? Nam & mihi graue iā pridē dedit malū.
Ore. Spartæ cohabitat priſtino marito.
Iphi. O commune Græcis odium, non mihi ſoli.
Ore. Et ego iam quendam *amarum* fructum ex illius nuptiis percepi.
Iphi. Redieruntne Græci, vt fama fertur?
Ore. Vt omnia ſemel, *ac ſimul* complexa me interrogas.
Iphi. Priusquam enim moriaris, hac *narratione* frui volo.
Ore. Interroga, quandoquidem hoc cupis. ego vero *tibi* reſpondebo.
Iphi. Rediitne quidam vates Calchas ex Troia?

Ore. Periit, vt dicebatur inter Mycenæos.

Iphi. O *dea* veneranda. Qđ o vero eſt, *an viuit* Laertis fil

Ore. Nondum domum rediit, viuit tamen, vt dicunt.

Iphi. Pereat, nec vnquam in patriam redeat.

Ore. Nihil impreceris *illi* omnes *enim res* illius laborant.

Iphi. Filius vero Thetidis Nereidis, *i. Achilles*, adhuc ne vi

Ore. Nō viuit: fruſtra celebrauit nuptias *in* Aulide [ſcim

Iphi. Doloſę .n. *& ſimulatæ erant*, vt dicūt illi, q ſuo damno

Ore. Quę vero tā dē es, qp tā accurate de *reb.* Gręcię pcōtaris?

Iphi. Inde ſum, & puella etiamnum perii.

Ore. Recte ergo cupis ſcire quæ ibi *acta ſunt*, mulier.

Iphi. Vbi vero eſt dux, quem dicunt eſſe beatum? [beatū

Ore. Quiſnam? Nō .n. *ille* ſaltē, quē ego noui, *eſt ex numero*

Iphi. Agamemnō rex quidā Atrei filius dicebatur.

Ore. Nihil ſcio. omitte hunc ſermonem, mulier.

Iphi. Nequaquam per Deos, ſed dic, vt exhilarer, ô hoſpes.

Ore. Periit miſer, & præterea perdidit quempiam.

Iphi. Mortuus eſt? quo fato? heu me miſeram.

Ore. Cur vero ingemuiſti *pp* hoc? nū ad te pertinebat?

Iphi. Deploro priorem eius fortunam.

Ore. Periit enim miſerabiliter, interfectus a muliere.

Iphi. O maxime deplorāda q̄ *illū* interfecit, & q *caſu* obiit.

Ore. Deſine igitur iam, & ne interroges vlterius.

Iphi. Adhuc tantum, viuitne illius miſeri coniunx?

Ore. Non eſt *amplius. nam* filius, quem *illa* peperit, is eam perdidit.

Iphi. O confuſa domus. quid vero volēs, *cur eam interfecit?*

Ore. *Ob* patrem mortuum, & *ab ipſa caſum*, ipſam vlciſcēs.

Iphi. Eheu. quam recte *factum. nam* pœnas iuſtas exegit.

Ore. Sed quamuis *nec is paterna vindex* ſit iuſtus, *tamen* Deos habet infenſos.

Iphi. Reliquitne domi aliam ſobolem Agamemnon?

Ore. Reliquit Electram virginem vnicam

Iphi. Quid vero. eſtne aliquis ſermo de mactata filia?

Ore. Nullus alius, niſi eam mortuam non intueri lucem.

Iphi. Miſeram illam. & patrem qui interfecit eam.

Ore. Malæ mulieris gratia, ſine gratia periit.

Iphi. Interfecti vero patris filius eſt ne Argis?

Ore. Ille miſer eſt nuſquam, & vbique.

Iphi. Falſa ſomnia valete, nihil enim eſtis.

Ne

Ὄλωλεν, ὡς ἦν ἐν Μυκηναίοις λόγος.
Ὦ πότνι᾽. ὡς ἔστι γὰρ Λαέρτου γόνος;
Οὔπω νενόστηκ᾽ οἴκον. ἔστι δ᾽ ὡς λόγος.
Ὄλοιτο, νόστου μή ποτ᾽ ἐς πάτραν τυχών.
Μηδὲν κατεύχου. πάντα τὰ᾽κείνου νοσεῖ.
Θέτιδος δ᾽ ὁ τῆς Νηρῆδος ἔστι παῖς ἔτι;
Οὐκ ἔστιν. ἄλλως λέκτρ᾽ ἔγημεν Αὐλίδι.
Δόλια γὰρ, ὥς γε φασὶν οἱ πεπονθότες.
Τίς εἶ ποθ᾽, ὡς εὖ πυνθάνῃ τἀφ᾽ Ἑλλάδος;
Ἐκεῖθέν εἰμι. παῖς ἔτ᾽ οὖσ᾽ ἀπωλόμην.
ι. Ὀρθῶς ποθεῖς ἄρ᾽ εἰδέναι τἀκεῖ, γύναι.
ι. Τί δ᾽ ὁ στρατηγὸς, ὃν λέγουσ᾽ εὐδαιμονεῖν;
ε. Τίς; οὐ γὰρ ὅν γ᾽ ἐγ᾽ ᾖδα τῶν εὐδαιμόνων.
ι. Ἀτρέως ἐλέγετο δή τις Ἀγαμέμνων ἄναξ.
ε. Οὐκ οἶδ᾽. ἄπελθε τοῦ λόγου τούτου, γύναι.
φι. Μὴ πρὸς θεῶν, ἀλλ᾽ εἴφ᾽, ἵν᾽ εὐφρανθῶ ξένε.
ρέ. Τέθνηχ᾽ ὁ τλήμων, πρὸς δ᾽ ἀπώλεσέν τινα.
φι. Τέθνηκε; ποίᾳ συμφορᾷ; τάλαιν᾽ ἐγώ.
ρέ. Τί δ᾽ ἐστέναξας τοῦτο; μῶν προσῆκέ σοι;
φι. Τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ᾽ ἀναστένω.
ρέ. Δεινῶς γὰρ ἐκ γυναικὸς οἴχεται σφαγείς.
φι. Ὦ πανδάκρυτος ἡ κτανοῦσα, χὠ θανών.
ρέ. Παῦσαί νυν ἤδη, μηδ᾽ ἐρωτήσῃς πέρα.
ἰφι. Τοσόνδε γ᾽, εἰ ζῇ τοῦ ταλαιπώρου δάμαρ;
ὀρέ. Οὐκ ἔστι. παῖς νιν, ὃν ἔτεχ᾽, οὗτος ὤλεσεν.
ἰφι. Ὦ συνταραχθεὶς οἶκος, ὡς τί δὴ θέλων;
ὀρέ. Πατρὸς θανόντος τήνδε τιμωρούμενος.
ἰφι. Φεῦ. ὡς εὖ, κακὸν δίκαιον εἰσεπράξατο.
ὀρέ. Ἀλλ᾽ οὐ τὰ πρὸς θεῶν εὐτυχεῖ, δίκαιος ὤν.
ἰφι. Λείπει δ᾽ ἐν οἴκοις ἄλλον Ἀγαμέμνων γόνον;
ὀρέ. Λέλοιπεν Ἠλέκτραν γε παρθένον μίαν.
ἰφι. Τί δὲ, σφαγείσης θυγατρὸς ἔστι τις λόγος;
ὀρέ. Οὐδείς γε, πλὴν θανοῦσαν οὐχ ὁρᾶν φάος.
ἰφι. Τάλαιν᾽ ἐκείνη, χὠ κτανὼν αὐτὴν πατήρ.
ὀρέ. Κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.
ἰφι. Ὁ τοῦ θανόντος δ᾽ ἔστι παῖς Ἄργει πατρός;
ὀρέ. Ἔστ᾽ ἄθλιός γε, κοὐδαμοῦ, καὶ πανταχοῦ.
ἰφι. Ψευδεῖς ὄνειροι χαίρετ᾽. οὐδὲν ἦτ᾽ ἄρα.

,, Οὐδ' οἱ σοφοί γε δαίμονες κεκλημένοι,
,, Πτηνῶν ὀνείρων εἰσὶν ἀψευδέστεροι.
,, Πολὺς ταραγμὸς ἔν τε τοῖς θεοῖς ἔνι,
,, Κἀν τοῖς βροτείοις. ἓν δὲ λείπεται μόνον,
Ὅτ' οὐκ ἄφρων ὤν, μάντεων πεισθεὶς λόγοις,
Ὄλωλεν, ὡς ὄλωλε τοῖσιν εἰδόσιν.

χο. Φεῦ, φεῦ. τί δ' ἡμεῖς, οἵ τ' ἐμοὶ γεννήτορες,
,, Ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί; τίς φράσειεν ἄν;

ἰφι. Ἀκούσατ'. εἰς γὰρ δή τιν' ἥκομεν λόγον,
Ὑμῖν τ' ὄνησιν ὦ ξένοι σπεύδαις ἅμα.
Κἀμοὶ τὸ δ' εὖ μάλιστά γ' οὕτω γίγνεται,
Εἰ πᾶσι ταυτὸν πρᾶγμ' ἀρεσκόντως ἔχοι.
Θέλοις ἂν εἰ σώσαιμί σ', ἀγγεῖλαί τί μοι,
Πρὸς Ἄργος ἐλθὼν, τοῖς ἐμοῖς ἐκεῖ φίλοις,
Δέλτον τ' ἐνεγκεῖν, ἥν τις οἰκτείρας ἐμὲ,
Ἔγραψεν αἰχμάλωτος, οὐχὶ τὴν ἐμὴν
Φονέα νομίζων χεῖρα, τοῦ νόμου δ' ὕπο
Θνήσκειν γε, τῆς θεοῦ ταῦτα δίκαι' ἡγουμένης;
Οὐδένα γὰρ εἶχον, ὅς τις ἀγγείλαι, μολὼν
Εἰς Ἄργος αὖθις, τὰς ἐμὰς ἐπιστολὰς
Πέμψειε σωθεὶς τῶν ἐμῶν φίλων τινί.
Σὺ δ'. εἶ γὰρ ὡς ἔοικας οὔτε δυσμενὴς,
Καὶ τὰς Μυκήνας οἶσθα, χοὓς κἀγὼ θέλω.
Σώθητι, καὶ σὺ μισθὸν οὐκ αἰσχρὸν λαβὼν
Κούφων ἕκατι γραμμάτων, σωτηρίαν.
Οὗτος δ', ἐπείπερ πόλις ἀναγκάζει τάδε,
Θεᾷ γενέσθω θῦμα, χωρισθεὶς σέθεν.

ὀρέ. Καλῶς ἔλεξας τἄλλα, πλὴν ἕν ὦ ξένη.
Τὸ γὰρ σφαγῆναι τόνδε μοι, βάρος μέγα.
Ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς συμφοράς.
Οὗτος δὲ συμπλεῖ τῶν ἐμῶν μόχθων χάριν.
Οὔκουν δίκαιον ἐπ' ὀλέθρῳ τῷ τοῦδ' ἐμὲ
Χάριν τίθεσθαι, καὐτὸν ἐκδῦναι κακῶν.
Ἀλλ' ὡς γενέσθω, τῷδε μὲν δέλτον δίδου.
Πέμψει γὰρ Ἄργος ὥστε σοι καλῶς ἔχειν.
,, Ἡμᾶς δ' ὁ χρῄζων, κτεινέτω. Τὰ τῶν φίλων
,, Αἴσχιστον ὅς τις καταβαλὼν εἰς ξυμφορὰς,
,, Αὐτὸς σέσωσται. τυγχάνει δ' ὅδ' ὢν φίλος,
,, Ὃν οὐδὲν ἧσσον, ἤ με, φῶς ὁρᾶν θέλω.

ἰφι.

,, Nec genii, qui vocantur ſapientes,
,, Minus ſunt mendaces ſomniis.
,, Magnaque confuſio eſt in rebus diuinis,
,, Et humanis. hoc vnum vero reliquum eſt,
Quod nō ſtultus exiſtens *filius*, vatum verbis adductus
Perierit, quia periit *ſi credendum eſt* illis, qui *mortem eius* norunt.

Cho. Heu heu, quid vero nos, & noſtri parentes,
,, Num ſunt, an non ſunt? quis queat dicere?

Iphi. Audite. Iam .n. in quoddā venim⁹ colloquiū, *ꝗ afferet*
Vobis etiam vtilitatem, ô hoſpites, *quia eſt* ſerium.
Et mihi pręcipue hoc bene ſic erit, *commodeq; cedet*,
Si *vobis* omnibus eadem res placuerit.
Vis, ſi te ſeruauero, nūciare aliquid mihi, *i. meo nomine*,
Argos profectus, meis amicis illic *degentibus*,
Et *illis* ferre literas, quas quidam, me miſeratus,
Captiuus ſcripſit, meam non
Exiſtimans manum *eſſe* homicidialē. ſed a lege *mactatos hoſpites*
Mori, Dea iudicante hęc *eſſe* iuſta?
Nullū .n. *hactenus* habui, ꝗ nūciare *poſſet*, q̄ *volo*, ꝓfect⁹
Argos iterum, *i. Argos reuerſus, & qui* meas literas
Mitteret, *aut ꝓferret hinc* ſeruatus, meorū amicorū alicui.
Tu igitur (es enim, vt videris *mihi* non infeſtus,
Et Mycenas nouiſti, & quos ego volo)
Serueris, & viuas, mercedē nō contemnendā accipiēs,
Propter leues literas, ſalutem *videlicet*.
Iſte vero, ſiquidem ciuitas hoc cogit,
Deæ fiat hoſtia, ſeiunctus a te.

Ore. Recte dixiſti cætera, præter hoc vnum, ô hoſpita.
Nam iſtum interfici *eſſet* mihi valde grauis dolor.
Ego enim ſum gubernator nauis harū calamitatum,
Iſte vero vna nauigat, propter meos labores.
Non igitur iuſtum *eſt* me cum huius nece
Tibi præſtare officium, & me ipſum eripere ex malis.
Sed ſic fiat. huic quidem trade literas:
Nam *eas* Argos mittet, vt tuę res recte habeant:
,, Nos vero, quicunq; vult, interficiat. Amicos *enim*
,, Quiſquis in calamitatem coniiciens,
,, Ipſe ſeruatur, turpiſſimus *eſt*. Hic aūt eſt *mihi* amicus,
,, Quem non minus volo viuere quam me.

Iphi.

Iphi. O præſtantem animum: vt ex generoſa aliqua
Radice ortus es, amicisque verus amicus.
Talis vtinam ſit meorum fratrum
Qui relictus eſt: nam ne ego quidem, ô hoſpites,
Sine fratre ſum, niſi quod eum *nunc* non video.
Poſtquam vero hoc vis, hunc mittemus,
Qui perferat literas, tu vero morieris. quoddam .n. magnū
Studium huius *rei* te tenet.
Ore. Quis vero interficiet me, & hæc atrocia audebit?
Iphi. Ego. huius enim deæ expiationem habeo. [habeo.
Ore. Indignā certe, ô iuuēcula, & infelicē *muneris functionem*
Iphi. At venimus in *hanc* neceſſitatem, quæ ſeruanda *nobis*
eſt, & cui ſeruiendum.
Ore. Tu, cum ſis femella, enſe mactas mares?
Iphi. Non. ſed circa tuam comam manus lauabo.
Ore. Sed quis *eſt* mactator? ſi mihi licet hoc interrogare.
Iphi. Intra hanc domum ſunt, quibus iſtæ curæ ſunt.
Ore. Quale vero ſepulchrum accipiet me mortuum?
Iphi. Sacer ignis intus, & tenebroſus hiatus ſaxi.
Ore. Heu, quomodo me ſororis manus tumulabit?
Iphi. Inane votum, ô miſer, quisquis tandem es, [ra.
Feciſti: habitat enim *tua ſoror* procul ab hac barbara ter-
Verumtamen, quia Argiuus es,
Ne ego quidem ſaltem *earum rerum*, quas *præſtare*
potero, omittam officium.
Multum enim ornatum tibi in ſepulchro ponam,
Et montanæ delicias ex florum liquore collectas
Flauæ apis iniiciam in tuum rogum,
Sed ibo, & literas ex ſacello Deæ
Portabo. non deprehendes tamen me tibi infeſtā eſſe.
Miniſtri cuſtodite eos ſine vinculis.
Fortaſſe inſperata *gaudia* meorum amicorum alicui
Mittam Argos, quos maxime ego amo,
Et literæ illi viuere, quos mortuos credit,
Significantes, incredibiles voluptates nunciabunt.

ANOMOEOSTROPHA.

Strophe.. I.

Cho Deploro te
Luſtrationum guttis
Deſtinatum cruentis.

Ore.

ἰφι. Ὦ λῆμ' ἄριστον, ὡς ἀπ' εὐγενοῦς τινος
Ῥίζης πέφυκας, τοῖς φίλοις τ' ὀρθὸς φίλος.
Τοιοῦτος εἴη τῶν ἐμῶν ὁμοσπόρων,
Ὅσπερ λέλειπται. καὶ γὰρ οὐδ' ἐγὼ, ξένοι,
Ἀνάδελφός εἰμι, πλὴν ὅσ' οὐχ ὁρῶσά νιν.
Ἐπεὶ δὲ βούλει ταῦτα, τόνδε πέμψομεν
Δέλτον φέροντα, σὺ δὲ θανῇ. πολλὴ δέ τις
Προθυμία σε τοῦδ' ἔχουσα τυγχάνει.
ὀρέ. Θύσει δὲ τίς με, καὶ τὰ δεινὰ τλήσεται;
ἰφι. Ἐγώ. θεᾶς γὰρ τῆσδε προστροπὴν ἔχω.
ὀρέ. Ἄζηλά γ', ὦ νεᾶνι, κοὐκ εὐδαίμονα.
ἰφι. Ἀλλ' εἰς ἀνάγκην κείμεθ', ἣν φυ-
λακτέον.
ὀρέ. Αὐτὴ ξίφει θύουσα, θῆλυς ἄρσενας;
ἰφι. Οὔκ, ἀλλὰ χαίτην ἀμφὶ σὴν χερνίψομαι.
ὀρέ. Ὁ δὲ σφαγεὺς τίς; εἰ τάδ' ἱστορεῖν με χρή.
ἰφι. Εἴσω δόμων τῶνδ' εἰσὶν, οἷς μέλει τάδε.
ὀρέ. Τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;
ἰφι. Πῦρ ἱερὸν ἔνδον, χάσμα τ' εὐρωπὸν πέτρας.
ὀρέ. Φεῦ. πῶς ἄν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν;
ἰφι. Μάταιον εὐχὴν, ὦ τάλας, ὅστις ποτ' εἶ,
Ηὔξω. μακρὰν γὰρ βαρβάρου ναίει χθονός.
Οὐ μὴν, ἐπειδὴ τυγχάνεις Ἀργεῖος ὤν,
Ἀλλ' ὧν γε δυνατὸν, οὐδ' ἐγὼ λείψω
χάριν.
Πολύν τε γάρ σοι κόσμον ἐνθήσω τάφῳ,
Καὶ τῆς ὀρείας ἀνθεμόρρυτον γάνος
Ξουθῆς μελίσσης εἰς πῦρ ἐμβαλῶ σέθεν.
Ἀλλ' εἶμι, δέλτον τ' ἐκ θεᾶς ἀνακτόρων
Οἴσω. τὸ μέντοι δυσμενὲς μή μου λάβῃς.
Φυλάσσετ' αὐτοὺς πρόσπολοι δεσμῶν ἄτερ.
Ἴσως ἄελπτα τῶν ἐμῶν φίλων τινὶ
Πέμψω πρὸς Ἄργος, ὃν μάλιστ' ἐγὼ φιλῶ,
Καὶ δέλτος αὐτῷ ζῶντας, οὓς δοκεῖ θανεῖν,
Λέγουσα, πιστὰς ἡδονὰς ἀπαγγελεῖ.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

χο. Κατολοφύρομαί σε
Τῶν χερνίβων ῥανίσι
Μελόμενον αἱμακταῖς.

ὀρέ.

Digitized by Google

ὀρέ. Οἶκτος μὲν οὐ τοῦτ', ἀλλὰ χαίρετ' ὦ ξέναι.

Στροφὴ β'.

χο. Σὲ δὲ τύχας μάκαρος,
Ὦ νεανία,
Σεβόμεθ', εἰς πάτραν
Ὅτι ποτ' ἐπεμβάσῃ.
πυλ. Ἄζηλα τοῖς φίλοισι, θνησκόντων φίλων.

Στροφὴ γ'.

χο. Ὦ σχέτλιοι πομπαί.
Φεῦ, φεῦ. διόλλυσαι.
Αἶ, αἶ, αἶ, αἶ.
Πότερος ὁ μέλλων;
Ἔτι γὰρ ἀμφίλογα
Δίδυμα μέμονε φρήν,
Σὲ πάρος, ἢ σ' ἀναστενάξω γόοις.

ΙΑΜΒΟΙ.

ὀρέ. Πυλάδη, πέπονθας ταὐτὸ πρὸς θεῶν ἐμοί;
πυλ. Οὐκ οἶδ'. ἐρωτᾷς οὐ λέγειν ἔχοντά με.
ὀρέ. Τίς ἐστιν ἡ νεᾶνις; ὡς ἑλληνικῶς
Ἀνήρεθ' ἡμᾶς, τούς τ' ἐν Ἰλίῳ πόνους,
Νόστον τ' Ἀχαιῶν, τόν τ' ἐν οἰωνοῖς σοφὸν
Κάλχαντ', Ἀχιλλέως τ' ὄνομα, καὶ τὸν ἄθλιον
Ἀγαμέμνον' ὡς ᾤκτειρεν; ἀνηρώτα τ' ἐμὲ
Γυναῖκα, παῖδάς τ'. ἔστιν ἡ ξένη γένος
Ἐκεῖθεν Ἀργεία τις. οὐ γὰρ ἄν ποτε
Δέλτον τ' ἔπεμπε, καὶ τάδ' ἐξεμάνθανεν,
Ὡς κοινὰ πράσσουσ', Ἄργος εἰ πράσσει καλῶς.
πυλ. Ἔφθης με μικρόν. ταὐτὰ δὲ φθάσας λέγεις,
„ Πλὴν ἕν. τὰ γὰρ τῶν βασιλέων παθήματα,
„ Ἴσασι πάντες, ὧν ἐπιστροφή τις ἦν.
Ἀτὰρ διῆλθε κἄτερον λόγον τινά.
πυλ. Τίν'; εἰς τὸ κοινὸν δοὺς ἄμεινον ἂν μάθοις.
πυλ. Αἰσχρὸν, θανόντος σου βλέπειν ἡμᾶς φάος.
„ Κοινῇ τ' ἔπλευσα, δεῖ με καὶ κοινῇ θανεῖν.
„ Καὶ δειλίαν γὰρ, καὶ κάκην κεκτήσομαι,
Ἄργει τε, Φωκέων τ' ἐν πολυπτύχῳ χθονί.
„ Δόξω δὲ τοῖς πολλοῖσι, πολλοὶ γὰρ κακοὶ,
Προδοὺς σε, σώζεσθ' αὐτὸς εἰς οἴκους μόνος.
Ἢ καὶ φονεύσας ἐπὶ νοσοῦσι δώμασιν,

Digitized by Google

Ore. Hæc quidē nō miſerāda: Quare valete ô peregrinę.

Strophe II.

Cho. Te vero *propter* felicem ſortem,
O adoleſcens,
Colimus, in patriam
Quod tandem redibis.

Pyl. Nō optanda *ſunt hæc* amicis, morientibus amicis.

Strophe III.

Cho. O miſeranda ſacra.
Heu, heu, *hoſpitibus* exitioſa.
Æ, æ, æ, æ.
Vter eſt interficiendus?
Adhuc enim ambigua
In geminas diſtracta ſententias manet mens, *dubitans*
Vtrum te prius, an te lugeam luctu.

Oreſtes.

Pylade dic per Deos, affectusne es ſicut ego?

Pyl. Neſcio. interrogas me cum non poſſim reſpondere.

Ore. Quæ nam eſt hæc puella? Quam ſcite græcanice
Interrogauit nos & de laboribus ad Ilium *toleratis*,
Et de Græcorum reditu, & de vate
Calchante, & de Achille: & miſerum
Agamemnonē quam eſt miſerata? interrogauitq; me
De vxore, & liberis *eius*. Hæc hoſpita eſt genere
Illinc *profecta* Argiua aliqua. nunquam enim
Litteras mitteret *eo*, nec ſcrutaretur hæc, [gerant.
Quaſi communē fortunam habeat, ſi Argi rē feliciter

Pyl. Paulo me anteuertiſti. eadem enim meditatus dicis,
„ Præter *hoc* vnum: Regum enim clades,
„ Omnes norunt, qui aliquomodo conſiderant eas.
Sed & aliud quiddam dixit.

Ore. Quid? *dic. nam hoc* in commune ferens, *mecumq; communicans*, melius intelliges.

Pyl. Turpe *eſt*, te mortuo nos intueri lucem.
„ Vna enim nauigaui, vna etiam mori me oportet.
„ Etenim *alioqui* timiditatis, & ignauię probrū mihi cō-
Argis, & in Phocide multos habēre receſſus. [ciliabo
„ Videbor enim multis (multi enim *ſunt* mali)
Te prodito, ſolus ipſe rediiſſe domum,
Aut etiam occiſo te, in calamitate familiæ,

Struxiſ-

Struxiſſe necem tibi, propter tuum principatum,
Vt ducam tuam ſororem patrimonii totius hæredẽ.
Hæc igitur metuo, & horum me pudet:
Nec vllo modo fieri poteſt quin tecū animam exſpi.
Et ſimul iuguler, & conflagrem corpore,
„ Quia ſum amicus *tuus*, & vituperationem metuo.
Ore. Bona verba quæſo. mea mala *me* ferre oportet:
„ Cum autē poſſim ferre ſimplicē mœſtitiā, nō ferā ge- [minā.
Quod enim tibi triſte, & probroſum dicis,
Hoc mihi accidet, ſi te laborantem mecum
Interfecero. quod enim ad me attinet, nō male res ha- [bet,
Si moriar, cum exercear a diis ſicut exerceor.
Tu vero es beatus, puraſque, nec laborantes habes
Ædes. Ego vero impias, & infelices.
Si fueris autem ſeruatus, liberos ex mea ſorore
Suſcipies, quam tradidi tibi vxorem:
Manebitque meum nomen, neq; ſine liberis domus
Paterna mea delebitur vnquam.
Quare abi, & viue, & inhabita domum paternam,
Et cum veneris in Græciam, & ad equeſtre Argos,
Obteſtor te per hanc dextram iſta,
Excita *mihi* ſepulchrū, & impone monumenta mihi.
Et ſoror det lachrymas, & comam tumulo:
Et nuncia quomodo ego perierim ab Argiua quadam
Muliere, circa aram luſtratus cæde.
Neque deſeras vnquam meam ſororem,
Deſerens affinitatem, & domum paternam prodens.
Iamq; vale. meorū n. amicorū te chariſſimū *atq; fidiſ-* [ſimū inueni.
O venationis ſocie, & mecū educate *amice*,
Quā multos labores ſuſcepiſti propter mea mala:
Nos autem Apollo vates exiſtens feſellit:
Artem enim commentus, quam longiſſime a Græcia
Abegit, pudore priorum vaticiniorum.
Cui ego oīa mea permittens, & verbis *eius* obtēperās,
Interfeci matrem: nunc vero ipſe viciſſim pereo.
Pyl. Erit ſepulchrum tibi, & ſororis *tuæ* lectum
Nunquam deſeram, ô miſer, quia ego te
Mortuum magis, quam viuum, habebo amicum.
„ Sed nondum perdidit me penitus Dei
„ Oraculum, quamuis ſtem prope cædem.

„ Sed

Digitized by Google

Ῥάψαι μόρον σοι, σῆς τυραννίδος χάριν,
Ἔγκληρον ὡς δὴ σὴν κασιγνήτην γαμῶν.
Ταῦτ' οὖν φοβοῦμαι, καὶ δι' αἰσχύνης ἔχω.
Κοὐκ ἔσθ' ὅπως οὐ χρὴ συνεκπνεῦσαί με σοι,
Καὶ συσφαγῆναι, καὶ πυρωθῆναι δέμας,
„ Φίλον γεγῶτα, καὶ φοβούμενον ψόγον.
ὀρ. Εὔφημα φώνει. τἀμὰ δεῖ φέρειν κακά.
„ Ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς.
Ὃ γὰρ σὺ λυπρὸν, κἀπονείδιστον λέγεις,
Ταῦτ' ἔστιν ἡμῖν, εἴ σε συμμοχθοῦντ' ἐμοὶ
Κτενῶ. τὸ μὲν γὰρ εἰς ἔμ', οὐ κακῶς ἔχει,
Πράσσονθ' ἃ πράσσω, πρὸς θεῶν λύειν βίον.
Σὺ δ' ὄλβιός τ' εἶ, καθαρά τ', οὐ νοσοῦντ' ἔχεις
Μέλαθρ'. ἐγὼ δὲ δυσσεβῆ, καὶ δυστυχῆ.
Σωθεὶς δὲ, παῖδας ἐμῆς ὁμοσπόρου
Κτησάμενος, ἣν ἔδωκά σοι δάμαρτ' ἔχειν,
Ὄνομά τ' ἐμοῦ γένοιτ' ἂν, οὐδ' ἄπαις δόμος
Πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ' ἄν.
Ἀλλ' ἕρπε, καὶ ζῆ, καὶ δόμους οἴκει πατρός.
Ὅταν δ' ἐς Ἑλλάδ', ἱππιόν τ' Ἄργος μόλῃς,
Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε,
Τύμβον τε χῶσον, κἀπίθες μνημεῖά μοι.
Καὶ δάκρυ' ἀδελφὴ, καὶ κόμας δότω τάφῳ.
Ἄγγελλε δ', ὡς ὄλωλ' ὑπ' Ἀργείας τινὸς
Γυναικὸς, ἀμφὶ βωμὸν ἁγνισθεὶς φόνῳ.
Καὶ μὴ προδῷς μου τὴν κασιγνήτην ποτὲ,
Ἔρημα κήδη, καὶ δόμους προδοὺς πατρός.
Καὶ χαῖρ'. ἐμῶν γὰρ φίλτατόν σ' εὗρον φίλων.
Ὦ συγκυναγὲ, καὶ συνεκτραφεὶς ἐμοὶ,
Ὡς πόλλ' ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν.
Ἡμᾶς δ' ὁ Φοῖβος, μάντις ὢν, ἐψεύσατο.
Τέχνην δὲ θέμενος, ὡς προσώταθ' Ἑλλάδος
Ἀπήλασεν, αἰδοῖ τῶν πάρος μαντευμάτων.
Ὧι πάντ' ἐγὼ δοὺς τἀμὰ, καὶ πεισθεὶς λόγοις,
Μητέρα κατακτὰς, αὐτὸς ἀνταπόλλυμαι.
πυλ. Ἔσται τάφος σοι, καὶ κασιγνήτης λέχος
Οὐκ ἂν προδοίην, ὦ τάλας, ἐπεί σ' ἐγὼ
Θανόντα μᾶλλον, ἢ βλέπονθ' ἕξω φίλον.
„ Ἀτὰρ τὸ τοῦ θεοῦ γ' οὐ διέφθειρέν μέ πω
„ Μάντευμα, καίτοι γ' ἐγγὺς ἕστηκας φόνου.

„ Ἀλλ'

Digitized by Google

,, Ἀλλ' ἔστιν, ἔστιν ἡ λίαν δυσπραξία,
,, Λίαν διδοῦσα μεταβολὰς, ὅταν τύχῃ.
ὀρέ. Σίγα. τὰ Φοίβου δ' οὐδὲν ὠφελεῖ μ' ἔπη.
Γυνὴ γὰρ ἥδε δωμάτων ἔξω περᾷ.
ἰφι. Ἀπέλθεθ' ὑμεῖς, καὶ παρευτρεπίζετε
Τἄνδον μολόντες, τοῖς ἐφεστῶσι σφαγῇ.
Δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαὶ
Ξένοις πάρεισιν. ἃ δ' ἐπὶ τοῖσδε βούλομαι,
,, Ἀκούσατ'. οὐδεὶς αὐτὸς ἐν πόνοις ἀνὴρ,
,, Ὅταν γε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.
Ἐγὼ δὲ ταρβῶ, μὴ 'πονοστήσας χθονὸς,
Θῆται παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολὰς,
Ὁ τήνδε μέλλων δέλτον εἰς Ἄργος φέρειν.
ὀρέ. Τί δῆτα βούλει; τίνος ἀμηχανεῖς πέρι;
ἰφι. Ὅρκον δότω μοι, τάσδε πορθμεύσειν γραφὰς
Πρὸς Ἄργος, οἷσι βούλομαι πέμψαι φίλων.
ὀρέ. Ἦ κἀντιδώσεις τῷδε τοὺς αὐτοὺς λόγους;
ἰφι. Τί χρῆμα δράσειν; ἢ τί μὴ δράσειν; λέγε.
ὀρέ. Ἐκ γῆς ἀφήσειν μὴ θανόντα βαρβάρου;
ἰφι. Δίκαιον εἶπας. πῶς γὰρ ἀγγείλειεν ἄν;
ὀρέ. Ἦ καὶ τύραννος ταῦτα συγχωρήσεται;
ἰφι. Ναὶ, πείσω σφε, κἀυτὴ ναὸς εἰσβήσω σκάφος.
ὀρέ. Ὄμνυ. σὺ δ' ἔξαρχ' ὅρκον, ὅστις εὐσεβής.
πυλ. Δώσω. Ιφι. λέγειν χρὴ, τήνδε τοῖς ἐμοῖς φίλοις.
πυλ. Τοῖς σοῖς φίλοισι γράμματ' ἀποδώσω τάδε.
ἰφι. Κἀγώ σε σώσω κυανέας ἔξω πέτρας.
ὀρέ. Τίν' οὖν ἐπόμνυς τοῖς ὅρκιον θεῶν;
ἰφι. Ἄρτεμιν, ἐν ἧσπερ δώμασιν τιμὰς ἔχω.
πυλ. Ἐγὼ δ' ἄνακτά γ' οὐρανοῦ σεμνὸν Δία.
ἰφι. Εἰ δ' ἐκλιπὼν τὸν ὅρκον ἀδικοίης ἐμέ;
πυλ. Ἄνοστος εἴην. τί δὲ σὺ, μὴ σώσασά με;
ἰφι. Μή ποτε κατ' Ἄργος ζῶσ' ἴχνος θείην ποδός.
πυλ. Ἄκουε δὴ νῦν, ὃν παρήλθομεν λόγον.
ἰφι. Ἀλλ' αὖθις ἔσται καινὸς, ἢν καλῶς ἔχῃ.
πυλ. Ἐξαίρετόν μοι δὸς τόδ', ἤν τι ναῦς πάθῃ,
Χ' ἡ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
Ἀφανὴς γένηται, σῶμα δ' ἐκσώσω μόνον,
Τὸν ὅρκον εἶναι τόνδε μηκέτ' ἔμπεδον.
ἰφι. Ἀλλ' οἶσθ' ὃ δράσω; πολλὰ γὰρ πολλῶν κυρεῖ.

Τἀνόντα,

,, Sed ſæpe, ſæpe nimia calamitas [*fortunaq; placuerit*,
,, Magnas affert *rerũ* mutationes, quoties ita res tulerit,
e. Tace. Phœbi enim vaticinia nihil mihi proſunt.
Mulier enim hæc egreditur extra templum.
hi. Diſcedite vos, & apparate
Profecti, res intꝰ *neceſſarias* iis,q̃ p̃ſunt *victimarũ* cędi.
Literarum quidem hæc lachrymoſa volumina
Hoſpitibus adſunt. quæ vero præter hæc volo,
,, Audite: nemo calamitoſus ſui ſimilis eſt,
,, Quando cadit ex metu in confidentiam.
Ego igitur metuo ne reuerſus *ex hac* terra
Nihil curet meas literas,
Is qui debet hanc epiſtolam Argos perferre.
re. Quid igitur vis? qua de re angeris?
phi. Det iuſiurandum mihi ſe has literas portaturum
Argos, amicis, quibus *eas* mittere volo.
re. An tu quoq; viciſſim huic eaſdem *iuriſiurandi* rationes reddes? [*rare?* dic.
phi. Quam rem me facturam?aut non facturam *vis me iu-*
re. Te *hũc* nõ mortuũ: *at incolumẽ* dimiſſurã ex *hac* terra
phi. Recte dixiſti. qđo .n. *alioqui* poſſet nunciare *quæ volo?*
re. An & tyrannus iſta concedet? [ſcapham.
phi. Etiam, perſuadebo ei, & ipſã *ipſum* in nauis imponam
re. Iura tu,& incipe iuſiurandum quod *ſit* pium.
yl. Dabo. *Iph.* Dicere oportet, *hanc* epiſtolam meis amicis.
yl. Dabo has literas tuis amicis.
phi. Et ego te ſaluum dimittã extra Cyaneas petras. [*cem?*
re. Quẽ aũt Deorũ in his iuras *tui* iuramẽti teſtẽ, *ac vindi-*
phi. Dianã, in cuius templis *hos ſacrorum* honores habeo.
Pyl. Ego vero regem cæli Iouem venerandum.
Iphi. Si vero deſerto iureiurando feceris mihi iniuriam?
Pyl. Sim ſine reditu. quid vero tu, ſi me non ſeruaueris?
Iphi. Nunquam Argis viua veſtigium figam pedis.
Pyl. Audi vero rem,quam prætęriuimus. [*es dicturus*
Iphi. At rurſus habebitur *ſermo* nouus, ſi recte habeat *quod*
Pyl. Da mihi hanc exceptionẽ, ſi quid acciderit naui,
Et literæ in procellis cum *meis* rebus
Perierint,corpusque ſeruaro ſolum,
Vt non amplius hoc iuramentum ſit ratum.
Iphi. Scis quid ſim factura? multa enim multis accidunt.

Quæ ſunt ſcripta in epiſtolæ plicis,
Dicam tibi verbis, vt omnia poſſis nunciare amicis
Res enim tuta eſt. ſi enim ſeruaueris literas.
Tum ipſæ dicent tacentes, quæ ſunt inſcripta.
Si vero literæ in mari deletæ fuerint iſtæ,
Corpore ſeruato, hæc verba ſeruabis mihi.

Pyl. Recte dixiſti Deorum, meique cauſa.
Significa igitur cui oporteat has literas ferre
Argos, & quid dicere oporteat me audiuiſſe ex te.

Iphi. Nuncia Oreſti filio Agamemnonis.
In Aulide interfecta mittit has *literas*
Viua Iphigenia, q̃ illis qui iſtic ſunt nõ viuit amplius.

Ore. Vbi vero illa eſt? num mortua reuixit?

Iphi. Quam vides, illa eſt, ne verbis interturba me.
Deduc me Argos, frater, priusquam moriar,
Ex hac terra barbara, & abducito a deæ
Victimis, propter quas honorem hoſpitum interfici-
endorum habeo, [mus? *quo venimus?*

Ore. Pylade quid dicam *tibi?* vbinam exiſtentes *inuenti ſu-*

Iphi. Aut tuæ familiæ diras imprecabor, *teq; diris proſequar.*
Oreſtes, vt rurſus nomẽ bis audiens ſcias, quæ intelligã.

Pyl. Proh deos. *Iph.* Cur deos inuocas in meis *periculis?*

Pyl. Nihil: pertexe modo, aberraram enim cogitando.
Fortaſſe igitur interrogans te perueniã ad incredibilia.

Iphi. Dic *Oreſti* quod ceruam dans pro me dea
Diana, ſeruauit me, (quã *ceruã* mactauit meus pater,
Cum putaret ſe in nos acutum enſem immittere)
Et in hanc terram collocauit: hæ *ſunt meæ* literę,
Et hæc ſunt ſcripta in literis.

Pyl. O quæ me facili iureiurando obſtrinxiſti, [tempus.
Et quæ pulcherrime iuraſti, non multũ *me* continebo
Id.n. iuſiurãdũ, ꝙ iuraui, cõfirmabim⁹, *atq; p̃ſtabimus.*
Ecce fero tibi literas, & trado
Oreſte ab hac tua ſorore *ſcriptas.* [*non apertas,*

Ore. Accipio, omittens vero literarũ explicationes, i. *literis*
Voluptatem primũ non verbis: *ut factis præſens* capiã.
O chariſſima mihi ſoror perculſa *re ſubita,*
Quãuis *te* brachiis ãplectar, tamẽ nõ credo, vt ex *rei fide*
Capiã voluptatẽ, audiens admiranda mihi. [*habeo,*

Cho. Hoſpes, non recte deæ miniſtram

Pol-

Τὰ ἐνόντα, κἀγγεγραμμέν' ἐν δέλτου πτυχαῖς,
Λόγῳ φράσω σοι πάντ' ἀναγγεῖλαι φίλοις.
Ἐν ἀσφαλεῖ γάρ. ἢν μὲν ἐκσώσῃς γραφὴν,
Αὐτὴ φράσει σιγῶσα τἀγγεγραμμένα.
Ἢν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε,
Τὸ σῶμα σώσας, τοὺς λόγους σώσεις ἐμοί.
λ. Καλῶς ἔλεξας τῶν θεῶν, ἐμοῦ θ' ὕπερ.
Σήμαινε δ' ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν
Πρὸς Ἄργος, ὅ, τι τε χρὴ κλύοντα σοῦ λέγειν.
ι. Ἄγγελλ' Ὀρέστῃ παιδὶ τἀγαμέμνονος,
Ἡ 'ν Αὐλίδι σφαγεῖσ', ἐπιστέλλει τάδε
Ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι.
ρέ. Ποῦ δ' ἔστ' ἐκείνη; κατθανοῦσ' ἥκει πάλιν;
φι. Ἥδ', ἣν ὁρᾷς σύ. μὴ λόγοις ἔκπλησσέ με.
Κόμισαί μ' ἐς Ἄργος, ὦ σύναιμε, πρὶν θανεῖν,
Ἐκ βαρβάρου γῆς, καὶ μετάστησον θεᾶς
Σφαγίων, ἐφ' οἷσι ξενοκτόνους τιμὰς
ἔχω.
ρέ. Πυλάδη, τί λέξω; ποῦ ποτ' ὄνθ' ηὑρήμεθα;
φι. Ἢ σοῖς ἀραία δώμασιν γενήσομαι,
Ὀρέσθ', ἵν' αὖθις ὄνομα δὶς κλύων μάθῃς.
πυλ. Ὦ θεοί. ἰφι. τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς;
πυλ. Οὐδέν. πέραινε δ', ἐξέβην γὰρ ἄλλοσε.
Τάχ' οὖν ἐρωτῶν σ' εἰς ἄπιστ' ἀφίξομαι.
ἰφι. Λέγ', οὕνεκ' ἔλαφον ἀντιδοῦσά μου θεὰ
Ἄρτεμις, ἔσωσέ μ', ἣν ἔθυσ' ἐμὸς πατὴρ,
Δοκῶν ἐς ἡμᾶς ὀξὺ φάσγανον βαλεῖν.
Εἰς τήνδε δ' ᾤκισ' αἶαν. αἵδ' ἐπιστολαί.
Τάδ' ἐστὶν ἐν δέλτοισιν ἐγγεγραμμένα.
πυλ. Ὦ ῥᾳδίοις ὅρκοισι περιβαλοῦσά με,
Κάλλιστα δ' ὀμόσασ', οὐ πολὺν σχήσω χρόνον.
Τὸν δ' ὅρκον, ὃν κατώμοσ', ἐμπεδώσομεν.
Ἰδοὺ φέρω σοι δέλτον, ἀποδίδωμί τε
Ὀρέστα, τῆσδε σῆς κασιγνήτης πάρα.
ὀρέ. Δέξομαι. παρεὶς δὲ γραμμάτων διαπτυχὰς,
Τὴν ἡδονὴν πρῶτ', οὐ λόγοις αἱρήσομαι.
Ὦ φιλτάτη μοι σύγγον' ἐκπεπληγμένη,
Ὅμως ἀπίστῳ περιβαλὼν βραχίονι,
Εἰς τέρψιν εἶμι, πυθόμενος θαυμάστ' ἐμοί.
χο. Ξεῖν', οὐ δικαίως τῆς θεοῦ τὴν πρόσπολον

Χραίνεις ἀθίκτοις ἐμβαλὼν πέπλοις χέρα.
ὀρέ. Ὦ συγκασιγνήτη τε, κἀκ ταὐτοῦ πατρὸς
Ἀγαμέμνονος γεγῶσα. μή μ' ἀποστρέφου,
Ἔχουσ' ἀδελφὸν, οὐ δοκοῦσ' ἕξειν ποτέ.
ἰφι. Ἐγώ σ' ἀδελφὸν τὸν ἐμόν; οὐ παύσῃ λέγων;
Τὸ δ' Ἄργος αὐτοῦ μεστὸν, ἥ τε Ναυπλία.
ὀρέ. Οὐκ ἔστ' ἐκεῖ σὸς, ὦ τάλαινα, σύγγονος.
ἰφι. Ἀλλ' ἡ Λάκαινα Τυνδαρίς σ' ἐγείνατο;
ὀρέ. Πέλοπος τε παιδὶ παιδὸς ἐκπέφυκ' ἐγώ.
ἰφι. Τί φῄς; ἔχεις τι τῶνδέ μοι τεκμήριον;
ὀρέ. Ἔχω. πατρῴων ἐκ δόμων τι πυνθάνου.
ἰφι. Οὐκοῦν λέγειν μὲν χρή σε, μανθάνειν δ' ἐμέ.
ὀρέ. Λέγοιμ' ἄν. ἀκοῇ πρῶτον Ἠλέκτρας τάδε.
Ἀτρέως, Θυέστου τ' οἶσθα γενομένην ἔριν.
ἰφι. Ἤκουσα χρυσῆς ἀρνὸς ἦν νείκη πέρι.
ὀρέ. Ταῦτ' οὖν ὑφήνασ' οἶσθ' ἐν εὐπήνοις ὑφαῖς;
ἰφι. Ὦ φίλτατ', ἐγγὺς τῶν ἐμῶν κάμπτεις φρενῶν.
ὀρέ. Εἰκώ τ' ἐν ἱστοῖς ἡλίου μετάστασιν;
ἰφι. Ὕφηνα καὶ τόδ' εἶδος εὐμίτοις πλοκαῖς.
ὀρέ. Καὶ λοῦτρ' ἐς Αὖλιν μητρὸς ἀνεδέξω πάρα;
ἰφι. Οἶδ'. οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὤν μ' ἀφείλετο.
ὀρέ. Τί γὰρ κόμας σὰς μητρὶ δοῦσα σῇ φέρειν;
ἰφι. Μνημεῖά γ' ἀντὶ σώματος τοὐμοῦ τάφῳ.
ὀρέ. Ἃ δ' εἶδον αὐτὸς, τάδε φράσω τεκμήρια.
Πέλοπος παλαιὰν ἐν δόμοις λόγχην πατρὸς,
Ἣν χερσὶ πάλλων, παρθένον Πισάτιδα
Ἐκτήσαθ' Ἱπποδάμειαν, Οἰνόμαον κτανὼν,
Ἐν παρθενῶσι τοῖς σοῖς κεκρυμμένην.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ἰφι. Ὦ φίλτατ', οὐδὲν ἄλλο, φίλτατος γὰρ εἶ,
Ἔχω σ' Ὀρέστα τηλύγετον
Χθονὸς ἀπὸ πατρίδος,
Ἀργόθεν. ὦ φίλος.
ὀρέ. Κἀγώ σε τὴν θανοῦσαν, ὡς δοξάζεται.
Κατὰ δὲ δάκρυα, δάκρυα, κατὰ δὲ γόος ἅμα χαρᾷ
Τὸ σὸν νοτίζει βλέφαρον. ὡσαύτως δ' ἐμόν.
ἰφι. Τὸ δέ τι βρέφος ἔλιπον ἀγκάλαις
Νεαρὸν τροφοῦ,
Νεαρὸν ἐν δόμοις.
Ὦ κρεῖσσον, ἢ λόγοισιν, εὐτυχοῦσ' ἐμοῦ

ψυχή

Polluis, non tangendis circumiiciens peplis manum.
O ſoror, ac ex eodem patre
Agamemnone nata, ne me auerſeris,
Cũ teneas fratrẽ, quẽ nõ putaſti te habituram vnquã.
Ego ne te meũ fratrẽ *eſſe dicam?* nõ deſines *hoc* dicere?
Argos enim *eſt* ipſo plenum, & Nauplia *terra*.
Non illic eſt tuus frater, ô miſera.
Num Lacæna Tyndaris te peperit?
Et quidem ego ſum natus ex filio filii Pelopis.
Quid ais? habesne aliquod horum mihi ſignum *quod* [*oſtendas*.
Habeo? audi aliquid ex domo paterna.
i. Ergo te quidem dicere oportet, me vero audire.
e. Dicam. hoc primum Electra audi.
Atrei & Thyeſtis ortam noui diſſenſionem.
hi. Audiui, quæ erat de aureo vellere. [*ſericiſq; telis?*
re. Nonne igitur ſcis te hæc texuiſſe in pretioſis texturis,
hi. O chariſſime prope meum flectis animum.
re. Item in tela imaginem Solis deficientis?
hi. Texui hanc etiam imaginem ſubtilibus filis.
re. Et accepiſti a matre lauacrum ad Aulidem?
hi. Noui. nam nuptiæ abſtulerunt me non bonæ.
re. Cur vero dediſti comã tuã perferendã tuę matri?
hi. Monumentum pro meo corpore ad ſepulturam.
re. Ea vero, quæ ipſe vidi dicam ſigna certa.
Pelopis antiquam in ædibus haſtam patris,
Quam vibrans manibus, puellam Piſatidem
Adeptus eſt Hippodamiam, occiſo Oenomao,
In tuis virgineis conclauibus abſconditam *vidi*.

MONOSTROPHICA.

Iphi. O chariſſime, nihil enim *es* aliud, es enim chariſſimus:
Teneo te Oreſte procul hinc natum, *vnicum, & ſolum*,
Solo ex patrio *profectum*,
Argis, ô chariſſime.
Ore. Et ego te mortuam, vt *hominum* eſt opinio.
Lachrymæ autem, lachrymæ, & luctus cum gaudio
Tuos oculos æque ac meos humectant.
Iphi. Hunc vero reliqui infantem in brachiis
Recentem nutricis,
Recentem in ædibus.
O ſupra quam verbis dici poſſit, felix, mi

Anime, quid dicam?
Vltra miraculum,
Et vltra quam dici poteſt, hæc acciderunt.
Ore. In poſterum vnâ degentes erimus felices.
Iphi. Inſperatam voluptatem cepi, ô amicæ.
Metuo autem ne ex manibus mihi in aerem [condita
Auolās elabatur ô Cyclopei lares, *ô domus a Cyclopibus*
O chara patria Mycena,
Gratiam habeo *tibi* vitæ *mihi datæ cauſa*,
Gratiam habeo educationis *cauſa*,
Quia mihi fratrem iſtum *in* ædibus
Educaſti, *mihi totique familiæ* lumen.
Ore. Genere quidē beati ſumus, ſed ad calamitates *fortis*
O frater, noſtra infelix vita eſt comparata.
Iphi. Ego miſera, hoc experta ſum, quando enſem
Ad ceruicem poſuit mihi
Miſer pater.
Ore. Hei mihi. videor enim nō præſens te videre ibi.
Iphi. Sine Hymenæo, frater, Achillis
Jn tentorium luporum
Fraudulentum quum ducebar.
Et circa aram erant
Lachrymæ, & luctus.
Ore. Heu heu lauacra, *quæ* ibi *erant*.
Iphi. Deploraui & ego audaciam, quam pater auſus eſt,
Indignum patre, indignum patre
Fatum nacta ſum.
Ore. Alia vero ex aliis ſequuntur.
Si vero tuum fratrem, ô miſera, *cadens* perdidiſſes
[illegible] Numinis alicuius fato,
[illegible] O miſeram *tunc te futuram* diri facinoris *ream*.
Iphi. Atrocia auſa ſum, atrocia auſa ſum,
Hei mihi frater.
Quam vix effugiſti
Iniuſtam necem, meis
Interfectus manibus?
Poſt hæc vero quis *malorum* finis *erit*?
Quæ fortuna mihi *quod cupio facere* concedet?
Quam tibi *ſalutarem* rationem inueniens,
Rurſum ab *hac* vrbe,

Digitized by Google

Ψυχὰ, τί φῶ;
Θαυμάτων πέρα,
Καὶ λόγου πρόσω, τάδ' ἐπέβα.
ὀ. Τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα.
ἰ. Ἄτοπον ἡδονὰν ἔλαβον, ὦ φίλαι.
Δέδοικα δ' ἐκ χερῶν με μὴ πρὸς αἰθέρα
Ἀμπτάμενος φύγῃ. ὦ κυκλωπίδες ἑστίαι,
Ὦ πατρὶς Μυκήνα φίλα,
Χάριν ἔχω ζωᾶς,
Χάριν ἔχω τροφᾶς,
Ὅτι μοι συνομαίμονα τόνδε δόμοις
Ἐξεθρέψω φάος.
ὀρέ. Γένει μὲν εὐτυχοῦμεν, εἰς δὲ συμφοράς,
Ὦ σύγγον', ἡμῶν δυστυχὴς ἔφυ βίος;
ἰφι. Ἐγὼ μέλεος, οἶδ' ὅτι φάσγανον
Δέρᾳ θῆκέ μοι
Μελεόφρων πατήρ.
ὀρέ. Οἴμοι. δοκῶ γὰρ οὐ παρών σ' ὁρᾶν ἐκεῖ.
ἰφι. Ἀνυμέναιος, σύγγον', Ἀχιλλέως
Εἰς κλισίαν λέκτρων
Δολίαν ὅτ' ἀγόμαν.
Παρὰ δὲ βωμὸν ἦν
Δάκρυα, καὶ γόοι.
ὀρέ. Φεῦ, φεῦ χερνίβων ἐκεῖ.
ἰφι. Ὤιμωξα κἀγὼ τόλμαν, ἣν ἔτλη πατήρ.
Ἀπάτορ', ἀπάτορα
Πότμον ἔλαχον.
ὀρέ. Ἄλλα δ' ἐξ ἄλλων κυρεῖ,
Εἰ σύν γ' ἀδελφὸν ὦ τάλαιν' ἀπώλεσας
Δαίμονος τύχα τινός.
Ὦ μελέα δεινᾶς τόλμας.
ἰφι. Δείν' ἔτλαν, δείν' ἔτλαν,
Ὤι μοι σύγγονε.
Παρὰ δ' ὀλίγον ἀπέφυγες
Ὄλεθρον ἀνόσιον ἐξ ἐμᾶν
Δαϊχθεὶς χερῶν. ἁ
Δ' ἐπ' αὐτοῖσι τίς τελευτά;
Τίς τύχα μοι συγχωρήσει;
Τίνα σοι πόρον εὑρομένα,
Πάλιν ἀπὸ πόλεως,

Digitized by Google

Ἀπὸ φόνου πέμψω
Πατρίδ' ἐς Ἀργείαν,
Πρὶν ἐπὶ ξίφος
Αἵματι σῷ πελάσαι;
Τόδε τόδε σόν, ὦ μελέα ψυχά,
Χρέος, ἀνευρίσκειν,
Πότερον κατὰ χέρσον, οὐχὶ ναΐ,
Ἀλλὰ ποδῶν ῥιπᾷ.
Θανάτῳ πελάσεις ἄρα
Βάρβαρα φῦλα,
Καὶ διόδους ἀνόδους στείχων.
Διὰ κυανέας
Μὴν στενοπόρους
Πέτρας, μακρὰ κέλευθα
Ναΐοις δρασμοῖς.
Τάλαινα τάλαινα.
Τίς ἂν οὖν τάδ' ἂν,
Ἢ θεὸς, ἢ βροτὸς, ἤ-
τι τῶν ἀδοκήτων
Πόρον ἄπορον ἐξανύσας,
Δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν
Φανεῖ κακῶν ἔκλυσιν;

ΙΑΜΒΟΙ.

Πυ. Ἐν τοῖσι θαυμαστοῖσι, καὶ μύθων πέρα,
Τάδ' εἶδον αὐτὴ, κοὐ κλύουσ' ἀπαγγελῶ.
Τὸ μὲν φίλους ἐλθόντας εἰς ὄψιν φίλων,
Ὀρέστα, χειρῶν περιβολὰς εἰκὸς λαβεῖν.
Λήξαντα δ' οἴκτων, κἀπ' ἐκεῖν' ἐλθεῖν χρεών,
Ὅπως τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας
Λαβόντες, ἐκ γῆς βησόμεσθα βαρβάρου.
„ Σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας
„ τύχης,
„ Καιρὸν λαβόντας, ἡδονὰς ἄλλας
„ λαβεῖν.
Ὀρέ. Καλῶς ἔλεξας. τῇ τύχῃ δ' οἶμαι μέλειν
Τοῦδε ξὺν ἡμῖν. ἢν δέ τις πρόθυμος ᾖ,
Σθένειν τὸ θεῖον μᾶλλον εἰκότως
ἔχει.
Ἰφι. Οὐδέν μ' ἐπίσχει γ', οὐδ' ἀποστήσει λόγου,
Πρῶτον πυθέσθαι, τίνα ποτ' Ἠλέκτρα πότμον

Εἴλη-

Et ab *hac* nece, remittam *te*
Patriam in Argiuam,
Priuſquam enſis in
Sanguine tuo luctetur?
Hoc,hoc tuum *eſt*,ô miſera anima,
Negotium,inuenire,*atq; ſtatuere*,
Vtrum terra, non naui,
Sed pedum impetu,
Morti mox ſis appropinquaturus,*mortiſq; periculis ca-*
Per barbaras gentes, [*put obiecturus*,
Et *per* tranſitus inuios vadens.
Per Cyaneos
Enim anguſto meatu præditos
Scopulos,*eſt* longum iter
Nauali fugæ.
Miſera,miſera *ſum ego*.
Quis igitur hæc *impedimenta tollet? quis*
Aut Deus, aut mortalis, aut
Aliquid inopinatorũ, *vel, aut caſus aliquis inſperatus*,
Viam impeditam expediens,
Nobis duobus ſolis Atridis
Oſtendet finem malorum?

Chorus.

In hoc admirando caſu, quiq; omnē ſermonē ſuperat,
Hæc ipſa vidi, & audiens nunciabo.
Amicos igitur,qui venerunt in cōſpectum amicorum,
O Oreſtes,æquum *eſt* ſe manibus mutuo complecti.
Oportet vero *nunc* omiſſo luctu, & ad illud venire, *&*
Quomodo inclytum nomen ſalutis [*ſpectare*,
Adepti, ex *hoc* agro barbaro diſcedemus.
» Sapientum enim virorum hæc *ſunt*, non egreſſos for-
» tuna, *nec ea neglecta*,
» Occaſionem nactos,voluptates alias percipere, *inque*
» *re bene geſta frui*.

Ore. Recte dixiſti. Fortunæ vero puto curæ fore
Hoc nobiſcum.ſi quid enim *hac nobis* propitia ſit,
Conſentaneum eſt numen diuinum *auxiliis humanis*
eſſe potentius.

Iphi. Nihil me *iam* cohibet, nec *quidquã* auertet a colloquio,
Quominus primum quærã, quodnam Electra fatum

Sor-

Sortita ſit vitę grata enim erũt mihi omnia. *quæ dices.*
Ore. Cum hoc *nupta* habitat, vitam habens beatam.
Iphi. Hic vero cuias, & quo patre natus eſt?
Ore. Strophius Phocenſis, huius vocatur pater.
Iphi. Hic *igitur ob Electram* Atrei filiam eſt mihi cognatus?
Ore. Conſobrinus certe *noſter eſt*, ſolus mihi certus amicus.
Iphi. Nondum erat iſte, quando pater me mactauit?
Ore. Non erat: aliquandiu enim Strophius fuit ſine liberis.
Iphi. Salue mihi marite meæ ſororis.
Ore. Et meus ſeruator *eſt*, non tantum cognatus.
Iphi. Quomodo vero ſuſtinuiſti iſta atrocia facta de matre?
Ore. Taceamus de illis: *feci* vt vlciſcerer necẽ mei patris
Iphi. Quæ vero *fuit* cauſa, quod occidit maritum?
Ore. Sinas hęc matris *facinora*. nõ.n tibi *eſt* honeſtũ audire.
Iphi. Taceo. Nunc igitur Argos in te reſpicit:
Ore. Menelaus tenet imperium. *nos* exules ſumus ex patria.
Iphi. An igitur patruus iniuria affecit familiã *iã* afflictã?
Ore. Non, ſed terror Erinnyum exturbat me ex terra.
Iphi. Illud igitur eſt quod in littore tibi accidit: nam & illic
nunciatum eſt te inſanire.
Ore. Sumus conſpecti non nunc primum in hac miſeria.
Iphi. Intelligo, propter matrem agitauerũt *te Erinnyes* Deæ.
Ore. *Ita* vt cruenta fræna iniecerint mihi.
Iphi. Cur vero in hanc terram intuliſti pedem?
Ore. Veni iuſſus oraculo Phœbi.
Iphi. Quam rem facturus? dicendam, an tacendam?
Ore. Dicam. Initium autẽ hoc mihi multorum laborũ *eſt*:
Poſtquam hæc mala matris, quæ *iam* tacemus,
In *noſtras* manꝰ venerũt, *manibusq; noſtris patrata ſu-*
Pulſi ſumꝰ exules. vnde me pedib. [*errãt*, incurſib. Eryn.
Athenas petere iuſſit Phœbus,
Vt cauſam dicerem apud non nominandas Deas.
Eſt enim *ibi* ſanctũ iudicium, quod olim Marti
Iupiter conſtituit ob quandã cõtaminationẽ manuũ.
Profectum aũt illuc, primũ quidem nullus hoſpitum
Vltro *me* recepit, vt diis inuiſum.
Qui vero pudore adducti rationẽ aliq̃ mei habuerunt,
hoſpitalia munera menſę mihi ſoli aſſignatæ
Præbuerunt *in* ædibus, manẽtes ſub eodẽ tecto.
Silentium autem fecit me omnis colloquii expertẽ vt

A cibi,

Digitized by Google

Εἴληχε βιότου. φίλα γὰρ ἔστι πάντ' ἐμοί.
ρέ. Τῷδε ξυνοικεῖ, βίον ἔχουσ' εὐδαίμονα.
φι. Οὗτος δὲ ποδαπὸς, καὶ τίνος πέφυκε παῖς;
ρέ. Στρόφιος ὁ Φωκεὺς, τοῦδε κλῄζεται πατήρ.
φι. Ὅδ' ἐστι γ' Ἀτρέως θυγατρὸς, ὁμογενὴς ἐμός.
ὀρέ. Ἀνεψιός γε, μόνος ἐμοὶ σαφὴς φίλος.
ἰφι. Οὐκ ἦν τόθ' οὗτος, ὅτε πατὴρ ἔκτεινέ με;
ὀρέ. Οὐκ ἦν. χρόνον γὰρ Στρόφιος ἦν ἄπαις τινά.
ἰφι. Χαῖρ' ὦ πόσις μοι τῆς ἐμῆς ὁμοσπόρου.
ὀρέ. Κἀμός γε σωτὴρ, οὐχὶ συγγενὴς μόνον.
ἰφι. Τὰ δεινὰ δ' ἔργα πῶς ἔτλης μητρὸς πέρι;
ὀρέ. Σιγῶμεν αὐτά, πατρὶ τιμωρῶν ἐμῷ.
ἰφι. Ἡ δ' αἰτία τίς, ἀνθ' ὅτου κτείνει πόσιν;
ὀρέ. Ἔα τὰ μητρός. οὐδὲ σοὶ κλύειν καλόν.
ἰφι. Σιγῶ. τὸ δ' Ἄργος πρὸς σὲ νῦν ἀποβλέπει.
ὀρέ. Μενέλαος ἄρχει. φυγάδες ἐσμὲν ἐκ πάτρας.
ἰφι. Ἦπου νοσοῦντας θεῖος ὕβρισεν δόμους;
ὀρέ. Οὐκ, ἀλλ' Ἐρινύων δεῖμά μ' ἐκβάλλει χθονός.
ἰφι. Ταῦτ' ἆρ' ἐπ' ἀκταῖς, κἀνθάδ' ἠγγέλης
μανείς.
ὀρέ. Ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.
ἰφι. Ἔγνωκα, μητρὸς οὕνεκ' ἠλάστρουν θεαί.
ὀρέ. Ὥσθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί.
ἰφι. Τί γάρ ποτ' εἰς γῆν τήνδ' ἐπόρθμευσας πόδα;
ὀρέ. Φοίβου κελευσθεὶς θεσφάτοις, ἀφικόμην.
ἰφι. Τί χρῆμα δρᾶσαι; ῥητὸν, ἢ σιγώμενον;
ὀρέ. Λέγοιμ' ἄν. ἀρχαὶ δ' αἵδε μοι πολλῶν πόνων.
Ἐπεὶ τὰ μητρὸς ταῦθ', ἃ σιγῶμεν, κακὰ
Εἰς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐρινύων
Ἠλαυνόμεσθα φυγάδες. ἔνθεν μοι πόδα
Εἰς τὰς Ἀθήνας δή γ' ἔπεμψε Λοξίας,
Δίκην παρασχεῖν ταῖς ἀνωνύμοις θεαῖς.
Ἔστιν γὰρ ὁσία ψῆφος, ἣν Ἄρει ποτὲ
Ζεὺς εἵσατ' ἔκ του δὴ χερῶν μιάσματος.
Ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μὲν οὐδεὶς ξένων
Ἑκὼν ἐδέξαθ', ὡς θεοῖς στυγούμενον.
Οἳ δ' ἔσχον αἰδῶ, ξένια μονοτράπεζά
μοι
Παρέσχον οἴκων, ὄντες ἐν ταὐτῷ στέγει.
Σιγῇ δ' ἐτεκτήνατ' ἀπόφθεγκτόν μ', ὅπως

Δαι-

Δαιτὸς γενοίμην, πώματός τ' αὐτοῦ δίχα
Εἰς δ' ἄγγος ἴδιον ἴσον ἅπασι βακχίου
Μέτρημα πληρώσαντες, εἶχον ἡδονήν.
Κἀγὼ γ' ἐξελέγξαι μὲν ξένους οὐκ ἠξίουν,
Ἤλγουν δὲ σιγῇ, κἀδόκουν οὐκ εἰδέναι,
Μέγα στενάζων, οὕνεκ' ἦν μητρὸς φονεύς.
Κλύω δ' Ἀθηναίοισι τἀμὰ δυστυχῆ
Τελετὴν γενέσθαι, κἄτι τὸν νόμον μένειν,
Χοῆρες ἄγγος Παλλάδος τιμᾶν λεών.
Ὡς δ' εἰς Ἄρειον ὄχθον ἧκον, ἐς δίκην
Τ' ἔστην, ἐγὼ μὲν θάτερον λαβὼν βάθρον,
Τὸ δ' ἄλλο πρέσβειρ' ἥπερ ἦν Ἐριννύων,
Εἰπὼν, ἀκούσας θ' αἵματος μητρὸς πέρι,
Φοῖβός μ' ἔσωσε, μαρτυρῶν. ἴσας δέ μοι
Ψήφους διηρίθμησε Παλλὰς ὠλένῃ,
Νικῶν δ' ἀπῆρα φόνια πειρατήρια.
Ὅσαι μὲν οὖν ἕζοντο πεισθεῖσαι δίκῃ,
Ψῆφον παρ' αὐτὴν ἱερὸν ὡρίσαντ' ἔχειν.
Ὅσαι δ' Ἐριννύων οὐκ ἐπείσθησαν νόμῳ,
Δρόμοις ἀνιδρύτοισιν ἠλάστρουν μ' ἀεὶ,
Ἕως ἐς ἁγνὸν ἦλθον αὖ Φοίβου πέδον,
Καὶ πρόσθεν ἀδύτων ἐκταθεὶς, νῆστις βορᾶς,
Ἐπώμοσ' αὐτοῦ βίον ἀπορρήξειν θανὼν,
Εἰ μή με σώσει Φοῖβος, ὅς μ' ἀπώλεσεν.
Ἐντεῦθεν αὐδὴν τρίποδος ἐκ χρυσοῦ λαβὼν,
Φοῖβός μ' ἔπεμψε δεῦρο, διοπετὲς λαβεῖν
Ἄγαλμ', Ἀθηνῶν τ' ἐγκαθιδρῦσαι χθονί.
Ἀλλ' ἥνπερ ἡμῖν ὥρισεν σωτηρίαν,
Σύμπραξον. ἢν γὰρ θεᾶς κατάσχωμεν βρέτας,
Μανιῶν τε λήξω, καί σε πολυκώπῳ σκάφει
Στείλας, Μυκήναις ἐγκαταστήσω πάλιν.
Ἀλλ' ὦ φίλη γ', ὦ κασίγνητον κάρα,
Σῶσον πατρῷον οἶκον, ἔκσωσον δέ με,
Ὡς τ' ἄμ' ὄλωλε πάντα, καὶ τὰ Πελοπιδῶν,
Οὐράνιον εἰ μὴ ληψόμεσθα θεᾶς βρέτας.

Ιφ.

A cibi, potuſque communione cum cæteris habenda ſemotus illic eſſem.
In vas vero proprium æqualem omnibus Bacchici *liquoris*
Menſuram plenam infundentes, habebant voluptatem, *& indulgebant genio.*
Ego vero reprehendere quidē hoſpites nō audebā.
Dolebam vero tacite, & ſimulabam *me hac* nō videre,
Valde ingemiſcens, quod eram matris interfector.
Audio autem Athenienſibus meas calamitates
Feſti inſtituendi cauſam fuiſſe, & adhuc morem hunc manere,
Libatorium vas vt Palladis populus honoret.
Poſtquam autē veni in tumulum Martis, & in iudicio
Steti, ego quidem occupaui alteram ſedem,
Alteram vero natu maxima Erinnydum.
Dixi autem ego, audiuitque cauſam parricidii
Phœbus, ac teſtificās ſeruauit me, paria vero mihi
Suffragia numerauit Pallas manu.
Atque victor abii ex iudicio parricidii.
Quæcūq; igitur *Furiarū* ſedebāt, acquieſcētes iudicio
Suffragia prope ipſa *me* pro *ſancto*, *&* puro ſtatuerunt habere.
Quæcunque vero Furiarum *huic* legi, *iudicioq;* non paruerunt,
Curſibus irrequietis, *vagisq;* me ſemper agitauerunt,
Donec rurſus redii ad Phœbi ſanctum ſolum,
Et ante adyta iacens extenſus, ieiunus a cibo,
Iuraui me illic abrupturum eſſe mihi vitam morte *voluntaria*,
Niſi me ſeruaret Phœbus, qui me perdiderat.
Ibi ex aureo tripode vocem emittens,
Phœbus miſit me huc, vt delapſam cœlo auferrem
Statuam, & collocarem in terra Athenienſi.
Quare quam *Deus* conſtituit ſalutem nobis, *hanc*
Nobiſcum para Si enim Deæ potiamur ſtatua,
Inſaniaque liberabor, & te in multiremi ſcapha
Auectam, Mycenis iterum collocabo.
Quamobrem ô chara, ô ſororium caput,
Serua paternam domum, meque conſerua,
Quia ſimul oīa perierunt & totū genus Pelopidarū
Cæleſtem niſi captam abſtulerimus Deæ ſtatuam.

Cho.

Digitized by Google

Cho. Grauis quædam Deorum ira efferbuit
Aduerſus ſemen Tantali quod ſemper eſt in ærumnis
Iphi. Hanc quidē voluntatem habui priuſquā huc venires,
Vt eſſem Argis,& tuo conſpectu fruerer,ô frater.
Volo vero *nunc* eadē,quę tu,teq; laboribus *his cupio* li-
Laborantēq; domum,interfectori meo non [berare,
Infenſa,paternam erigere volo,
A cæde enim tua manum abſtinebimus,
Seruaboq; domū,Deā vero q̃do latere *fallereq;* poſſim,
Metuo,& tyrannum,quando vacuam
Sedem ſaxeam ſtatuæ inuenerit. [tio?
Quomodo. n. *tūc* nō moriar? quænā erit mihi excuſa-
Verum ſi ſimul hæc omnia vnum fiant,
Et ſtatuā auferas, & me in firmā puppim habēte naui
Abducas,hoc periculoſum facinus erit præclarum.
Verum ego quidem ſeparata ab hoc,peribo,
Tu vero tua re bene conſtituta redibis *domū*. [dū ſit,
Ego tamē nō fugio vllū *periculū* neq; ſi mihi morien-
„ Modo te ſeruē, nō profecto. Vir enim in familia
„ Mortuus,*eſt* deſiderabilis. Mulieris vero *vero ſunt* in-
Ore. Nunquā fiam & tuus & matris interfector: [firmæ.
Satis eſt illius ſanguis *a me effuſus*. cōmuni vero ſenſu
Et viuere volo,& mortuus parē *fortē* nāciſci. [tecum
Abducam enim te (niſi & ipſe hîc occumbam)
Domum,vel tecum mortuus *hic* manebo.
Audi autem ſententiam *meam*,ſi moleſtū hoc eſſet
Dianæ, quomodo Phœbus iuſſiſſet
Me deferre ſtatuam deæ in vrbem Palladis,
Et tuam intueri faciem? omnia enim [compotem.
Hæc in vnū collecta perpendens, ſpero me reditus fore
Iphi. Quomodo poteſt ergo fieri vt non interficiamur,
Et conſequamur ea quæ volumus? ſic enim cogita
Reditum ad domum. Voluntas quidem adeſt
Ore. An tyrannū interficere poſſemus? [aduenis cędantur.
Iphi. Periculoſū *eſt* hoc, ꝙ dixiſti, vt hoſpites,*ac indigenis* ab
Ore. Verum ſi hoc fuerit ſaluti mihi & tibi, periclitandum.
Iphi. Nō poſſem ego, magnitudinem vero *tui* animi laudo.
Ore. Quid vero ſi occultes me clam in hoc templo?
Iphi. Vt *nimirum* tenebras nacti euadamus incolumes.
Ore. Furum enim *eſt* nox, veritatis vero lux.

Iphi.

Digitized by Google

Δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσεν
Τὸ Ταντάλειον σπέρμα. διὰ πόνων τ' ἄγει.
ἰφι. Τὸ μὲν πρόθυμον, πρίν σε δεῦρ' ἐλθεῖν, ἔχω,
Ἄργει γενέσθαι, καὶ σὲ σύγγον' εἰσιδεῖν.
Θέλω δ' ἅπερ σύ, σέ τε μεταστῆσαι πόνων.
Νοσοῦντά τ' οἶκον, οὐχὶ τῷ κτανοῦντί με
Θυμουμένη. πατρῷον ὀρθῶσαι θέλω.
Σφαγῆς τε γὰρ σῆς χεῖρ' ἀπαλλάξαιμεν ἄν,
Σώσαιμι δ' οἴκους. τὴν θεὸν δ' ὅπως λάθω,
Δέδοικα, καὶ τύραννον, ἡνίκ' ἂν κενὰς
Κρηπῖδας εὕρῃ λαΐνας ἀγάλματος.
Πῶς δ' οὐ θανοῦμαι; τίς γ' ἔνεστί μοι λόγος;
Ἀλλ' εἰ μὲν ἕν τι τοῦθ' ὁμοῦ γενήσεται,
Ἄγαλμά τ' οἴσεις, κἀμ' ἐπ' εὐπρύμνου νεὼς
Ἄξεις, τὸ κινδύνευμα γίνεται καλόν.
Τούτου δὲ χωρισθεῖσ', ἐγὼ μὲν ὄλλυμαι,
Σὺ δ' ἂν τὸ σαυτοῦ θέμενος εὖ, νόστου τύχοις.
Οὐ μήν τι φεύγω γ', οὐδ' εἴ με θανεῖν χρεών,
„ Σώσασά σ', οὐ γάρ, ἀλλ' ἀνὴρ μὲν ἐκ δόμων
„ Θανὼν, ποθεινός· τὰ δὲ γυναικὸς, ἀσθενῆ.
ὀρέ. Οὐκ ἂν γενοίμην τε, καὶ σοῦ μητρὸς φονεύς.
Ἅλις τὸ κείνης αἷμα. κοινόφρων δέ σοι
Καὶ ζῆν θέλοιμ' ἄν, καὶ θανὼν λαχεῖν ἴσον.
Ἥξω δέ γ', ἤνπερ κ' αὐτὸς ἐνταυθοῖ πέσω,
Πρὸς οἶκον, εἰ σοῦ κατθανὼν μενῶ μέτα.
Γνώμης δ' ἄκουσον. εἰ πρόσαντες ἦν τόδε
Ἀρτέμιδι, πῶς ἂν Λοξίας ἐθέσπισεν
Κομίσαι μ' ἄγαλμα θεᾶς, πόλισμ' εἰς Παλλάδος,
Καὶ σὸν πρόσωπον εἰσιδεῖν; ἅπαντα γὰρ
Συνθεὶς τάδ' εἰς ἕν, νόστον ἐλπίζω λαβεῖν.
ἰφι. Πῶς οὖν γένοιτ' ἄν, ὥστε μήθ' ἡμᾶς θανεῖν,
Λαβεῖν θ' ἃ βουλόμεσθα; τῇδε γὰρ νοσεῖ
Νόστος πρὸς οἴκους. ἡ δὲ βούλησις, πάρα.
ὀρέ. Ἆρ' ἂν τύραννον διολέσαι δυναίμεθ' ἄν;
ἰφι. Δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας.
ὀρέ. Ἀλλ' εἴ σε σώσει, κἀμέ, κινδυνευτέον.
ἰφι. Οὐκ ἂν δυναίμην. τὸ δὲ πρόθυμον ᾔνεσα.
ὀρέ. Τί δ' εἴ με ναῷ τῷδε κρύψειας λάθρᾳ;
ἰφι. Ὡς δὴ σκότος λαβόντες ἐξωθεῖμεν ἄν.
ὀρέ. Κλεπτῶν γὰρ ἡ νύξ, τῆς δ' ἀληθείας τὸ φῶς.

ἰφι.

ἰφι. Εἴσ' ἔνδον ἱεροῦ φύλακες, οὓς οὐ λήσομεν.
ὀρέ. Οἴμοι. διεφθάρμεσθα. πῶς σωθεῖμεν ἄν;
ἰφι. Ἔχειν δοκῶ μοι καινὸν ἐξεύρημά τι.
ὀρέ. Ποῖον τι; δόξης μετάδος, ὡς κἀγὼ μάθω.
ἰφι. Ταῖς σαῖς ἀνοίαις χρήσομαι σοφίσμασιν.
ὀρέ. Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.
ἰφι. Φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.
ὀρέ. Χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.
ἰφι. Ὡς οὐ θέμις σε λέξομεν θύειν θεᾷ.
ὀρέ. Τίν' αἰτίαν ἔχουσ', ὑποπτεύω τι γάρ.
ἰφι. Οὐ καθαρὸν ὄντα. τὸ δ' ὅσιον δώσω φόνῳ.
ὀρέ. Τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ' ἁλίσκεται;
ἰφι. Πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.
ὀρέ. Ἔστ' ἐν δόμοισι βρέτας, ἐφ' ᾧ πεπλεύκαμεν;
ἰφι. Κἀκεῖνο νίψαι σοῦ θιγόντος ὡς ἐρῶ.
ὀρέ. Ποῖ δῆτα, πόντου νοτερὸν εἶπ' ἔκβολον;
ἰφι. Οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.
ὀρέ. Σοὶ δὴ τίς ἄλλος ἐν χεροῖν οἴσει βρέτας;
ἰφι. Ἐγώ. θιγεῖν γὰρ ὅσιον ἔστ' ἐμοὶ μόνῃ.
ὀρέ. Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται φόνου;
ἰφι. Ταὐτὸν χεροῖν σοὶ λέξεται μίασμ' ἔχων.
ὀρέ. Λάθρᾳ δ' ἄνακτος, ἢ εἰδότος δράσεις τάδε;
ἰφι. Πείσασα μύθοις. οὐ γὰρ ἂν λάθοιμί γε.
ὀρέ. Καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα.
ἰφι. Σοὶ δὴ μέλειν χρὴ τἄλλ', ὅπως ἕξει καλῶς.
ὀρέ. Ἑνὸς μόνου δεῖ, τάσδε συγκρύψαι τάδε.
Ἀλλ' ἀντίαζε, καὶ λόγους πειστηρίους
,, Εὕρισκ'. Ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.
Τὰ δ' ἄλλ' ἴσως ἅπαντα συμβαίη καλῶς.
ἰφι. Ὦ φίλταται γυναῖκες, ὡς ὑμᾶς βλέπω,
Καὶ τἄμ' ἐν ὑμῖν ἐστιν. ἢ καλῶς ἔχειν,
Ἢ μηδὲν εἶναι, καὶ στερηθῆναι πάτρας,
Φίλου τ' ἀδελφοῦ, φιλτάτης τε συγγόνου.
Καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ' ἀρχέτω.
,, Γυναῖκές ἐσμεν φιλόφρον ἀλλήλαις γένος,
,, Σῴζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται.
Σιγήσαθ' ἡμῖν, καὶ συνεκπονήσατε
,, Φυγάς. Καλόν τι γλῶσσ', ὅτῳ πίστις παρῇ.
Ὁρᾶτε δ', ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους,
Ἢ γῆς πατρῴας νόστον, ἢ θανεῖν ἔχει.

Σοφὴ

ɔi. Sunt intus ſacri cuſtodes, quos non fallemus.
-e. Hei mihi periimus. quomodo *igitur* ſeruabimur?
hi. Videor mihi habere quoddam nouum inuentum.
re. Quodnam? *mihi tuũ* cõſiliũ impertias, vt & ego ſciam.
hi. Vtar tuo furore ad fallendum.
-e. Mulieres certe *ſunt* ingenioſæ ad excogitãdas technas.
hi. Dicam te veniſſe matricidam ex Argo.
re. Vtere meis malis, ſi vtile eſt.
hi. Quod *aũt tales* non fas ſit ſacrificare deæ, dicam.
re. Quam cauſam prætendens? ſuſpicor enim aliquid.
hi. Nõ purum eſſe *te dicam*. purũ vero *factũ* dedam neci.
re. Quomodo vero *ſic* Deæ ſtatua magis capietur?
phi. Maris te fontibus luſtrare volo.
ɔre. Eſtne intus ſtatua propter quam huc venimus?
phi. Illud etiã *dicã, ſtatuã* cupere ſe lauari vt a te contrectatã *ac pollutam*.
ɔre. Vbi nam? maris auſtrale dic ad oſtiũ.
phi. *Ibi* vbi nauis tua ſtat ligata lineis vinculis, *i funibus*.
ɔre. An vero tecum aliquis alius manibus geſtabit ſtatuã?
phi. Ego, quia mihi ſoli licet attingere.
ɔre. Pylades vero in quo loco huius cædis a nobis ponetur?
phi. Dicetur eodem, quo tu, manuũ piaculo pollutus eſſe.
Ore. Facieſne hæc clam, an ſciente rege?
Iphi. Perſuaſo verbis. non enim poſſem eum latere.
Ore. Atqui facilis curſus nauis adeſt.
Iphi. Reliqua vero tu curabis vt recte fiant.
Ore. Vna re adhuc opus eſt, vt iſtæ hæc occultent.
Quamobrem obteſtare eas, & ſermones perſuadentes
„ Excogita. habet enim vim ad commiſeratione͂ mulier.
Reliqua vero, vt ſpero, bene ſuccedent.
Iphi. O chariſſimæ mulieres, ad vos reſpicio.
Meæ enim res penes vos ſitæ ſunt, vt vel bene ſe habeant,
Vel nihil ſint, & priuer patria,
Et fratre charo, & cognato chariſſimo.
Atque hoc quidem primum initium ſermonis.
„ *Nos* mulieres ſumꝰ *hũm* genus addictũ amori mutuo.
„ Et ad communes res ſeruandas *ſumus* fidiſſimæ.
Tacete nobiſcum, & adiuuate noſtram
„ *Hanc* fugam. egregia res eſt lingua, cui fides adeſt.
Videte autem quomodo tres chariſſimos vna fortuna
Poſſit aut reducere in patriam, aut occidere.

Ego .n. ſeruata, vt tu quoq; particeps ſis noſtræ fortun
Saluum te reducam in Græciam. Quare te p dextram
Et te, & te, te vero precor per charas genas.
Et genua, & per ea quæ chariſſima *habetis* in domo,
Per matrem, & patrem, & liberos, ſi quibus ſunt.
Quid dicitis? quæ veſtrum affirmat, aut quæ non vult
Dicere hæc? nõ approbantibus enim vobis ea quæ di-
Perii & ego & miſer frater. [ueris,

Cho. Sis bono animo chara domina, & cura tantum vt ſi-
Quantum enim ad nos pertinet, omnia tacebimus
(Sciat magnus Iupiter) de omnib. illis, quæ mandaſti.

Iphi. Bene ſit vobis propter hunc ſermonem, & felices ſitis
Tuum iam erit munus, ac tuum, ingredi in domum.
Quia ſtatim rex huius agri veniet
Sacrificium exploraturus, an factum ſit hoſpitum.
O veneranda, quæ me in Aulidis ſinu
Serua liberaſti a patris interfectrice manu,
Serua me nunc etiam, & iſtos, aut Apollinis
Nõ amplius hominibus propter te *erit* verũ os.
Verum propitia exeas ex hac barbara terra petens
Athenas: non enim decet te hîc
Habitare, cum liceat tibi vrbem incolere beatam.

ANTISTROPHICA.

Strophe I.

Ch. 1 O Auis, quæ circa ſaxeos
2 Ponti ſcopulos, Halcyon,
3 Lugubre fatum canis,
4 Voce, quæ a prudentibus intelligi facile poteſt,
5 Quia maritum ſemper reſonantibus luges cantibus.
6 Ego tibi comparor
7 Luctu, ſine ala ales,
8 Deſiderans Græcorum coetus,
9 Deſiderans Dianam Lucinam,
10 Quæ habitat ad Cynthium tumulum,
11 Et palmam habentem egregias comas,
12 Et laurum ramoſam, &
13 Sacrum germen cæruleæ oleæ,
14 Partui Latonæ amicum,
15 Et paludem voluentem aquam
16 Cygneam, vbi canorus Cygnus

17 Co

Digitized by Google

Σωθεῖσα δ' ὡς ἂν καὶ σὺ κοινωνῇς τύχης,
Σώσω σ' ἐς Ἑλλάδ'. ἀλλὰ πρός σε δεξιᾶς
Σὲ, καί σ' ἱκνοῦμαι, σὲ δὲ φίλης παρηίδος,
Γονάτων τε, καὶ τῶν ἐν δόμοισι φιλτάτων,
Μητρὸς, πατρός τε, καὶ τέκνων, ὅτῳ κυρεῖ,
Τί φατέ; τίς ὑμῶν φησὶν; ἢ τίς οὐ θέλει
Φθέγξασθε ταῦτα; μὴ γὰρ αἰνουσῶν λόγους,
Ὄλωλα κἀγὼ καὶ κασίγνητος τάλας.

Ι. Θάρσει φίλη δέσποινα, καὶ σώζου μόνον,
Ὡς ἔκ γ' ἐμοῦ σοι πάντα σιγηθήσεται,
Ἴστω μέγας Ζεὺς, ὧν ἐπισκήπτεις πέρι.

Φε. Ὄναισθε μύθων, καὶ γένοισθ' εὐδαίμονες.
Σὸν ἔργον ἤδη, καὶ σὸν, εἰσβαίνειν δόμους,
Ὡς αὐτίχ' ἥξει τῆσδε τύραννος χθονὸς,
Θυσίαν ἐλέγχων, εἰ κατείργασται ξένων.
Ὦ πότνι', ἥπερ μ' Αὐλίδος κατὰ πτυχὰς
Δεινῆς ἔσωσας ἐκ πατροκτόνου χερὸς,
Σῶσόν με καὶ νῦν, τούσδε τ', ἢ τὸ Λοξίου
Οὐκέτι βροτοῖσι διὰ σ' ἐτήτυμον στόμα.
Ἀλλ' εὐμενὴς ἔκβηθι βαρβάρου χθονὸς
Εἰς τὰς Ἀθήνας. καὶ γὰρ ἐνθάδ' οὐ πρέπει
Ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. Ὄρνις, ἃ παρὰ τὰς πετρίνας
Πόντου δειράδας ἀλκυὼν,
Ἔλεγον οἶτον ἀείδεις,
Εὐξύνετον ξυνετοῖσι βοὰν,
Ὅτι πόσιν κελαδεῖς ἀεὶ μολπαῖς.
Ἐγώ σοι παραβάλλομαι
Θρήνους, ἄπτερος ὄρνις,
Ποθοῦσ' Ἑλλάνων ἀγόρους,
Ποθοῦσ' Ἄρτεμιν λοχίαν,
Ἃ παρὰ Κύνθιον ὄχθον οἰκεῖ,
Φοίνικά θ' ἁβροκόμαν,
Δάφναν τ' εὐερνέα, καὶ
Γλαυκᾶς θαλλὸν ἱερὸν ἐλαίας,
Λατοῦς ὠδῖνα φίλαν,
Λίμναν θ' εἱλίσσουσαν ὕδωρ
Κύκλιον, ἔνθα κύκνος μελῳδὸς

Digitized by Google

Μούσαις θεραπευτάν.

Ἀντιστροφὴ α'.

Ὦ πολλαὶ δακρύων λιβάδες,
Αἳ παρηίδας εἰς ἐμὰς
Ἔπεσον, ἀνίκα πύργων
Ὀλομένων ἐν ναυσὶν ἔβαν,
Πολεμίων ἐρετμοῖσι, καὶ λόγχαις.
Ζαχρύσου δὲ δι' ἐμπολᾶς
Νόστον βάρβαρον ἦλθον,
Ἔνθα τᾶς ἐλαφοκτόνου
Θεᾶς ἀμφίπολον κόραν,
Παῖδ' Ἀγαμεμνονίαν λατρεύω.
Βωμούς τε μηλοθύτας
Ζηλοῦσ', ἄταν διὰ παν-
τὸς δυσδαίμον'. ἐν γὰρ ἀνάγκαις
Οὐ κάμνεις σύντροφος ὤν.
Μεταβάλλει δυσδαιμονία.
Τὸ γὰρ μετ' εὐτυχίας κακοῦσθαι,
Θνατοῖς βαρὺς αἰών.

Στροφὴ β'.

Καὶ σὲ μὲν πότνι' Ἀργεία
Πεντηκόντορος οἶκον ἄξει.
Συρίζων δ' ὁ κηρόδετος
Κάλαμος οὐρείου Πανὸς,
Κώπαις ἐπιθωΰξει.
Ὁ Φοῖβος θ' ὁ μάντις, ἔχων
Κέλαδον ἑπτατόνου λύρας,
Ἀείδων, ἄξει λιπαρὰν
Εἰς Ἀθηναίων ἐπὶ γᾶν.
Ἐμὲ δ' αὐτοῦ λιποῦσα,
Βήσῃ ῥοθίοις πλάταις.
Ἀέρι δ' ἱστία, πρότονοι κατὰ
Πρῷραν, ὑπὲρ στόλον
Ἐκπετάσουσι πόδα
Ναὸς ὠκυπόμπου.

Ἀντιστροφὴ β'.

Λαμπρὸν ἱππόδρομον βαίην,
Ἔνθ' εὐάλιον ἔρχεται πῦρ.
Οἰκείων δ' ὑπὲρ θαλάμων
Πτέρυγας ἐν νώτοις ἁμοῖς

17 Colit Muſas.

Antiſtrophe I.

1 O lachrymarum ſtillæ multæ,
2 Quæ genas in meas
3 Ceciderunt, quando turribus
4 Euerſis inſcendi naues,
5 Remigio hoſtium, & haſtis.
6 Et per venditionem magno auri precio factam
7 Veni in hanc terram barbaram,
8 Vbi ceruorum interfectricis
9 Deæ, miniſtræ virgini,
10 Agamemnonis filiæ ſeruio,
11 Araſque pecudum mactatarum ſacrificiis pingues
12 Quærens, ærumnam perpe-
13 tuo miſeram. In neceſſitate enim
14 Nõ laboras, q̃ cũ ea nutrita, *eiq; iã pridẽ aſſuefacta* es.
15 Mutatur *tamen interdum* infelicitas.
16 Poſt enim res ſecundas infortunium
17 Vitam duram facit hominibus.

Strophe II.

1 Te vero ô inclyta, Argiua
2 Nauis quinquaginta remis acta vehet domum.
3 Modulans vero cera compacta
4 Fiſtula montani Panos
5 Impellet ſono remos.
6 Et Phœbus vates, ciens
7 Strepitum ſeptem fidibus canoræ lyræ,
8 Canens, ducet *te*, pinguem
9 Athenienſium in terram.
10 Me vero his relicta,
11 Abibis impetuoſis remis *delata*.
12 Ventis autem *dabuntur* vela, rudentes *vero* a
13 Prora, ſupra claſſicum apparatum
14 Extendent pedem
15 Nauis celeriter euntis.

Antiſtrophe II.

1 Vtinam venirem *in* pulchrum circum,
2 Quâ ſolis ardens ignis iter facit.
3 Super autem domeſticos thalamos
4 Alas in meis humeris

Digitized by Google

Deſinerem agitare.
Et ſtarem *in* choris, vbi etiam
Virgo laudatis *in* nuptiis
Ad pedem impellens charæ
Matris, æqualium thiaſos,
Ad certamen gratiarum,
Comæ mollis, ac opulentæ
Ad certamen incitata, variis
Stolis, & cincin-
nis ornata,
Genas obumbrabam.

Thoas.

Vbi nam eſt cuſtos harum ædium mulier
Græca? an iam initiauit hoſpites?
Num in caſtis adytis corpora ardent igni?

Cho. Hæc eſt, quæ tibi Rex cuncta clare dicet.
Tho. Age. cur hanc transfers ex non mouendis ſedibus,
Agamemnonis filia, Deæ ſtatuam brachiis?
Iphi. O Rex, ibi ſiſte tuũ pedẽ, vbi aſtas. [*noui moliris animo*
Tho. Quid vero noui eſt, Iphigenia, in opinione *tua? quid*
Iphi. Abominor, impolluta enim hoc tibi reſpondeo.
Tho. Quid dicis noui procemii? eloquere clare.
Iphi. Non mundas has hoſtias Rex mihi venati eſtis.
Tho. Qua re hoc intellexiſti? an dicis quod ſic opineris?
Iphi. Statua deæ auertit ſe a ſua ſede.
Tho. Vltrone, an vertit eam terræ motus?
Iphi. Vltro, & clauſit oculorum aſpectum.
Tho. Quæ vero eſt cauſa? an pollutio hoſpitum?
Iphi. Hæc *eſt*, & nulla alia. atrocia enim fecerunt.
Tho. Num aliquem barbarũ interfecerunt in littore?
Iphi. Venerunt *huc* domeſtica cæde polluti.
Tho. Qua? In deſiderium enim ſciendi incidimus.
Iphi. Interfecerunt matrem communi enſe. *i. iuncta opera*
Tho. O Apollo. Ne inter barbaros quidẽ quisquã hoc auſus
Iphi. Pulſi ſunt ex Græcia omnib. pſequẽtib. eos. [fuiſſet.
Tho. An igitur propterea portas ſtatuam foras?
Iphi. Sub ſanctũ ætherem, vt amoueam a contagione cædis.
Tho. Quomodo vero deprehendiſti piaculum hoſpitum?
Iphi. Depræhendi poſtquam deæ ſtatua retrouerſa eſt.
Tho. Sapientẽ te nutriuit Græcia, quod *rẽ tam* bene ſenſeris.

Iphi.

Λήξαιμι θοάζουσα.
Χοροῖς δὲ σταίην, ὅθι καὶ
Παρθένος εὐδοκίμων γάμων
Παρὰ πόδ' εἱλίσσουσα φίλας
Ματρὸς ἡλίκων θιάσους,
Ες ἁμίλλας χαρίτων,
Χαίτας ἁβροπλούτοιο
Ες ἔριν ὀρνυμένα, πολυποίκιλα
Φάρεα καὶ πλοκά-
μους περιβαλλομένα,
Γένυσιν ἐσκίαζον.

ΙΑΜΒΟΙ.

θο. Ποῦ 'σθ' ἡ πυλωρὸς τῶνδε δωμάτων γυνὴ
Ἑλληνίς; ἤδη τῶν ξένων κατήρξατο;
Ἀδύτοις ἐν ἁγνοῖς σῶμα λάμπονται πυρί;
χο. Ἥδ' ἐστίν, ἥ σοι πάντ' ἄναξ ἐρεῖ σαφῶς.
θο. Ἔα. τί τόδε μεταίρεις ἐξ ἀκινήτων βάθρων,
Ἀγαμέμνονος παῖ, θεᾶς ἄγαλμ' ἐν ὠλέναις;
ιφι. Ἄναξ, ἔχ' αὐτοῦ πόδα σὸν ἐν παραστάσι.
θο. Τί δ' ἐστὶν Ἰφιγένεια καινὸν ἐν δόμοις;
ιφι. Ἀπέπτυσ'. ὁσίᾳ γὰρ δίδωμ' ἔπος τόδε.
θο. Τί φροιμιάζῃ νεοχμόν; ἐξαύδα σαφῶς.
ιφι. Οὐ καθαρά μοι τὰ θύματ' ἠγρεύσασθ' ἄναξ.
θο. Τί τοὐκδιδάξαν τοῦτό σ'; ἢ δόξαν λέγεις;
ιφι. Βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.
θο. Αὐτόματον, ἤ νιν σεισμὸς ἔστρεψε χθονός;
ιφι. Αὐτόματον. ὄψιν δ' ὀμμάτων ξυνήρμοσεν.
θο. Ἡ δ' αἰτία τίς; ἢ τὸ τῶν ξένων μύσος;
ιφι. Ἥδ', οὐδὲν ἄλλο. δεινὰ γὰρ δεδράκατον.
θο. Ἀλλ' ἦ τιν' ἔκανον βαρβάρων ἀκτῆς ἔπι;
ιφι. Οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.
θο. Τίν'; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.
ιφι. Μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.
θο. Ἄπολλον, οὐδ' ἐν βαρβάροις τόδ' ἔτλη τις ἄν.
ιφι. Πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.
θο. Ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;
ιφι. Σεμνόν γ' ὑπ' αἰθέρ', ὡς μεταστήσω φόνου.
θο. Μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;
ιφι. Ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπεστράφη πάλιν.
θο. Σοφήν σ' ἔθρεψεν Ἑλλάς, ὡς ᾔσθου καλῶς.

Digitized by Google

ἰφι. Καὶ νῦν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.
θό. Τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντι σοί;
ἰφι. Τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.
θό. Ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων;
ἰφι. Καὶ πατέρα γε ζῆν, καὶ καλῶς πράσσειν ἐμόν.
θό. Σὺ δ' εἰς τὸ τῆς θεοῦ γ' ἐξένευσας
εἰκότως.
ἰφι. Πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.
θό. Τί δῆτα δρῶμεν φράζε τοῖς ξένοις πέρι;
ἰφι. Τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.
θό. Οὔκουν ἐν ἔργῳ χέρνιβες, ξίφος τε σόν;
ἰφι. Ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.
θό. Πηγαῖσιν ὑδάτων, ἢ θαλασσίᾳ δρόσῳ;
ἰφι. Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.
θό. Ὁσιώτεροι γοῦν τῇ θεῷ πέσοιεν ἄν.
ἰφι. Καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.
θό. Οὔκουν πρὸς αὐτὸν ναὸν ἐκπίπτει κλύδων;
ἰφι. Ἐρημίας δεῖ, καὶ γὰρ ἄλλα δράσομεν.
θό. Ἄγ' ἔνθα χρῄζεις, οὐ φιλῶ τἄρρηθ' ὁρᾶν.
ἰφι. Ἁγνιστέον μοι καὶ τὸ τῆς θεοῦ βρέτας.
θό. Εἴπερ γε κηλὶς ἔβαλέ νιν μητροκτόνος.
ἰφι. Οὐ γάρ ποτέ νιν ἀνῃρόμην βάθρων ἄπο.
θό. Δίκαιος ἡ εὐσέβεια, καὶ προμηθία.

Τροχαῖοι.

ἰφι. Οἶσθα νῦν ἅ μοι γενέσθω; Θό. σὸν τὸ σημαίνειν
τόδε.
ἰφι. Δεσμὰ τοῖς ξένοισι πρόσθες. Θό. ποῖ δέ σ' ἐκφύγοιεν ἄν;
ἰφι. Πιστὸν Ἑλλὰς οἶδεν οὐδέν. Θό. ἴτ' ἐπὶ δεσμὰ πρόσπολοι.
ἰφι. Κἀκκομιζόντων δὲ δεῦρο τοὺς ξένους. Θό. ἔσται τάδε.
ἰφι. Κατακρύψαντες πέπλοισιν ἡλίου πρόσθεν φλογός.
ἰφι. Σῶν τέ μοι σύμπεμπ' ὀπαδῶν. Θό. οἵδ' ὁμαρ-
τήσουσί σοι.
ἰφι. Καὶ πόλει πέμψον τιν', ὅστις σημανεῖ. Θό. ποίας
τύχας;
ἰφι. Ἐν δόμοις μίμνειν ἅπαντας. Θό. μὴ συναντῷεν φόνῳ;
ἰφι. Μυσαρὰ γὰρ τὰ τοιάδ' ἐστί. Θό. στεῖχε, καὶ σήμαινε σύ,
Μηδέν' εἰς ὄψιν πελάζειν. Ιφι. εὖ γε κηδεύεις
πόλιν.
Καὶ φίλων δ' οὐδεὶς μάλιστα. Θό. τοῦτ' ἔλεξας εἰς
ἐμέ.

Ὡς

Iphi. Et nunc animum meum deliniuerunt illecebra ſuaui.
Tho. Nunciantes aliquid ſuaue ex Argis?
Iphi. Oreſtem meum fratrem vnicum bene valere.
Tho. Videl. vt eos ſeruares propter voluptatem grati nūcii?
Tho. Et patrem meum viuere, & bene valere.
Iphi. Tu vero ad Deæ cultum procurandum merito *ex templo* exiiſti.
Tho: Vt quæ oderim vniuerſam Græciā, quæ me perdidit.
Iphi. Quid igitur faciemus de hoſpitibus? dic.
Tho. Oportet nos colere legem propoſitam.
Iphi. Quare ergo nō ſunt in prōptu lauacra & ēſis tuus?
Tho. Prius volo eos lauare purificatione religioſa.
Iphi. Vtrum aquis fontanis, an marino rore?
Tho. Mare abluit omnium hominum mala.
Iphi. Sanctius igitur Deæ cadent *victima.*
Tho. Et res meæ ſic honeſtius habebunt.
Iphi. Nonne ad ipſum templum fluctus alliditur?
Tho. Eſt opus ſolitudine. nam & alia faciemus.
Iphi. Ducito quò vis. Haud *enim* cupio arcana videre.
Tho. Purificanda eſt mihi & Deæ ſtatua.
Iphi. Siquidem macula matricidæ polluit eam.
Iphi. Nunquam enim eam ſuſtuliſſem ex ſua ſede.
Tho. Iuſta res eſt pietas, & diligentia.

Iphigenia.

Scis quæ mihi nunc fieri debent? *Tho.* Tuum *eſt* hoc ſignificare.
Iphi. Addas vincula hoſpitibus. *Tho.* Quonā tibi effugiāt?
Iphi. Fidē Græcia nullā nouit. *Tho.* Ite ad vincula miniſtri.
Iphi. Educant autem huc hoſpites. *Tho* Fiet hoc.
Iphi. Tegentes vultus eorum a ſolis flamma.
Iphi. Adde etiam mihi comites de tuis ſatellitibus. *Tho.* Iſti te comitabuntur.
Iphi. Et mitte ciuitati aliquos qui illi ſignificent. *Tho.* Quoſnam caſus?
Iphi. Vt omnes maneant domi. *Tho.* Ne interueniāt huic neci?
Iphi. Hæc enim ſunt abomināda. *Th.* Vade tu, & edicito,
Ne quis ad *horum ſacrorum* ſpectaculum propius accedat. *Iphi.* Recte curas vrbem,
Nullusque magis curat amicorum. *Tho.* Tu de me hoc dicis:

Sed

Sed hoc tibi potius conuenit, quia optimo iure te tota ci-
uitas miratur.

Iphi. Tu vero manens hic ante Deæ templum. *Thoas.*
Quid faciam?

Iphi. Auro templum luſtra. *Tho.* Purum *vt reperias*,
quando redieris? [facere?

Iphi. Cũ aũt egredientur hoſpites. *Th.* Quid *tũc* oportet me

Iphi. Tegere oculos peplo. *Th.* Ne cõtrahã contagiũ cædis?

Iphi. Si autem videar diutius cunctari. *Tho.* Modus huius
rei quis erit mihi?

Iphi. Nihil mireris. *T*, Deæ *ſacra* ꝓ ociũ recte perage.

Iphi. Vtinã aũt hæc expiatio cadat, vt cupio. *T.* Et ego idem

Iphi. Hos hoſpites iam video ex ædibus egredi, [precor.
Et ornatum deæ, & iuuenes, vt cæde cædem
Eluam abominandã: & fulgorẽ lucernarũ & reliqua, q̃
Ego ꝓpoſui hoſpitibus, & ad purificationẽ deę ꝑtinẽt.
Edico autem ciuibus vt diſcedant ab hoc piaculo.
Si quis aut templi cuſtos vult habere manus puras,
Aut vadit cõtracturus nuptias, aut qui partu grauatur:
Fugite, recedite: ne cui adhæreat hoc piaculum.
O Iouis & Latonæ filia virgo, ſi abluero cædem
Horũ, & ſacrificauero vbi oportet, habitabis purã do-
Et nos erimus beati: reliqua vero q̃uis nõ dicã [mum,
Et nos erimus beati: reliqua vero quamuis non dicam
Diis, qui plura norunt, tibi tamen ſignifico Deæ.

MONOSTROPHICA.

Præſtanti indole *eſt* Latonæ filius, quem olim
Deliacæ *terra* in fertilibus
Vallibus auricomum
Phœbum citharœdum peritum,
Et *Diana*, quæ propter iaculandi
Peritiam exultat,
Tulit ipſos a ſcopulo marino,
Puerperii locum inclytum relinquens, non
Stillantium: *at immotarum* mater aquarum,
Ad conſecratum Baccho
Parnaſium cacumen,
Vbi maculoſum tergũ habens, & cruentã faciẽ draco,
Sub opaca æreus, *i. dentibus areis minax*,
Frondoſa lauro, telluris
Immane monſtrum, cu-

Ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις.

* * * * * * * *

Ἰφι. Σὺ δὲ μίμν᾽ αὐτοῦ πρὸ ναῶν τῇ θεῷ. Θό. τί χρῆμα δρῶ;
Ἰφι. Ἅγνισον χρυσῷ μέλαθρον. Θό. καθαρὸν, ὡς μόλοις πάλιν;
Ἰφι. Ἡνίκ᾽ ἂν δ᾽ αὖ ἔξω περῶσιν οἱ ξένοι. Θό. τί χρή με δρᾶν;
Ἰφι. Πέπλον ὀμμάτων προθέσθαι. Θό. μὴ παλαμναῖον λάβω;
Ἰφι. Ἢν δ᾽ ἄγαν δοκῶ χρονίζειν. Θό. τοῦδ᾽ ὅρος τίς ἔστι μοι;
Ἰφι. Θαυμάσῃς μηδέν. Θό. τὰ τῆς θεοῦ πρᾶσσ᾽ ἐπὶ σχολῇ καλῶς.
Ἰφι. Εἰ γὰρ, ὡς θέλω, καθαρμὸς ὅδε πέσοι. Θό. συνεύχομαι.
Ἰφι. Τούσδ᾽ ἄρ᾽ ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους,
Καὶ θεᾶς κόσμους, νεογνούς τ᾽ ἄρνας, ὡς φόνῳ φόνον
Μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων, τά τ᾽ ἄλλ᾽ ὅσα
Προὐθέμην ἐγὼ ξένοισι, καὶ θεᾷ καθάρσια.
Ἐκποδὼν δ᾽ αὐδῶ πολίταις τοῦδ᾽ ἔχειν μιάσματος,
Εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
Ἢ γάμον στείχει συνάψων, ἢ τόκοις βαρύνεται,
Φεύγετ᾽, ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος τόδε.
Ὦ Διὸς, Λητοῦς τ᾽ ἄνασσα παρθέν᾽, ἢν νίψω φόνον
Τῶνδε, καὶ θύσωμεν οὗ χρὴ, καθαρὸν οἰκήσεις δόμον,
Εὐτυχεῖς δ᾽ ἡμεῖς ἐσόμεσθα. τἆλλα δ᾽ οὐ λέγουσ᾽ ὅμως
Τοῖς τὰ πλείον᾽ εἰδόσι θεοῖς, σοί τε σημαίνω θεά.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Εὔπαις ὁ Λατοῦς γόνος, ὅν ποτε
Δηλίας ἐν καρποφόροις
Γυάλοις χρυσοκόμαν
Φοῖβον ἐν κιθάρᾳ σοφὸν,
Ἅ τ᾽ ἐπὶ τόξων
Εὐστοχίᾳ γάννυται,
Φέρε νιν ἀπὸ δειράδος ἐναλίας,
Λοχεῖα κλεινὰ λιποῦσ᾽, ἀ-
στάκτων μάτηρ ὑδάτων,
Τὰν βακχεύουσαν Διονύσῳ
Παρνάσιον κορυφὰν,
Ὅθι ποικιλόνωτος οἰνωπὸς δρά-
κων, σκιερᾷ κατάχαλκος
Εὐφύλλῳ δάφνᾳ, γᾶς
Πελώριον τέρας, ἄμ-

φεπε

Φέπὶ μαντεῖον χθόνιον.
Ἔτι μιν, ἔτι βρέφος, ἔτι φίλας
Ἐπὶ ματέρος ἀγκάλαισι θρώσκων,
Ἔκανες ὦ Φοῖβε, μαντείων δ' ἐπέ-
βας ζαθέων, τρίποδί τ' ἐν χρυσέῳ
Θάσσεις, ἐν ἀψευδεῖ θρόνῳ,
Μαντείας βροτοῖς ἀναφαίνων,
Θεσφάτων ἐμῶν ἀδύτων,
Ὑπὲρ Κασταλίας ῥεέθρων
Γείτων, μέσον γᾶς ἔχων μέλαθρον.
Θέμιν δ' ἐπὶ γᾶς ἰὼν παῖδ' ἀπενάσατο,
Ἀπὸ ζαθέων χρηστηρίων νύχια.
Χθὼν ἐτεκνώσατο φάσματα.
Οἳ πολέσιν μερόπων,
Τά τε πρῶτα, τά τ' ἔπειθ',
Ὅσα τ' ἔμελλε τυχεῖν,
Ὕπνου κατὰ δνοφερὰς γᾶς
Εὐνὰς ἔφραζον. γαῖα δὲ
Μαντεῖον ἀφείλετο τιμὰν
Φοῖβον φθόνῳ θυγατρός. ταχύπους
Δ' ἐς ὄλυμπον ὁρμαθεὶς ἄναξ,
Χέρα ψεδνὸν ἕλιξ' ἐκ Διὸς θρόνων,
* * * * * * * *
Πυθίων δόμων
Χθονίαν ἀφελεῖν
Θεᾶς μῆνιν, νυχίους τ' ἐνοπάς.
Γέλασε δ', ὅτι τέκος ἄφαρ ἔβα,
Πολύχρυσα θέλων λατρεύματα σχεῖν.
Ἐπὶ δ' ἔσεισε κόμαν,
Παῦσε νυχίους ὀνείρους.
Ἀπὸ δὲ λαθοσύναν
Νυκτωπὸν ἐξεῖλε βροτῶν,
Καὶ τιμὰς πάλιν θῆκε Λοξίᾳ,
Πολυάνορι δ' ἐν ξενό-
εντι θρόνῳ θάρση βροτοῖς
Θεσφάτων ἀοιδαῖς.

ΙΑΜΒΟΙ.

ἀγγ. Ὦ ναοφύλακες, βώμιοί τ' ἐπιστάται,
Θόας ἄναξ γῆς τῆσδε, ποῦ κυρεῖ βεβώς;
Καλεῖτ', ἀναπτύξαντες εὐγόμφους πύλας,

Ἔξ

ſtodit oraculum terreſtre, *vel, ſubterraneum.*
Adhuc ipſum, adhuc infans, adhuc charæ
In matris vlnis ſaliens,
Interfeciſti ô Phœbe. oracula vero ini-
iſti diuina, tripodeque in aureo
Sedes, in mentiri neſcio throno,
Oracula mortalibus edens,
Diuinis meis adytis,
Super Caſtaliæ fluenta,
Vicinus, tenens medium terræ locum.
Themin vero Terræ filiam *Phœbus* inuadens eiecit
Ex diuinis oraculis, *vbi* nocturna
Terra peperit ſpectra, *filiosq́; produxit,*
Qui multis mortalium,
Et præterita, & præſentia,
Et quæcunque ſunt futura,
In ſomno, ſub obſcura terra,
In lectis dicebant. Terra enim
Vaticino priuauerat honore
Phœbũ inuidia filiæ *ex oraculis ab eo pulſa.* Celeri pede
Autem in Olympum contendens Rex,
Manum inanem *ſibi eſſe* dixit ad Iouis thronum.
Quare orauit ipſum,
Pythiis *ex* templis
Terreſtrem vt auferret
Deæ *Telluris* iram, nocturnaque reſponſa.
Riſit autem *Iupiter*, quod filius ſtatim *ad ſe* veniſſet,
Opulentos cupiens obtinere cultus.
Poſtquam autem concuſſit comam,
Fecit ceſſare nocturna ſomnia,
Et impoſturam
Nocturnam exemit hominibus:
Et *priſtinos* honores iterum dedit Phœbo.
In celebri autem, & hoſpitum frequen-
tia claro ſolio fiduciam hominibus
Oraculorum carminibus *ſuppeditat.*
Nuncius.
O æditui, & ararum præſides,
Quo abiit rex huius terræ Thoas?
Accerſite aperientes portas firmas,
Extra

Extra hanc aulam, dominum terræ.
Cho. Quid vero eſt? num oportet me non iuſſam loqui?
Nun. Abierunt euanidi duo adoleſcentes
Conſilio filiæ Agamemnonis
Fugientes ex hac terra, & venerandam ſtatuam
Accipientes in ſinu nauis Græcæ.
Cho. Dicis rem incredibilem: quem autem videre cupis
Regem *huius* terræ, iam ex templo celeriter abiit.
Nun. Quo? oportet enim eum ſcire quæ *nunc* fiunt.
Cho. Neſcimus. Quare abi, & perſequere ipſum.
Vt cum eum nactus fueris, nuncies ei iſta verba.
Nun. Videte, quam perfidioſum ſit genus muliebre,
Et vos eſtis participes horum facinorum.
Cho. Inſanis: quid enim nobis negotii eſt cũ fuga hoſpitũ?
Nun. Non ibis ad portam regis quam celerrime?
Cho. Non, priusquam interpres aliquis dixerit hoc verbũ,
Intusne ſit, an non princeps *huius* agri.
Nun. Heus aperite fores, vobis dico qui intus eſtis,
Et Regi dicite quod ad fores
Adſim, nuncians nouorum pondus malorum.
Tho. Quis circa domum iſtam deæ excitat clamorem,
Fores pulſans, & terrorem mittens intro?
Nun. Hæ mentitæ ſunt, & abegerunt me a domo *dicentes*
Quod extra eſſes. tu tamen eras domi.
Tho. Quod lucrum expectantes, aut *quid* venantes?
Nun. Poſtea dicã, quæ ad has pertinent: quæ vero ante pedes
Iam ſunt. audi, puella, quæ hîc
Aris aſtabat, *ſacriſq; præerat*, Iphigenia extra hanc terrã
Cum hoſpitibus abiit, venerandam deæ
Statuam habens. ſimulatę enim erant illę expiationes.
Tho. Quid ais? quis flatus calamitoſus eam impulit?
Nun. Vt ſeruaret Oreſten. hoc enim tu miraberis.
Tho. Quem? Num illum Tyndaridis filium?
Nun. Illum, quem conſecrauerat deæ ad hanc aram.
Tho. O portẽtũ: quo enim alio grauiore nomine te cõpellẽ?
Nun. Ne huc vertas tuã mentẽ, *ne hoc animo voluas*: ſed audi [me.
Et clare conſiderans, & audiens cogita,
Qui exercitus inſequens venetur eos.
Tho. Dic? recte enim mones: nõ. n. vicinum nauigãtes mare
Fugiunt, vt poſſint effugere meam haſtam.

Ἔξω μελάθρων τῶνδε καὶ ἐμῶν χθονός.
χο. Τί δ᾽ ἐστίν; εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;
ἄγγ. Βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι,
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
Φεύγοντες ἐκ γῆς τῆσδε, καὶ σεμνὸν βρέτας
Λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.
χο. Ἄπιστον εἶπας μῦθον. ὃν δ᾽ ἰδεῖν θέλεις
Ἄνακτα χώρας, φροῦδος ἐκ ναοῦ συθείς.
ἄγγ. Ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα.
χο. Οὐκ ἴσμεν. ἀλλὰ στεῖχε, καὶ δίωκέ νιν,
Ὅπου κυρήσας, τούσδ᾽ ἀπαγγελεῖς λόγους.
ἄγγ. Ὁρᾶτ᾽. ἄπιστον ὡς γυναικεῖον γένος,
Μέτεστι θ᾽ ὑμῖν τῶν πεπραγμένων μέρος.
χο. Μαίνῃ. τί δ᾽ ἡμῖν τῶν ξένων δρασμοῦ μέτα;
ἄγγ. Οὐκ εἶ κρατούντων πρὸς πύλας ὅσον τάχος;
χο. Οὔ. πρίν γ᾽ ἂν εἴπῃ τοὔπος ἑρμηνεὺς τόδε.
Εἴτ᾽ ἔνδον, εἴτ᾽ οὐκ ἔνδον ἀρχηγὸς χθονός.
ἄγγ. Ὠή, χαλᾶτε κλῇθρα, τοῖς ἔνδον λέγω.
Καὶ δεσπότῃ σημήναθ᾽, οὕνεκ᾽ ἐν πύλαις
Πάρειμι, καινῶν φόρτον ἀγγέλλων κακῶν.
θο. Τίς ἀμφὶ δῶμα θεᾶς τόδ᾽ ἵστησιν βοήν,
Πύλας ἀράξας, καὶ φόβον πέμψας ἔσω;
ἄγγ. Ψευδῶς ἔλεγον αἵδε, καί μ᾽ ἀπήλαυνον δόμων.
Ὡς ἐκτὸς εἴης. σὺ δὲ κατ᾽ οἶκον ἦσθ᾽ ἄρα.
θο. Τί προσδοκῶσαι κέρδος, ἢ θηρώμεναι;
ἄγγ. Αὖθις τὰ τῶνδε σημανῶ. τὰ δ᾽ ἐν ποσὶ
Παρόντ᾽, ἄκουσον. ἡ νεᾶνις, ἢ ᾽νθάδε
Βωμοῖς παρίστατ᾽ Ἰφιγένει᾽, ἔξω χθονὸς
Σὺν τοῖς ξένοισιν οἴχεται, σεμνὸν θεᾶς
Ἄγαλμ᾽ ἔχουσα. δόλια δ᾽ ἦν καθάρματα.
θο. Πῶς φής; τί πνεῦμα συμφορᾶς κεκτημένη;
ἄγγ. Σώζουσ᾽ Ὀρέστην. τοῦτο γὰρ σὺ θαυμάσῃ.
θο. Τὸν ποῖον; ἆρ᾽ ὃν Τυνδαρὶς τίκτει κόρη;
ἄγγ. Ὃν τοῖσδε βωμοῖς θεὰ καθωσιώσατο.
θο. Ὦ θαῦμα. πῶς σε μεῖζον ὀνομάσας τύχω;
ἄγγ. Μὴ ᾽νταῦθα τρέψῃς σὴν φρέν᾽, ἀλλ᾽ ἄκουέ μου.
Σαφῶς δ᾽ ἀθρήσας, καὶ κλύων, ἐκφρόντισον,
Διωγμὸς ὅστις τοὺς ξένους θηράσεται.
θο. Λέγ᾽. εὖ γὰρ εἶπας. οὐ γὰρ ἀγχίπλουν πόρον
Φεύγουσιν, ὥστε διαφυγεῖν τοὐμὸν δόρυ.

ἀγγ. Ἐπεὶ πρὸς ἀκτὰς ἤλθομεν θαλασσίας,
Οὗ ναῦς Ὀρέστου κρύφιος ἦν ὡρμισμένη,
Ἡμᾶς μὲν, οὓς σὺ δεσμὰ συμπέμπεις ξένων
Ἔχοντας, ἐξένευσ' ἀποστῆναι πρόσω
Ἀγαμέμνονος παῖς, ὡς ἀπόρρητον φλόγα
Θύουσα, καὶ καθαρμὸν, ὃν μετῴχετο.
Αὐτὴ δ' ὄπισθε δέσμ' ἔχουσα τοῖν ξένοιν
Ἔστειχε χερσί. καὶ τάδ' ἦν ὕποπτα μὲν.
Ἤρεσκε μέντοι σοῖσι προσπόλοις ἄναξ.
Χρόνῳ δ', ἵν' ἡμῖν δρᾶν τι δὴ δοκῇ πλέον,
Ἀνωλόλυξε. καὶ κατῇδε, βάρβαρα
Μέλη μαγεύουσ', ὡς φόνον νίζουσα δή.
Ἐπεὶ δὲ δαρὸν ἦμεν ἥμενοι χρόνον,
Εἰσῆλθεν ἡμᾶς, μὴ λυθέντες οἱ ξένοι,
Κτάνοιεν αὐτὴν, δραπέται τ' οἰχοίατο.
Φόβῳ δ' ἃ μὴ 'χρῆν εἰσορᾶν, καθήμεθα
Σιγῇ. τέλος δὲ πᾶσιν ἦν αὐτὸς λόγος,
Στείχειν ἵν' ἦσαν, καίπερ οὐκ ἐωμένοις.
Κἀνταῦθ' ὁρῶμεν Ἑλλάδος νεὼς σκάφος,
Ταρσῷ κατήρει πίτυλον ἐπτερωμένον,
Ναύτας τε πεντήκοντ' ἐπὶ σκαλμῶν πλάτας
Ἔχοντας. ἐκ δεσμῶν δὲ τοὺς νεανίας
Ἐλευθέρους πρύμνηθεν ἑστῶτας νεώς.
Κοντοῖς δὲ πρῷραν εἶχον. οἱ δ' ἐπωτίδων
Ἀγκύρας ἐξανῆπτον. οἱ δὲ κλίμακας
Σπεύδοντες, ἦγον διὰ χερῶν πρυμνήσια.
Πόντῳ δὲ δόντες τὴν ξένην καθίεσαν.
Ἡμεῖς δ' ἀφειδήσαντες, ὡς ἐσείδομεν
Δόλια τεχνήματ', εἰχόμεσθα τῆς ξένης,
Πρυμνησίων τε καὶ δι' εὐθυντηρίας,
Οἴακας ἐξῃροῦμεν εὐπρύμνου νεώς.
Λόγοι δ' ἐχώρουν, τίνι λόγῳ πορθμεύετε,
Κλέπτοντες ἐκ γῆς ξόανον, καὶ θυηπόλους;
Τίνος, τίς ὢν, τήνδ' ἀπεμπολᾷς
χθονός;
Ὁ δ' εἶπ', Ὀρέστης τῆσδ' ὅμαιμος, ὡς μάθοις,
Ἀγαμέμνονος παῖς, τήνδ' ἐμὴν κομίζομαι
Λαβὼν ἀδελφὴν, ἣν ἀπώλεσ' ἐκ δόμων.
Ἀλλ' οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης,
Καὶ πρὸς σ' ἕπεσθαι διεβιαζόμεσθά νιν.

Ὅθεν

Nun. Poſtquam venimus ad littus marinum,
Vbi nauis Oreſtis latens erat appulſa,
Nobis quidem, quos tu cũ *iſta* miſiſti vincula hoſpitũ
Tenẽtes, nutu ſignificauit, vt recederem⁹ procul,
Agamemnonis filia, tanquam arcanum ignem
Sacrificatura, & purificationem, quam apparabat.
Ipſa vero retro vincula tenens hoſpitum
Ibat manibus, & hæc erant quidem *nobis* ſuſpecta,
Placebant tamen tuis miniſtris, ô Rex.
Tandẽ vero (vt nobis aliquid ãplius videretur agere)
Vlulauit, & cantauit, barbara
Carmina quærens, quaſi cædẽ iã ablueret, *ac expiaret*.
Poſteaquam autem diu ſedimus,
Venit nobis in mentẽ *timere*, ne ſoluti hoſpites
Interficerent eam, & effugerent. [dimus
Metu tamẽ ne viderem⁹ ea, q̃ nõ oportebat videre, ſe-
Tacite. tandem vero omnibus eadem fuit ſententia,
Ire eo, vbi illi eſſent, etiamſi *nobis hoc* nõ cõcederetur:
Ibi vero vidimus Græcæ nauis ſcapham
Remis ſublimib. vt alis inſtructã, & ad impetũ curſus
Et nautas quinquaginta ꝗ remos in ſcalmis [paratã,
Tenebant. & a vinculis adoleſcentes
Vidimus liberos in puppi nauis ſtantes.
Contis vero proras regebant. Alii vero ad epotidas
Anchoras ſuſpendebant, alii autem *per* ſcalas
Properantes, expediebant manibus rudentes.
Mariq; cõmittentes hoſpitam, *in nauem* demiſerunt.
Nos vero non parcẽtes *nobis, aut labori*, quũ vidimus
Doloſas artes, hærebamus hoſpitæ,
Rudentibusque, *non dimittentes illã*. & ꝑ gubernacula
Auferebamus clauos bene munitæ nauis. [*euntes*,
Oriebatur autem orationis certamen: Quare mare
traiicitis, [ſacerdotem?
Surreptam abſportantes ex *hoc* agro *Deæ* ſtatuam, &
Cuius *rei cauſa*? ꝗs exiſtens hanc ex *hoc* agro vt emptã
Ille reſpondit, Oreſtes huius frater, vt ſcias, [auehis?
Filius Agamemnonis, meam aueho
Sororem nactus, quam amiſeram ex ædibus *ablatam*.
Verum nihilominus retinebamus hoſpitam, [retur.
Et per vim ipſos cogere conabamur, vt *nos* ad te ſeque-

Vnde ſæuæ plagæ erant genarum,
Illi enim ferrum non habebant *in* manibus,
Neque nos. Sed pugnis cum ſtrepitu res gerebatur.
Et manus ab vtroque iuuene ſimul
In latera *noſtra*,& in hepar iniectæ ferebantur,
Ita vt committerentur, & defatigarentur membra.
Nos autem malis notis ſignati
Fugimus in locum arduum,alii quidem in capite
Habentes cruenta vulnera,alii vero in oculis.
In tumulis vero ſtantes,cautius,*ac tutius*.
Pugnabamus,& ſaxa iaciebamus.
Verum arcebant nos ſagittarii, in puppi
Stantes, telis, vt repellerent *nos* procul.
Tunc autem (magnus enim fluctus impulerat nauim
Ad terram: nautæ aũt non audebãt humectare pedẽ)
Sublatam Oreſtes in ſiniſtrum humerum,
Progreſſus in mare,& per ſcalas ſaltans,
Collocauit ſororem in inſigni naui.
Tunc autem quæ de cælo cecidit *dea* Iouis filiæ
Statua,ex media naue edidit
Vocem quandam, ô terræ Græcæ nautæ nauis,
Incumbite remis, fluctusq; *pulſantes* albos facite.
Habemus enim hæc, propter quæ Euxinum pontum
Inter Symplegades nauigauimus.
Illi vero frementes dulcem gemitum,
Percuſſerunt mare. nauis autem donec erat in
Portu, procedebat. penetrans vero per oſtium
Repellebatur incidens in vehementem fluctum.
Vehemens enim ventus ſubito ortus, nauis
Pellebat retro rudentes. Hi vero ſuſtinebant impetum,
Repugnantes contra fluctum: rurſum autẽ ad terram
Fluctus refluus impulit nauim. ſtans autem
Agamemnonis filia cœpit precari: O Latonæ filia
Serua me tuam ſacrificulam,*vt veniam* in Græciam
Ex *hac* terra barbara, & ignoſce meo furto.
» Amas enim & tu tuum fratrem, ô Dea.
» Et me quoque conſanguineos amare puta.
Nautæ vero puellæ preces exceperũt acclamãtes fauſti
Pæana, nudos manuum lacertos
Adplicantes ad remos adhibita exhortatione.

Magis

Ὅθεν τὰ δεινὰ πλήγματ' ἦν γενειάδων.
Κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν,
Ἡμεῖς τε. πυγμαὶ δ' ἦσαν ἐγκροτούμεναι,
Καὶ κῶλ' ἀπ' ἀμφοῖν τοῖν νεανίαιν ἅμα
Εἰς πλευρὰ, καὶ πρὸς ἧπαρ ἠκοντίζετο,
Ὥστε ξυνάπτειν, καὶ συναποκαμεῖν μέλη,
Δεινοῖς δὲ σημάντροισιν ἐσφραγισμένοι,
Ἐφεύγομεν πρὸς κρημνόν. οἱ μὲν ἐν κάρᾳ
Κάθαιμ' ἔχοντες τραύμαθ', οἱ δ' ἐν ὄμμασιν.
Ὄχθοις δ' ἐπισταθέντες, εὐλαβεστέρως
Ἐμαρνάμεσθα, καὶ πέτρους ἐβάλλομεν.
Ἀλλ' εἶργον ἡμᾶς τοξόται, πρύμνης ἔπι
Σταθέντες, ἰοῖς, ὥστ' ἀναστεῖλαι πρόσω.
Κἀν τῷδε, δεινὸς γὰρ κλύδων ὤκειλε ναῦν
Πρὸς γῆν, φόβος δ' ἦν ναυάταις τέγξαι πόδα,
Λαβὼν Ὀρέστης ὦμον εἰς ἀριστερὸν,
Βὰς εἰς θάλασσαν, κἀπὶ κλίμακος θορὼν,
Ἔθηκ' ἀδελφὴν ἐντὸς εὐσήμου νεώς.
Τὸ δ' οὐρανοῦ πέσημα, τῆς Διὸς κόρης
Ἄγαλμα, νηὸς ἐκ μέσης ἐφθέγξατο
Βοή τις, ὦ γῆς Ἑλλάδος ναῦται νεώς,
Λάβεσθε κώπης, ῥόθιά τε λευκαίνετε.
Ἔχομεν γὰρ, ὧνπερ οὕνεκ' Εὔξεινον πόρον
Συμπληγάδων ἔσωθεν εἰσεπλεύσαμεν.
Οἱ δὲ στεναγμὸν ἡδὺν ἐκβρυχώμενοι,
Ἔπαισαν ἅλμην. ναῦς δ' ἕως μὲν ἐντὸς ἦν
Λιμένος, ἐχώρει στόμια, διαπερῶσα δὲ,
Λάβρῳ κλύδωνι συμπεσοῦσ' ἠπείγετο.
Δεινὸς γὰρ ἐλθὼν ἄνεμος ἐξαίφνης, νεὼς
Ὤθει πάλιν πρυμνήσι'. οἱ δ' ἐκαρτέρουν,
Πρὸς κῦμα λακτίζοντες. γῆν δὲ πάλιν
Κλύδων παλίρρους ἦγε ναῦν. σταθεῖσα δὲ
Ἀγαμέμνονος παῖς, εὔξατ'. ὦ Λητοῦς κόρη,
Σῶσόν με τὴν σὴν ἱερείαν, πρὸς Ἑλλάδα
Ἐκ βαρβάρου γῆς, καὶ κλοπαῖς σύγγνωθ' ἐμαῖς.
„ Φιλεῖς δὲ καὶ σὺ σὸν κασίγνητον, θεά.
„ Φιλεῖν δὲ κἀμὲ τοὺς ὁμαίμονας δόκει.
Ναῦται δ' ἐπευφήμησαν εὐχαῖσι κόρης
Παιᾶνα, γυμνὰς ἐκ χερῶν ἐπωμίδας
Κώπῃ προσαρμόσαντες, ἐκ κελεύσματος,

Digitized by Google

Μᾶλλον δὲ μᾶλλον πρὸς πέτρας ᾔει σκάφος.
Χ' ὡ μὲν τις εἰς θάλασσαν ὡρμήθη ποσὶν,
Ἄλλοι δὲ πλεκτὰς ἐξανῆπτον ἀγκύρας.
Κἀγὼ μὲν εὐθὺς πρὸς σὲ δεῦρ' ἀπεστάλην,
Σοὶ τὰς ἐκεῖθεν σημανῶν ἄναξ τύχας.
Ἀλλ' ἕρπε, δεσμὰ καὶ βρόχους λαβὼν χεροῖν.
Εἰ μὴ γὰρ οἶδμα νήνεμον γενήσεται,
Οὐκ ἔστιν ἐλπὶς τοῖς ξένοις σωτηρίας.
Πόντου δ' ἀνάκτωρ, Ἴλιόν τ' ἐπισκοπεῖ,
Σεμνὸς Ποσειδῶν, Πελοπίδαις δ' ἐναντίος.
Καὶ νῦν παρέξει τὸν Ἀγαμέμνονος γόνον
Σοὶ, καὶ πολίταις, ὡς ἔοικεν, ἐν χεροῖν,
Λαβεῖν τ' ἀδελφὴν, ἣ φόνον τὸν Αὐλίδι
Ἀμνημόνευτον θεᾷ προδοῦσ' ἁλίσκεται.
χο. Ὦ τλῆμον Ἰφιγένεια, συγγόνου μέτα
Θανῇ, πάλιν μολοῦσα δεσποτῶν χέρας.
θο. Ὦ πάντες ἀστοὶ τῆσδε βαρβάρου χθονὸς,
Οὐκ εἶα πώλοις ἐμβαλόντες ἡνίας,
Παράκτιοι δραμεῖσθε, κἀκβολὰς νεὼς
Ἑλληνίδος δέξεσθε. σὺν δὲ τῇ θεῷ
Σπεύδοντες, ἄνδρας δυσσεβεῖς θηράσετε;
Οἱ δ' ὠκυπόμπους ἕλξετ' εἰς πόντον πλάτας,
Ὡς ἐκ θαλάσσης, ἔκ τε γῆς ἱππεύμασι
Λαβόντες αὐτοὺς, ἢ κατὰ στύφλου πέτρας
Ῥίψωμεν, ἢ σκόλοψι πήξωμεν δέμας;
Ὑμᾶς δὲ, τὰς τῶνδ' ἴστορας βουλευμάτων,
Γυναῖκας, αὖθις ἡνίκ' ἂν σχολὴν λάβω,
Ποινασόμεσθα. νῦν δὲ τὴν προκειμένην
Σπουδὴν ἔχοντες, οὐ μενοῦμεν ἥσυχοι.
ἀθη. Ποῖ ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆσδ' Ἀθηναίας λόγους.
Παῦσαι διώκων. ῥεῦμά τ' ἐξορμῶν στρατοῦ.
Πεπρωμένοις γὰρ θεσφάτοισι Λοξίου,
Δεῦρ' ἦλθ' Ὀρέστης, τόν τ' Ἐρινύων χόλον
Φεύγων, ἀδελφῆς τ' Ἄργος εἰσπέμψων δέμας,
Ἄγαλμά θ' ἱερὸν εἰς ἐμὴν ἄξων χθόνα.
Πρὸς μὲν σ' ὅδ' ἡμῖν μῦθος. ὃν δ' ἀποκτενεῖν
Δοκεῖς Ὀρέστην, ποντίῳ λαβὼν σάλῳ,
Ἤδη Ποσειδῶν χάριν ἐμὴν ἀκύμονα
Πόντου τίθησι, νῶτα πορθμεύων πλάτῃ.

Magis autem atq; magis ibat nauis verſus ſcopulum:
Et alius quidem in mare pedum ſaltu ruit.
Alii vero tortas religabant anchoras.
Ego vero ſtatim huc miſſus ſum,
Vt tibi rex ſignificē quomodo illic ſe res habeant.
Quamobrē vade, vinculis, laqueisq; manu correptis.
Niſi enim mare fiat placidum,
Nulla ſpes ſalutis eſt hoſpitibus *reliqua*.
Rex enim maris curam gerit illi,
Venerādus Neptunus: hoſtis aūt eſt Pelopidarū.
Et nunc tradet Agamemnonis filium
Tibi, & *tuis* ciuibus (vt par eſt) in manus,
Et *dabit* vt recipias *eius* ſororē, quæ cædem *in* Aulide
Immemorem *ſalutis* prodens a Dea deprehenditur.
Cho. O miſera Iphigenia, vna cum fratre
Morieris, iterum rediens *ſub* manus dominorum.
Tho. O cuncti ciues huius barbaricæ terræ,
Eia, non equis iniicientes frena,
Ad littus curretis? & eruptiones, *fugamq;* nauis
Græcanicæ excipietis, & adiuuante dea
Feſtinantes, capietis impios viros?
Alii vero trahetis in mare naues celeres,
Vt mari, & terra, equeſtribus copiis
Captos ipſos, aut *de* aſpera rupe
Præcipites demus, aut palis *ipſorum* figamus corpora?
Vos autem horum conſiliorum conſcias
Mulieres, poſtea quum ocium nactus fuero,
Puniam: nunc enim in præſentium *rerum*
Studium intenti, non manebimus quieti.
Min. Quonā, quo manū hāc *fugiētes* inſequētē ducis, ô Rex
Thoas? Audi huius Mineruæ verba.
Hos deſine perſequi, & fluctum excitare exercitus.
Fatalibus enim oraculis Apollinis
Huc venit Oreſtes, iram Erinnydum
Fugiens, & ſororem Argos reducturus,
Statuamque ſacram in meum laturus agrum.
Et hęc q̃dem ad te noſtra *eſt* oratio. Quē vero occidere
Decreuiſti Oreſtem, marinis interceptū procellis, *illum*
Iam in meā gratiā Neptunus tutū a periculo fluctuū
Maris facit, *eum per maris* dorſa trāſmittēs remo.

Digitized by Google

Tu vero Oreſtes audiens mea mandata,
(Audis enim Deæ vocem, licet præſens non adſis)
Vade accepta ſtatua, & tua ſorore.
Et cum veneris Athenas diuinitus conditas,
Eſt quidam locus in extremis Atticæ
Finibus, vicinus littori Caryſtio,
Sacer, quem meus populus *nunc* vocat Halas:
Illic extructo templo, colloca ſtatuam
Cognominem Tauricæ *Dianæ*, & tuorum laborum,
Quos tuliſti oberrans per Græciam,
Agitatus ſtimulis Erinnydũ Dianã vero ipſam hõis
Poſthac celebrabunt Tauricam Deam.
Et hanc legem pone, quando populus celebrabit feſti
Tuæ a cædr liberationis, admoneat enſem
Ad *alicuius* viri ceruicem, & ſanguinem eliciat
Propter ſanctam deam, vt *debitos* honores habeat.
Te vero ô Iphigenia ad ſcalas ſacras
Brauronias oportet eſſe æditiuam huius deæ.
Vbi etiam ſepelieris mortua, & peplorum
Monumenta tibi ponent, texta ſerica,
Quæ mulieres in partu animam erumpentes
Reliquerint in ædibus. has aũt vt educas ex *hac* terra
Mulieres Græcas *tibi* mando,
Iuſto conſilio, quia te ſeruaui,
Et prius in Martio pago paria ſuffragia [*legeq; vob.*
Iudicans *de tuo parricidio, tibi dedi*, ô Oreſtes. & eodem
Vt *poſthac in iudiciis* vincat, quiſq; paria ſuffragia ha-
Quamobrẽ educ tuam ſororẽ *ex hoc* agro, [buerit.
O fili Agamemnonis, & tu ne iraſcaris Thoas.
Tho. Regina Minerua, deorum præceptis
,, Quiſq; *has* audiẽs, nõ paret, *is* nõ recte ſẽtit, *non ſapit*.
Ego igitur Oreſti, ſi auferens ſtatuam deæ
,, Abiit, & *eius* ſorori, non iraſcor. Quid enim
,, Aduerſus potentes Deos certare decet?
Eant cum ſtatua deæ in tuam
Terram, & feliciter ſtatuam *ibi* collocent.
Mittam vero & has in Græciam beatam
Mulieres, quemadmodum mandat tua vox.
Et retinebo exercitũ, quẽ erã miſſurus cõtra hoſpites,
Et nauiũ remos. Hæc *enim* quia tibi, ô Dea, placẽt, *ideo*
,, Laudo.

Digitized by Google

Μαθὼν δ᾽ Ὀρέστα τὰς ἐμὰς ἐπιστολὰς,
(Κλύεις γὰρ αὐδὴν καίπερ οὐ παρὼν, θεᾶς)
Χώρει λαβὼν ἄγαλμα, σύγγονόν τε σήν.
Ὅταν δ᾽ Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
Χῶρός τις ἐστὶν Ἀτθίδος πρὸς ἐσχάτοις
Ὅροισι, γείτων δειράδος Καρυστίας,
Ἱερὸς, Ἀλαί νιν οὑμὸς ὀνομάζει λεὼς,
Ἐνταῦθα τεύξας ναὸν, ἵδρυσαι βρέτας,
Ἐπώνυμον τῆς Ταυρικῆς, πόνων τε σῶν,
Οὓς ἐξεμόχθεις περιπολῶν καθ᾽ Ἑλλάδα,
Οἴστροις Ἐριννύων. Ἄρτεμιν δέ νιν βροτοὶ
Τολοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.
Νόμον τε θέσθε τόνδ᾽, ὅτ᾽ ἑορτάζῃ λεὼς
Τῆς σῆς σφαγῆς ἄποιν᾽. ἐπισχέτω ξίφος
Δέρῃ πρὸς ἀνδρὸς, αἷμά τ᾽ ἐξανιέτω
Ὁσίας ἕκατι θεᾶς, ὅπως τιμὰς ἔχῃ.
Σὲ δ᾽ ἀμφὶ σεμνὰς Ἰφιγένεια κλίμακας
Βραυρωνίας δεῖ τῆσδε κληδουχεῖν θεᾶς.
Οὗ καὶ τεθάψῃ κατθανοῦσα, καὶ πέπλων
Ἄγαλμά σοι θήσουσ᾽, εὐπήνους ὑφὰς,
Ἃς ἂν γυναῖκες ἐν τόκοις ψυχοῤῥαγεῖς
Λείπωσ᾽ ἐν οἴκοις. τάσδε δ᾽ ἐκπέμπειν χθονὸς
Ἑλληνίδας γυναῖκας ἐξεφίεμαι,
Γνώμης δικαίας, οὕνεκ᾽ ἐκσώσασά σε,
Καὶ πρίν γ᾽ Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
Κρίνασ᾽, Ὀρέστα, καὶ νόμισμ᾽ εἰς ταυτό γε,
Νικᾶν, ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.
Ἀλλ᾽ ἐκκομίζου σὴν κασίγνητον χθονὸς,
Ἀγαμέμνονος παῖ, καὶ σὺ μὴ θυμοῦ Θόας.
Ἄνασσ᾽ Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις
„ Ὅστις κλύων ἄπιστος, οὐκ ὀρθῶς φρονεῖ.
Ἐγὼ δ᾽ Ὀρέστῃ τ᾽, εἰ φέρων βρέτας θεᾶς
„ Βέβηκ᾽, ἀδελφῇ τ᾽, οὐχὶ θυμοῦμαι. τί γὰρ
„ Πρὸς τοὺς σθένοντας θεοὺς ἁμιλλᾶσθαι καλόν;
Ἴτωσαν εἰς σὴν σὺν θεᾶς ἀγάλματι
Γαῖαν, καθιδρύσαιντό τ᾽ εὐτυχῶς βρέτας.
Πέμψω δὲ καὶ τάσδ᾽ Ἑλλάδ᾽ εἰς εὐδαίμονα
Γυναῖκας, ὥσπερ σὸν κέλευσμ᾽ ἐφίεται.
Παύσω δὲ λόγχην, ἣν ἐπαίρομαι ξένοις,
Νεῶν τ᾽ ἐρετμά. σοὶ τάδ᾽ ὡς δοκεῖ θεά,

Digitized by Google

„ Αἰνῶ. τὸ γὰρ χρεὼν σοῦ τε, καὶ θεῶν κρατεῖ.
ἀθη. Ἴτ' ὦ πνοαὶ ναυσθλοῦσαι τὸν Ἀγαμέμνονος
Παῖδ' εἰς Ἀθήνας. συμπορεύσομαι δ' ἐγὼ,
Σώζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἴτ' ἐπ' εὐτυχίᾳ τῆς σωζομένης
Μοίρας, εὐδαίμονες ὄντες.
χο. Ἀλλ' ὦ σεμνὴ παρά τ' ἀθανάτοις,
Καὶ παρὰ θνητοῖς, Παλλὰς Ἀθάνα,
Δράσομεν οὕτως ὡς σὺ κελεύεις.
Μάλα γὰρ τερπνὸν, κἀνέλπιστον
Φήμην ἀκοαῖσι δέδεγμαι.
Ὦ μέγα σεμνὴ νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Εὐριπίδου Ἰφιγένεια ἡ ἐν Ταύροις.

GVLIELMI CANTERI IN EVRIPIDEM NOTÆ.

AD CL. V.

I. CRATONEM A CRAFTHEIM, CAESAR. MAIEST. ARCHIATRVM.

PRÆFATIO.

QVæ duo fuerant a nobis in hunc poetam initio promiſſa, eorum alterum ac poſterius quam fieri potuit diligentiſſime præſtitum iam nobis eſſe, nemo, vt arbitror, harum rerum peritus negare poterit. Etenim cum & carminum genera ſingulis locis indicauerimus, & eorum inter ſe collationes oſtenderimus, quid aliud hac in re magnopere poſſit a nobis requiri, non videmus. Ad alterum igitur ac prius nunc progredimur, vt mendis infinitis clariſſimum poetam, quantum fieri nunc poteſt, liberemus. Et quoniam permultos Euripidis locos iampridem nos in libris Nouar. Lectionum caſtigauimus, & enarrauimus: ad eos lectorem in his Notis quoties erit occaſio, remittemus, ne quis nos δὶς ταὐτὸν ἀγορεύειν cum Æſchylo dicat. In prioribus porro ſeptem tragœdiis non tam

•• Laudo. Nam & tua, & Deorum fatalis voluntas vincit.
Lin. Ite ô auræ naui ducentes Agamemnonis
Filium Athenas. Comitabor autem *ipſos* & ego,
Seruans meæ ſororis venerandam ſtatuam.

Ite propter felicitatem *vos præter ſpem* ſeruantis
Fati, felices exiſtentes.
:ho. At ô veneranda & inter immortales,
Et inter mortales, Pallàs Minerua,
Faciemus vt tu iubes.
Admodum enim iucundum, & inſperatum
Nuncium auribus accepi.
O valde veneranda victoria, meam
Vitam *ſemper* occupes,
Nec *vnquam* deſinas *eam* coronare.

Finis Iphigeniæ in Tauris.

• Scholiaſtes Græcus nobis veram Euripidis lectionē ſuppeditauit: id quod nunc inter Notas referemus, nunc in contextum, vt apertius, quam de quo dubitari poſſit, recepimus. Similiter quoque in octo poſterioribus tragœdiis, quæ ſunt ab H. Stephano & I. Brodæo emendata, hæc nos partim in his Notis, cum erunt vera, vel ſaltem veriſimilia, ſuffragio noſtro confirmabimus: partim, quæ extra omnem erant controuerſiam, præſertim cum librorum antiquiſſimorum teſtimonio niterentur, in contextum itidem retulimus. In reliquis denique tam inſignes tot locorum correctiones proferemus, vt, quod initio dixi, nunc repetere iure poſſim, paucos admodum in tota re literaria ſcriptores, quibus tantundem remedii ſit adhibitum, repertum iri. Aliorum quidem ineptas emendationes nunquam refellere libebit, niſi cum id breuiter, vt reliqua cuncta fieri poterit. Tibi porro V. C. hoc opuſculum, licet mole exiguum, fructu tamen & labore permagnum, tuendum committere voluimus, ac ſimul ingentium tuorum de nobis meritorum hanc qualemcunque gratiam reponere. Tu vero, tum qua es eruditione atq; doctrina, non difficulter huius operæ patrocinium ſuſcipies: tum qua es liberalitate atque animi magnitudine, & hæc parua maximi facies, & nos deinceps, tanquam memores ac gratos cognitos, in tuorum habere numero perges. Vale.

GVLIELMI CANTERI IN EVRIPIDEM NOTÆ.

NOTAE IN HECVBAM.

V. 32 Malim αἰωρούμενον.

112 Rectius ὅτε Scholiaſtes legit. at nos etiam ἴσθι legendum cenſemus.

137 Hæc ita conſtituenda ſunt, δούλων σώτειρα, σφαγίων ἀπωθεῖν. quod alios quia latuit, admoneo.

150 Rectius ὀρφανὸν Scholiaſtes legit.

207 Malim σοῖς ἄπο.

225 Rectius longe δρᾶσον Scholiaſtes. ſimiliter Iphigenia priore dicit Agamemnō, & in Helena Chorus.

247 Videtur legendum δῆτά σ'.

263 Emēdauim' hūc locū Nouarū Lect. lib. 5. cap. 25.

291 Videtur legēdū τοῖς τ' ἐλευθέροις.

302 γρ. πέφυκ' ἀεί. quod rectius eſt.

315 Malim μέγα ſimiliter in Oreſte dicit Electra, σοῦ μακαριστοῦσα τῆς μέγ' ὀλβίας

399 Emendauimus hunc locum Nouarum lectionum lib. 1. cap 9.

409 Videtur legendū αὐτέ-

627 Emendauimus hunc locum Nouar. lect. lib. 5. c. 11.

684 Rectius νόμον βακχεῖον Scholiaſtes legit.

686 Rectius σοῦ Schol.

755 Mali ſic interpūgere, αἰῶνα θεός. ῥᾴδιον γάρ ἐστι

784 Videtur legendū ἀγ-πεύκαν. [αὐτὸ

858 Videtur γε deeſſe poſt

888 Similiter in Iphigenia Taurica dicit, ἀλλ' ὡς ἐφείη. τάδε μὲν δέλτου διδόν, & in Troadibus, ἀλλ' ὡς ἐφείη, καὶ σοφωτέρᾳ φωνῇ.

912 Vocabulū γυναῖ verſus reſpuit, idq; e gloſſa fortaſſis irrepſit.

982 Vocabulū ἡμῖν quoq; videtur e gloſſa ſumtum.

996 Videtur legendum σώσειν νιν. quod quidē mendum ſæpiſſime in hoc poeta cernitur.

1055 Malim θυμορρέοντα.

1151 Rectius ἐξ Scholiaſtes alter legit: ſunt enim in hui' poetæ ſcholiis duo, quorum quidem alter Paraphraſes cōſcripſit.

1215 Videtur legēdū γυμνὸς

1228 Videtur legendū ὅδε δή. quo etiam pacto quēdam in Ione locū emendauimus.

NOTAE IN ORESTEM.

13 γρ. ἔρις. quod rectius eſt.

103 Videtur legendū ῥο-ζῶσα.

140 Malim σῖγα vtrobiq;.

154 Rectius ποίαν vtrobique Scholiaſtes legit.

183 Rectius Chori perſo-
am tollit Scholiaſtes alter,
: οὐχὶ cum σῖγα (ſic enim et-
m heic legendum videtur)
oniungit.

201 Videtur legendū σύ τε

206 Malim ἐπί.

251 Videtur legēdū σύ νῳν.

280 Emendauimus hunc
ocum Nouar.lect.lib.1. ca.9.

284 Malim ἐπιγνεῶσας.

291 Rectius μή ποτε Sch.

347 Videtur legendū τόν.

398 Rectius μόλις ἐσθ' ἡ
choliaſtes.

410 Rectius ἀπαίδευτον
choliaſtes vterque legit.

490 Videtur heic quoq;
egendum κέκτησθ' νῷν.

586 Videtur legendū διὰ
ὁ γάρ. ſimiliter in Hippoly-
o inquit Phædra, ἐκ τῶν γὰρ
ἐσθλῶν αἰσχρὰ μηχανώμεθα.

613 Malī οὐκ ἐχθρόσιν. neq;
liter videtur Sch. legit.

688 Rectius αὖ Sch. legit.

699 Malim, ſi diuinare li-
cet, αὐτὸ συωπεῖνον μόνος.

756 Malim ἀμφ' ἡμῶν.

763 Videtur legēdū αὐτός.

783 Videtur δὲ deeſſe an-
e δοκεῖν. [δεινάσιν.

804 Videtur legēdū μὴ 'ν

849 Malim δύσων.

899 Videtur legendū ἐπὶ
τῷδε δ' ἡγρόμενος.

930 Emendauimus hunc
ocum Nou. lect.lib.1. cap.9.

1015 Videtur τὸς deeſſe an-
e σύλλογον.

1026 Emendauimus &
hunc locum ibidem.

1035 Emendauim' & hūc
ibidem. [legit.

1085 Rectius ὄνομα Schol.

1169 Malī αὐζυναλάσω μοι.

1172 Emendauim' & hūc
ibidem. [ibid.

1186 Emendauim' & hūc

1271 Emendauimus hūc
locū Nouar.lect. lib.7.cap.3.

1277 Malim ἀφόβως.

1278 Rectius ὃν οὐ Scho-
liaſtes legit.

1282 Emendauimus hūc
locum Nou lect. lib.2.cap 7.

1295 Rectius προσήξει vi-
detur Scholiaſtes legere, quē-
admodum ſupra dixit Mene-
laus, ἐν ζῶσ' ἐλπίδος προσή-
ξομαι.

1498 Videtur legendum
ἔτεισεν.

1618 Malim σύ.

1695 Idem & Phœniſſa-
rum finis eſt, & Iphigeniæ
poſterioris.

NOTAE IN PHOENISSAS.

175 De duob. vltimis vo-
cabulis alterutrum neceſſa-
rio tollendū venit: equidem
poſterius malim.

195 Videtur legēdū δίοσι.

290 Similiter in Helena
dixit, κλείθροις αὖ εἱργόμεσθα,
τὴν ὑπ' Ἰλίῳ δηώσαντες Ἑλέ-
νην Μενέλεώ μ' ἐλθεῖν μέτα. &
Ione, κακῶν γὰρ ἄρτι κῦμ' ὑπε-
ξαντλῶ φρενὶ, πρύμνηθεν
αἴρει μ' ἄλλο τῶν λόγων ὕπο. So-
phocles

phocles quoque & Æſchylus hac phraſi ſunt vſi, hic bis, ille ſemel.

419 Malim μαστεύων, vt & in Hecub. 779. præterea videtur legendum ἤ.

473 Emendauimus hunc locũ Nou. Lect. lib 2. cap. 7.

481 Videtur αὖ deeſſe poſt αὖθις. ſimiliter in Heraclidis de Iolao dicitur, νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ.

492 Emendauimus hũc locum Nouar. Lect lib. 3. c. 3.

547 Videtur legendum βαδίζει.

581 Malim ὑπερδράμῃ. Similiter in Ione dicit Creuſa, καὶ πῶς τὰ κρείσσω θνητὸς οὖσ' ὑπερδράμω;

591 Videtur legendum ἔτ' ἀγών. nam huius quidẽ vocis priorem etiam Oreſte, Supplicibus, & Hercule produxit Euripides: vt Sophocles Electra Hunc igitur poſtremum locum fruſtra quidam ſuſpectum habent.

631 Antiqua ſcribendi ratio neglecta fecit, vt πρὸς pro πατρὸς poneretur.

669 Rectius ὠλένης Sch. legit.

727 Emendauimus hunc locum Nouar. Lect. lib. 4. c. 1.

732 Videtur legendum σαφήνη.

Vide ſup. 751 & 492.

799 Videtur legẽdũ πῶλον.

804 Malim χαλκογομήνοις.

877 Videtur leg διαφθοραί.

885 Emendauimus hunc locum Nouar. Lect. lib. 4. c. 1.

933 Videtur legendum σιωπήσομεν.

957 Malim μελλόνω, qua voce Sophocles etiã eſt vſus Antigona.

976 Emendauimus & hunc locum ibidem.

987 Emendauimus & hunc ibidem.

1169 Emendauimus hunc locum Nouar. Lect. lib. 3 c. 3.

1180 Emendauimus & hunc locum ibidem.

1217 Videtur legendum παῖδας ἢ σεσωσμένους.

1271 Videtur legendum οὐδὲ παρθενεύμασι.

1349 Malim τοῖς ἀδελφοῖν.

1378 Malim αὐτοῖν.

1390 Emendauimus hũc locum Nouar. Lect. lib. 4. c. 1.

1434 Emendauimus hũc locũ Nouar. Lect. lib. 4. c. 19.

1489 Videtur legendum δώμασιν.

1503 Emendauimus hũc locum Nouar. Lect. lib. 1. c. 9.

1546 Videtur legendum πάρος δ' ἀΰτεῖν.

1579 Videtur legendum τῶνδε δ' Οἰδίπου λέγων.

1631 Malim ἐπισόδαις.

1735 Emendauimus hũc locum Nouar. Lect. lib. 4. c. 1.

1737 Malim ἔχουσι.

1742 Emendauimus hũc locum Nouar. Lect lib. 1. c. 9.

1750 Videtur legendum,

αἰα

ἀλλὰ γὰρ τί. ſimiliter in Troaſibus dicit Caſſandra, ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους;

NOTAE IN MEDEAM.

12 Emendauimus hunc locum Nouar. Lect. lib. 2. c. 21

41 Aſſentior M. A. Mureto ξέσῃ reponẽti V. Lect. l 3. c 11.

106 Videtur legendum αἰρόμενον.

228 Emendauimus hunc locum Nouar Lect. lib. 4. c. 11

258 Vocabulũ ὡς & verſus reſpuit, nec Sch agnoſcit.

491 Videtur ἦν deeſſe poſt σοῦ. ſimiliter in Ione dicit Senex, ἁπλοῦν ἂν ἦν γὰρ τὸ κακόν.

668 Emendauimus hunc locum Nou. Lect. lib. 4 ca 1.

736 Rectius μεθῇς ἂν Sch. legit, & ſequenti verſu ἀνώμοτος.

862 Rectius φόνου Scholiaſtes legit.

941 Videtur legendum οἶδά γ' εἰ πείσαιμι.

1160 Videtur legendum χρυσοῦν ὦτι θεῖσα.

1295 Malim τοῖσιδ'; ſimiliter ſub finem Heraclidarum dicit, τί δὴ τόδ'. ἐχθροὺς τοῖσιδ' οὐ καλὸν, κτανεῖν; & ſub initium Helenæ, πῶς δ' εὐμενείας τοῖσιδ' ἐν δόμοις ἔχεις;

1415 Idem & Alceſtidis finis eſt, & Andromachæ, & Baccharum, & Helenæ.

NOTAE IN HIPPOLYTUM.

17 Videtur legendũ χλωρὰν δ' ἂν ὕλην.

53 κατὰ τόπων. ꝓrectius eſt.

153 Rectius ποιμαίνεις Sch. legit.

173 Malim αὐξάνεται.

276 Aſſentior P. Victorio ἄσης reponenti Var. Lect. lib. 13. c. 17.

355 Malim ſic interpungere, ζῶσ'. ἐχθρὸν ἦμαρ, ἐχθρὸν, &c.

700 Rectius ἔπραττον Scholiaſtes legit.

723 Videtur legendum ὅπως δὲ τοῦτ' ἐγὼ βουλεύσομαι.

750 Emendauimus hunc locum Nouar. Lect. lib 1. c. 13.

872 Malim αἰτουμένης δέ.

962 Rectius ἔτι Sch. legit.

963 Videtur legendum τοῖς γνησίοισι πολέμιον.

971 Rectius νῦν σοῦ Sch. legit.

1066 Videtur legendum πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς.

1167 Videtur τὸ deeſſe ante σοῦ

NOTAE IN ALCESTIN.

38 Malim αὐτῇ.

197 Malim τοῖσιδ'.

409 Verſus hic mutilus eſt, & quintus præterea deſideratur.

468 Heic quoque quartus verſus deſideratur.

488 Malĩ ξενῶν & ξεινῶν.

578 Malim χείρων τε λέων.

593 Si diuinare licet, malim ἰσχύειν, quam [illegible].

704 Videtur legendum αἱ δ' [illegible].

741 Emẽdauimus hũc locum Nouar. Lect. lib. 8. cap 5.

794 Videtur legendum [illegible].

795 γρ. πόλεως. quod rectius eſt, atque idem paulo poſt repetitur.

896 Malim [illegible] ἀλγεῖν.

981 Emendauimus hunc locum Nou Lect. lib. 4 c. 9.

997 Videtur legendum [illegible].

1055 Videtur legendum [illegible].

1147 Malim [illegible].

1153 γρ οἶδεν. quod rectius eſt.

1156 Malim [illegible].

NOTAE IN ANDROMACHAM.

16 Videtur γὰρ deeſſe poſt ἐγώ.

61 Rectius [illegible] Sch legit.

81 Videtur ἐς deeſſe ante [illegible].

100 Videtur [illegible] deeſſe ante [illegible].

121 Rectius [illegible] Schol. legit, aut potius [illegible].

193 Emendauimus hunc locum Nouar. Lect. lib. 1 c. 17

259 Emẽdauimus & hũc locum ibidem.

326 Malim [illegible].

438 Emẽdauimus & hũc locum ibidem.

446 Malim [illegible].

448 Malim [illegible].

719 Rectius [illegible] Sch. legit.

721 Videtur [illegible] deeſſe ante [illegible]. ſimiliter in Helena Menelaus inquit [illegible].

784 Malim [illegible].

802 Malim [illegible].

868 Malim [illegible].

883 Si diuinare licet, malim [illegible], quam [illegible].

905 Videtur legendum [illegible].

972 Videtur legendum [illegible] δ' [illegible].

1026 Videtur [illegible] deeſſe initio ſecundi verſus.

1031 Malim [illegible].

NOTAE IN SVPPLICES.

63 Mallẽ ſic interpungere, [illegible].

217 Videtur legẽdũ [illegible].

351 Malim [illegible].

364 Videtur legendũ [illegible] ſimilem vſurpat ſcripturam in Iphigenia priore, Troianis & Helena.

380 Malim [illegible].

420 Emendauimus hũc locum Nouar. Lect. li. 2 c. 17.

426 Videtur legendum [illegible].

557 Malim [illegible].

608 Videtur legendum [illegible].

615 Videtur legendũ [illegible].

672 Emendauimus hũc locum Nouar. Lect. lib. 5. c. 2[illegible]

Digitized by Google

717 Videtur legendū κα-πημαυλίζων.

736 Videtur & heic legendū ἂν σὺ τυγχάνῃς.

7.1 Videtur legendū εἶπα πάλλ' ἐρήσομαι.

899 Malim ἴσως.

991 Si diuinare licet, malim ἅλιος, quam πέλας.

1009 Videtur legendum πέλας.

1010 Malim ἔνθ' ἔνεστι.

1089 Videtur legendum τεκών.

1098 Videtur legendum πρίν γε δῆθ', ὅτ' ἦν.

1101 Emendauimus hunc locum Nouar. Lect. li. 6 c. 15.

1110 Emendauimus hunc locum Nouar. Lect. li. 2. c. 17.

1115 Videtur legendum φέρεται.

1144 Emendauimus & hunc locum lib. 2 cap. 17.

NOTAE IN IPHIGENIAM PRIOREM.

134 Videtur legendum ὃς πρὸ τῆς θεᾶς.

186 Malim ὁρμωμένα.

262 Videtur legendum Λοκρός.

307 Emendauimus hunc locum Nouar Lect. li. 6 c. 23.

374 Videtur legendum ἄρχοντ' ἀφρόνων.

435 Malim ποιεῖσθ'.

449 Emendauimus & hunc locum lib. 6. cap. 23.

521 Videtur legendum τοὐδέν γε χρηστόν.

547 Malim, ſi diuinare liceat, μέλλομεν.

626 Videtur legendum τὸ τοῦ νηρῆδος. ſublato παιδός.

697 Videtur legendum ἐχλύετο.

959 Malim γάμων.

984 Videtur legendum ὠφιλῶν.

1071 Malim vna voce περιζώματι.

1078 Videtur legendum ἔδαφον.

1117 Malim πατέρας.

1160 Videtur legendum ὥστε σ' εἰσιόντα τε.

1170 Aſſentior I. Brodæo πάχθησαι reponenti. ſimiliter in Troadibus dicit Caſſandra, ὁ δὲ στρατηγὸς ὁ σοφὸς ἐχθίστων ὕπερ τὰ φίλτατ' ὤλεσ'.

1249 Emendauimus hūc locum Nouarum Lect. lib. 6. cap. 23.

1300 Videtur legendum σώζων.

1391 Videtur legendum τοῦτό γε.

1412 Malim σιω.

1437 Malim ἀτυχήσεις.

1499 Malī θρεψάμην, quo vocabulo Troadibus bis, Bacchis, & Hercule ſemel vſus eſt.

NOTAE IN IPHIGENIAM POSTERIOREM.

31 Videtur legendum ὅθ' εὐνόμοισι τοῖσιδ' ἥδεται θεά.

48 Videtur legēdū βάλλετ' ἐμέ.

62 Malim πυρῦσ' ἀπτόνη.

97 Vide Phœniſſ. 492.

176 Aſſentior Brodæo κο-μὰς reponenti.

215 Videtur legendũ ἐπι-βᾶσαν.

245 Malim δυςηνῆ.

309 Videtur legendum εἰ κεῖθεν γεγώς.

333 Malim ὦ πότνια. σῶς.

379 Malim σπουδάσομεν.

393 Malim καὶ ζῆ.

634 Malim εἰς πυρὰν βα-λῶ σέθεν.

730 Videtur legendum ὅπαν τι.

976 Videtur legendum βαλών.

983 Malim ἄγε.

1010 Videtur legendum ἄξω δέ σ', ἵν' ὅπερ, & ſequenti verſu ἤ σου.

1025 Aſſentior Brodæo, ἐκσωθεῖμεν reponenti.

1046 Aſſentior eidẽ πῖν reponenti.

1080 Videtur legendum κοίρανος.

1152 Videtur legendum γῆν σωσασίαζον.

1212 Malim πελάζει

1259 Videtur legendum ἐπεί.

1310 Videtur legẽdũ αἰεί.

1396 Videtur legendum ἐς δὲ γῆν πάλιν

1469 Malim ἐξίωμεν.

1488 Malim ναυθλοῦτε.

FINIS.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google